








CATENÆ

GRÆCORUM PATRUM

IN

NOVUM TESTAMENTUM.

EDIDIT

J. A. CRAMER, S.T.P.
AULÆ NOVI HOSPITII PRINCIPALIS,
NECNON
HISTORIÆ MODERNÆ PROFESSOR REGIUS.

TOMUS VI.

IN EPISTOLAS S. PAULI AD GALATAS, EPHESIOS, PHILIPPENSES, COLOSSENSES, THESSALONICENSES.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
M.DCCC.XLIV.



CATENÆ

IN

SANCTI PAULI

EPISTOLAS AD GALATAS, EPHESIOS, PHILIPPENSES, COLOSSENSES, THESSALONICENSES.

AD FIDEM CODD. MSS.

EDIDIT

J. A. CRAMER, S. T. P.
AULÆ NOVI HOSPITII PRINCIPALIS,
NECNON
ACADEMIÆ ORATOR PUBLICUS.

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
M.DCCC.XLII.

MONITUM LECTORI.

CODICEM qui mihi Commentarios Veterum Græcorum Patrum in Epistolam ad Galatas et sequentes Sancti Pauli Epistolas suppeditavit, ita descripsit Montfaucon. in Catalogo Biblioth. Coislinianæ p. 264.

" Cod. Coisl. CCIV. olim CXLIII. membranaceus XI. " circiter sæculi, foliorum 312. Catena in Epistolas Pauli. " Init. τοῦ κηρύγματος εἰς τὰ ἔθνη δεχθέντος τινὲς τῶν—Præit " Epistola ad Galatas. Scriptores autem unde excerpta " Commentaria insunt, Eusebius Cæsariensis, Eusebius " Emesenus, Chrysostomus, Theodoretus, Severus, The- " odorus, Origenes, Severianus, Gregorius Nazianz., Cy- " rillus, Theodorus Mopsuestenus, Gennadius, Atha- " nasius, Didymus.

" Fol. 47 in Epist. ad Ephesios.
" Fol. 109 in Epist. ad Philippenses.
" Fol. 139 in Epist. ad Colossenses.
" Fol. 161 vers. in Epist. 1 ad Thessalonicenses.
" Fol. 177 in Epist. 2 ad Thessalonicenses.
" Fol. 181 vers. in Epist. 1 ad Timotheum.
" Fol. 210 vers. in Epist. 2 ad Timotheum.
" Fol. 223 vers. in Epist. ad Titum.
" Fol. 231 in Epist. ad Philemona.
" Fol. 234 vers. in Epist. ad Hebræos.

" Ante 243 deest folium. Fol. 311 post finem Com- " ment. in Epist. ad Hebræos hæc habentur. Θεωρία περὶ " τῆς σκηνῆς καὶ τί δήποτε αὐτὴν γενέσθαι προσέταξεν ὁ Θεός.

"Initium. Αὐτὸς ὁ δεσπότης Θεὸς τὴν αἰτίαν δεδήλωκεν. Deest "quidpiam in fine."

Opus autem hoc, ut testatur titulus alibi raro obvius, (ἐξηγητικῶν ἐκλογῶν τόμοι,) est Epitome amplorum Commentariorum a diversis Patribus in S. Pauli Epistolas confectorum. Hi potissimum sunt Joannes Chrysostomus, Severianus Gabalensis, et Theodorus Mopsuestenus; qui in universas Epistolas adhibentur; admixtis autem aliorum testimoniis, sed minus frequentibus. Sæpissime autem in Epistolam ad Ephesios adducitur Origenes, in bene prolixis citationibus, quæ ἀπὸ φωνῆς ipsius magni Interpretis manasse dicuntur p. 225 in fin. In Epistolam autem ad Hebræos numerosiores sunt Commentatores; inter quos sæpius adducuntur Athanasius et Cyrillus. Notandum autem quod Excerptor sæpius Patrum nomina omittit; transitu ab uno ad alium solummodo notato formula Ἄλλος φησί. Non raro autem Nomina ipsa in margine Codicis supplentur.

Codex quidem ipse undecimo sæculo ineunte exaratus eleganter quidem scriptus est, sed compendiis abundat; ideoque non raro difficilis lectu est; et vereor ne Scriba Parisiensis, cujus opera in eo describendo usus sum, non semper Codicis lectionem vere repræsentaverit. In Chrysostomo cæterisque Patribus, qui hodie etiam comparent, istiusmodi errores commode sanari possunt; in illis autem quorum opera jamdudum interiere, id assequi, nisi conjectura sola, non nobis concessum est.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ΤΟΥ κηρύγματος εἰς τὰ ἔθνη δεχθέντος, τινὲς τῶν ἐκ τῆς περιτομῆς ἐξιόντες ἔπειθον τὰ ἔθνη Ἰουδαΐζειν. καὶ πρώτη περὶ τούτου φαίνεται ζήτησις γεγενημένη ἐν Ἀντιοχείᾳ, ὅτε ἔδοξε τοῖς αὐτόθι πιστοῖς ἀποστεῖλαι Παῦλον καὶ Σίλαν πρὸς τοὺς Ἀποστόλους τοὺς ἐν Ἱεροσολύμοις ἔτι τότε διατρίβοντας, ἐφ᾽ ᾧ τε τὸ ἐκείνοις δοκοῦν μαθεῖν τε καὶ πληρῶσαι, ὅτε καὶ οἱ Ἀπόστολοι δείξαντες ὅτι τῷ Ἁγίῳ Πνεύματι δοκεῖ ὃ μέλλουσι γράφειν προστάττουσι μὴ ὑποκεῖσθαι νόμῳ· τηρεῖν δὲ μόνον τοῦ εἰδώλου καὶ τοῦ εἰδωλοθύτου καὶ τοῦ αἵματος καὶ τοῦ πνικτοῦ καὶ τῆς πορνείας τὴν φυγήν.

Ταῦτα πανταχοῦ περιϊὼν καὶ κηρύττων ὁ Παῦλος τηρεῖν προσέταττεν· ἀλλ᾽ οἱ ἐκ περιτομῆς οὐκ ἐπαύοντο τὰ ἐναντία ποιοῦντες· καὶ τοῦτο δῆλον ἀπὸ τοῦ ἐν πλείοσιν ἐπιστολαῖς τὸν Παῦλον ἰσχυρῶς πρὸς αὐτοὺς ἀποτείνεσθαι.

Ἐκράτησε δὲ τὸ νόσημα τῶν Γαλατῶν ἁπάντων συμφώνως Ἰουδαΐζειν βουληθέντων· ἐπείσθησαν δὲ ὑπὸ τῶν διαστρεφόντων Ἰουδαΐζειν λεγόντων ὅτι καὶ Πέτρος ὁ πρῶτος τῶν Ἀποστόλων καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ οἱ λοιποὶ τῷ μίμῳ κέχρηνται καὶ οὐ κωλύουσι τοὺς βουλομένους τοῦτον τηρεῖν. οὐκ ἐκώλυον δὲ δογματίζοντες, ἀλλὰ τῇ ἀσθενείᾳ συγκαταβαίνοντες τῶν ἐξ Ἰουδαίων πιστευόντων.

Ὁ δὲ Παῦλος εἰς τὰ ἔθνη κηρύττων οὐ χρείαν εἶχε τῆς συγκαταβάσεως ταύτης, ὥστε γ᾽ οὖν ἐν Ἰουδαίᾳ γέγονε, καὶ αὐτὸς τῇ συγκαταβάσει ἐχρήσατο ταύτῃ· ἀλλ᾽ οἱ ἀπατῶντες οὐ λέγοντες τὰς αἰτίας δι᾽ ἃς καὶ οὗτοι κἀκεῖνοι συγκατέβαινον, προελογίζοντο

τοὺς ἀφελεστέρους, λέγοντες ὅτι οὐ δεῖ Παύλου ἀνέχεσθαι· οὗτος γὰρ χθὲς καὶ σήμερον ἐφάνη· ἐκεῖνοι δὲ πρῶτοι οἱ περὶ Πέτρου· καὶ οὗτος μὲν μαθητὴς τῶν Ἀποστόλων γέγονεν, ἐκεῖνοι δὲ τοῦ Κυρίου· καὶ οὗτος μόνος, ἐκεῖνοι δὲ πολλοὶ καὶ στύλοι τῆς ἐκκλησίας. καὶ εἰς ὑπόκρισιν δὲ αὐτὸν διέβαλλον, λέγοντες ὅτι καὶ αὐτὸς οὗτος ὁ ἀναιρῶν περιτομὴν καὶ τὰ λοιπὰ νόμιμα, φαίνεται τούτοις χρησάμενος ἀλλαχοῦ, καὶ ἑτέρως μὲν ἡμῖν ἑτέρως δὲ ἄλλως κηρύττων. ἐπεὶ οὖν ἐμπρησθὲν εἶδεν ἔθνος ὁλόκληρον καὶ πυρὰν χαλεπὴν κατὰ τῆς Γαλατῶν ἀναφθεῖσαν ἐκκλησίας, γράφει τὴν Ἐπιστολὴν πρὸς πάντα ταῦτα ἀπολογούμενος· καὶ ἐκ προοιμίων εὐθέως πρὸς ἐκεῖνο ἀποτείνεται, ὃ οἱ διορύττοντες αὐτοῦ τὴν ὑπόληψιν ἔλεγον, ὅτι οἱ μὲν ἄλλοι τοῦ Χριστοῦ αὐτὸς δὲ τῶν Ἀποστόλων γέγονε μαθητής· διὸ καὶ οὕτως ἔλεγεν.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Διήγησις τῆς ἑαυτοῦ μεταστάσεως ἀπὸ Ἰουδαϊσμοῦ κατὰ ἀποκάλυψιν.

β΄. Περὶ τῆς τῶν ἀποστόλων ἐπιμαρτυρήσεως εἰς τὴν ἐν πίστει ζωήν.

γ΄. Περὶ τῆς πρὸς Κηφᾶν ἀντιρρήσεως, περὶ τῆς ἐν πίστει καὶ οὐκ ἐν νόμῳ σωτηρίας.

δ΄. Ὅτι διὰ πίστεως ὁ ἁγιασμὸς, οὐ διὰ νόμου.

ε΄. Ὅτι καὶ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη εἰς τύπον ἡμῶν.

ϛ΄. Ὅτι ὁ νόμος οὐ δικαιοῖ ἀλλ᾽ ἐλέγχει, καὶ κατάραν ἐπιτίθησιν, ἣν λύει Χριστός.

ζ΄. Ὅτι οὐκ ἐκ νόμου, ἀλλ᾽ ἐξ ἐπαγγελίας τὰ ἀγαθά. ὁ δὲ νόμος παρασκευαστὴς δι᾽ ἐλέγχου.

η΄. Ὅτι ὑπὸ κτίσιν ἦσαν οἱ ἐν νόμῳ.

θ΄. Ὅτι ἐν τῇ ἐλευθέρᾳ γυναικὶ τοῦ Ἀβραὰμ καὶ τῷ γνησίῳ παιδὶ ὑποτυπωθέντας, οὐ χρὴ δουλοῦσθαι νόμῳ.

ι΄. Ὅτι ἡ κλῆσις ἡμῶν οὐχ ὑπόκειται περιτομῇ καὶ νόμῳ διὰ τὸ Χριστοῦ πάθος.

ια΄. Ὑπογραφὴ τῆς κατὰ πνεῦμα ἐλευθερίας.

ιβ΄. Ἀποτροπὴ ἀπὸ τῶν ἑλκόντων ἐπὶ τὴν περιτομὴν, καὶ προτροπὴ πρὸς νέαν ζωὴν τὴν ὑπὸ πνεύματι.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ.

---

1 ΠΑΥΛΟΣ *Ἀπόστολος οὐκ ἀπ᾽ ἀνθρώπων οὐδὲ δι᾽ ἀνθρώπων.*

Ἔλεγον γὰρ, ὡς προσεῖπον, οἱ ἀπατεῶνες ἐκεῖνοι, ὅτι τῶν Ἀποστόλων ἐκείνων ἔσχατος οὗτός ἐστι, καὶ παρ᾽ ἐκείνων ἐδιδάχθη. Πέτρος γὰρ καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ ἐκλήθησαν πρῶτοι, καὶ κορυφαῖοι τῶν Ἀποστόλων εἰσί· καὶ τὰ δόγματα ἐδέξαντο παρὰ τοῦ Κυρίου, καὶ χρὴ μᾶλλον ἐκείνοις πείθεσθαι ἢ τούτῳ. καὶ ταῦτα λέγοντες καὶ τὰ τοιαῦτα· καὶ τοῦτον μὲν καθαιροῦντες, ἐκείνων δὲ τὴν δόξαν ἐπαίροντες, οὐκ ἵνα ἐκείνους ἐγκωμιάσωσιν, ἀλλ᾽ ἵνα Γαλάτας ἀπατήσωσιν, ἔπειθον ἀκαίρως τῷ νόμῳ προσέχειν. εἰκότως οὖν οὕτως ἤρξατο. ἐπειδὴ γὰρ τὴν μὲν αὐτοῦ διδασκαλίαν ἐξηυτέλιζον, παρὰ ἀνθρώπων αὐτὴν λέγοντες εἶναι, τὴν δὲ Πέτρου παρὰ Χρίστου, ἐκ προοιμίων εὐθέως πρὸς τοῦτο ἵσταται λέγων· "Ἀπόστολος εἶναι οὐκ ἀπ᾽ ἀνθρώπων, οὐδὲ "δι᾽ ἀνθρώπων." ἐβάπτισε μὲν γὰρ αὐτὸν Ἀνανίας, ἀλλ᾽ οὐκ ἐκεῖνος τῆς πλάνης ἀπήλλαξεν, οὐδὲ πρὸς τὴν πίστιν ἤγαγεν· ἀλλ᾽ αὐτὸς ἄνωθεν ὁ Χριστὸς τὴν θαυμάστην ἐκείνην πρὸς αὐτὸν ἀφῆκε φωνὴν, δι᾽ ἧς αὐτὸν ἐσαγήνευσε.

Τὸν μὲν γὰρ Πέτρον καὶ τὸν ἀδελφὸν τούτου, καὶ τὸν Ἰωάννην, καὶ τὸν ἀδελφὸν τὸν ἐκείνου, περιπατῶν παρὰ τὴν θάλασσαν ἐκάλεσε, τὸν δὲ Παῦλον εἰς οὐρανοὺς ἀνελθών· καὶ ὥσπερ οὐκ ἐδεήθησαν ἐκεῖνοι δευτέρας φωνῆς, ἀλλ᾽ εὐθέως ἀφέντες τὰ δίκτυα καὶ πάντα τὰ ἄλλα ἠκολούθησαν, οὕτω καὶ οὗτος, ἀπὸ τῆς πρώτης κλήσεως, πρὸς ἄκραν ἀνέβη κορυφήν· ὁμοῦ τε βαπτισάμενος, καὶ πόλεμον ἄσπονδον πρὸς Ἰουδαίους ἑλόμενος· καὶ ταύτῃ μά-

λιστα τῶν Ἀποστόλων πλεονεκτήσας· "περισσότερον γὰρ αὐτῶν "ἐκοπίασα," φησίν. ἀλλὰ τέως οὐ κατασκευάζει τοῦτο, ἀλλ' ἀγαπᾷ τὰ ἴσα φέρων· τὸ γὰρ σπουδαζόμενον ἦν αὐτῷ, οὐ δεῖξαι ἑαυτὸν ἐκείνων ὑπερέχοντα, ἀλλὰ τῆς πλάνης καταλῦσαι τὴν ὑπόθεσιν.

Τὸ μὲν οὖν "ἀπ' ἀνθρώπων," κοινὸν ἁπάντων ἦν· ἄνωθεν γὰρ τὴν ἀρχὴν καὶ τὴν ῥίζαν ἔχει τὸ κήρυγμα· τὸ δὲ "οὐ δι' ἀνθρώπων," ἴδιον τῶν Ἀποστόλων· οὐδὲ γὰρ δι' ἀνθρώπων ἐκάλεσεν αὐτοὺς, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ. διατί δὲ μὴ τῆς κλήσεως ἐμνημόνευσεν, ἀλλὰ τῆς ἀποστολῆς; ὅτι περὶ τούτου πᾶς ὁ λόγος ἦν· ἔλεγον γὰρ αὐτὸν ὑπὸ ἀνθρώπων τῶν Ἀποστόλων ἐγκεχειρίσθαι τὴν διακονίαν ταύτην, καὶ δεῖν ἐκεῖνον αὐτοῖς πείθεσθαι.

Ὅτι δὲ οὐχ ὑπ' ἀνθρώπων ἐνεχειρίσθη, ὁ Λουκᾶς ἐδήλωσεν αὐτοῖς εἰπών· "λειτουργούντων δὲ αὐτῶν καὶ νηστευόντων τῷ "Χριστῷ, εἶπε τὸ Πνεῦμα τὸ Ἅγιον, ἀφορίσατέ μοι τὸν Παῦλον "καὶ τὸν Βαρνάβαν." ὅθεν δῆλον, ὅτι καὶ μία ἐξουσία Υἱοῦ καὶ Πνεύματος· ὑπὸ γὰρ τοῦ Πνεύματος ἀποσταλεὶς, ὑπὸ τοῦ Χριστοῦ φησὶν ἀπεστάλθαι. Τοῦτο καὶ ἀλλαχοῦ δηλοῖ, τὰ τοῦ Θεοῦ τῷ Πνεύματι λογιζόμενος· τοῖς γὰρ Μιλησίων διαλεγόμενος πρεσβυτέροις, "προσέχετε ἑαυτοῖς," φησὶ, "καὶ παντὶ τῷ ποιμνίῳ, ἐν "ᾧ ἔθετο ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ποιμένας καὶ ἐπισκόπους·" καίτοι γε ἐν ἄλλῃ μὲν Ἐπιστολῇ· "οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ "Ἐκκλησίᾳ· πρῶτον Ἀποστόλους· δεύτερον προφήτας· εἶτα ποι"μένας καὶ διδασκάλους." οὕτως ἀδιαφόρως κέχρηται τῷ λόγῳ· τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ λέγων εἶναι, καὶ τὰ τοῦ Θεοῦ τοῦ Πνεύματος. ἐμφράττει δὲ καὶ ἄλλως τῶν αἱρετικῶν τὰ στόματα, λέγων· "διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός·" ἐπειδὴ γὰρ τὴν λέξιν ταύτην ὡς ἐλάττονα οὖσαν προσερρίφθαι τῷ Υἱῷ φασὶν, ὅρα τί ποιεῖ· ἐπὶ τοῦ Πατρὸς αὐτὴν τίθησι, διδάσκων ἡμᾶς, μὴ νομοθετεῖν τῇ ἀρρήτῳ φύσει, μηδὲ μέτρα θεότητος ὁρίζειν, μέστους Υἱοῦ καὶ Πατρὸς γενομένους· εἰπὼν γὰρ "διὰ Ἰησοῦ Χριστοῦ," ἐπήγαγε.

Καὶ Θεοῦ Πατρός.

Εἰ μὲν γὰρ καθ' ἑαυτὸ τοῦτο Πατρὸς μνημονεύσας εἶπε τὸ δι'

οὗ, ἴσως ἂν καὶ ἐσοφίσαντο λέγοντες ἁρμόζειν τῷ Πατρὶ τὸ δι' οὗ, τῷ τὰ ἔργα τοῦ Υἱοῦ εἰς αὐτὸν ἀναφέρεσθαι· νῦν δὲ τοῦ Υἱοῦ μνημονεύσας ὁμοῦ καὶ τοῦ Πατρὸς, καὶ κοινὴν θεὶς τὴν λέξιν, οὐκέτι τὸν λόγον τοῦτον χώραν ἀφίησιν ἔχειν.

Οὐ γὰρ ὡς τὸ τοῦ Υἱοῦ νῦν ἀνατιθεὶς τῷ Πατρὶ τοῦτο ποιεῖ, ἀλλὰ δεικνὺς ὅτι οὐδὲ μίαν αὕτη ἡ λέξις οὐσίας διαφορὰν . . . τί δὲ . . . . καὶ ἀπὸ τοῦ βαπτίσματος ἐπινοοῦντές τινα ἐλάττωσιν διὰ τὸ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος βαπτίζεσθαι ἐνταῦθα ἂν εἴποιεν; εἰ γὰρ καταδεέστερος ὁ Χριστὸς διὰ τὸ μετὰ Πατέρα κεῖσθαι, ἐπειδὴ ἐνταῦθα ἀπὸ τοῦ Υἱοῦ ἀρξάμενος ὁ Ἀπόστολος ἐπὶ τὸν Πατέρα ἔρχεται, τί ἂν εἴποιεν; ἀλλ' οὐδὲν ἂν εἴποιμεν βλάσφημον· οὐ γὰρ χρὴ φιλονεικοῦντας ἐκείνοις τῆς ἀληθείας ἐξίστασθαι· ἀλλὰ τὰ μέτρα τῆς εὐσεβείας ἡμᾶς διατηρεῖν ἀναγκαῖον. ὥσπερ οὖν οὐκ ἂν εἴποιμεν ἡμεῖς μείζονα τοῦ Πατρὸς τὸν Υἱὸν, ἐπειδὴ τοῦ Χριστοῦ πρῶτον ἐμνημόνευσεν, ἐσχάτης γὰρ τοῦτο μανίας, οὕτως οὐδὲ ἐκεῖ ἐλάττονα χρὴ νομίζειν ὑμᾶς εἶναι τοῦ Πατρὸς τὸν Υἱόν.

(Εὐσεβίου Ἐμίσης.) Ἄλλος δέ φησι· πατέρα νῦν καλεῖ τὸν Θεὸν, ἐπειδὴ βούλεται τὴν Ἐκκλησίαν εἰς υἱοθεσίαν ἐληλυθυῖαν, ἐλευθέραν εἶναι τῆς διὰ νόμου δουλείας.

Τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.

Τί ποιεῖς, ὦ Παῦλε; Ἰουδαΐζοντας ἀνθρώπους ἐνάγειν εἰς πίστιν θέλων, οὐδὲν τῶν μεγάλων ἐκείνων καὶ λαμπρῶν ἄγεις εἰς μέσον· οἷον ὃ πρὸς Φιλιππησίους γράφων ἔλεγες· "ὅτι ἐν μορφῇ "Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ·" ὃ μετὰ ταῦτα ἐπιστέλλων Ἑβραίοις ἀνεβόησας· "ὅτι ἀπαύγασμά "ἐστι τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ." ὃ ἐκ προοιμίων ὁ τῆς βροντῆς υἱὸς ἀνεφώνησεν· "ὅτι ἐν ἀρχῇ ἦν ὁ "Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος." ὃ πρὸς Ἰουδαίους πολλάκις αὐτὸς ὁ Ἰησοῦς φθεγγόμενος ἔλεγεν· ὅτι τὰ αὐτὰ δύναται τῷ Πατρὶ, καὶ τὴν αὐτὴν ἐξουσίαν ἔχει· τούτων οὐδὲν λέγεις· ἀλλὰ ταῦτα πάντα ἀφεὶς, τῆς κατὰ σάρκα οἰκονομίας μέμνησαι, σταυρὸν εἰς μέσον φέρων καὶ νέκρωσιν. καί φησιν· εἰ μὲν γὰρ πρὸς ἀνθρώπους ὁ λόγος ἦν, μηδὲν μέγα περὶ

τοῦ Χριστοῦ φανταζομένους, καλῶς εἶχεν ἐκεῖνα λέγειν· ἐπειδὴ δὲ ὡς μέλλοντας τιμωρεῖσθαι εἰ ἀποσταῖεν τοῦ νόμου, στασιάζουσι πρὸς ἡμᾶς, διὰ τοῦτο πράγματος μέμνηται, δι' οὗ πᾶσαν ἐκβάλλει τοῦ νόμου τὴν χρείαν· λέγω δὴ τὴν ἐκ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως εὐεργεσίαν γενομένην ἅπασι· τὸ μὲν γὰρ εἰπεῖν, "ὅτι ἐν ἀρχῇ ἦν ὁ Λόγος," καὶ τὸ ἐν μορφῇ Θεοῦ ὑπῆρχεν," καὶ τὸ "ἴσον αὐτὸν εἰπεῖν τῷ Θεῷ," καὶ ὅσα τοιαῦτα, δεικνύντος μὲν ἦν τὴν τοῦ Λόγου θεότητα· οὐδὲν δὲ τοσοῦτον εἰς τὸ παρὸν συμβαλλομένου· τὸ δὲ εἰπεῖν "τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν," ἀναμιμνήσκοντος ἦν τῆς ὑπὲρ ἡμῶν πρὸς ἡμᾶς εὐεργεσίας τὸ κεφάλαιον. ὅπερ οὐ μικρὸν εἰς τὸ προκείμενον αὐτῷ συνετέλει· καὶ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτως τοῖς τὴν τοῦ Θεοῦ μεγαλωσύνην παριστῶσι προσέχειν λόγοις, ὡς τοῖς τὴν εἰς ἀνθρώπους εὐεργεσίαν ἐνδεικνυμένοις.

Διόπερ ἀφεὶς ἐκεῖνα εἰπεῖν, περὶ τῆς εἰς ἡμᾶς εὐεργεσίας γεγενημένης ποιεῖται τὸν λόγον· καὶ ὅτι οὐ Μωϋσῆς ἀπέθανεν ὑπὲρ τοῦ κόσμου, οὐδέ τις τῶν προφητῶν ἄλλος· οὐ δεῖ τοίνυν ἡττᾶσθαι τοῦ μὴ σώσαντος, ἀλλὰ τοῦ ὑπὲρ ἡμῶν ἀποθάνοντος· Εἰ γὰρ ἤρκει ὁ νόμος καὶ τὰ νόμιμα εἰς σωτηρίαν, οὐκ ἦν χρεία τοῦ σταυροῦ καὶ τοῦ ἐλθεῖν τὸν Χριστὸν ἐπὶ τὸν σταυρόν. ἀλλ' ἐπιπηδῶσιν οἱ αἱρετικοὶ λέγοντες· ἰδοὺ ὁ Πατὴρ ἐγείρει τὸν Υἱόν· ἐπειδὴ γὰρ ἅπαξ νενοσήκασι, πρὸς μὲν τὰ ὑψηλὰ τῶν δογμάτων ἐθελοκωφοῦσι, τὰ δὲ ταπεινὰ, καὶ ἢ τῆς σαρκὸς ἕνεκεν εἰρημένα οὕτως, ἢ διὰ τὴν εἰς τὴν Πατέρα τιμὴν κατ' ἄλλην τινὰ οἰκονομίαν, ταῦτα ἐκλέγουσιν καὶ καθ' ἑαυτὰ ἐξετάζοντες, ἐπηρεάζουσιν ἑαυτοῖς· οὐ γὰρ ἂν εἴποιμι τῇ γραφῇ. οὓς ἡδέως ἂν ἐροίμην, τίνος ἕνεκεν ταῦτα λέγουσιν; ἆρα ἀσθενῆ τὸν Υἱὸν ἀποδεῖξαι βουλόμενοι, καὶ οὐκ ἰσχύοντα πρὸς ἑνὸς ἀνάστασιν σώματος; καὶ μὴν ἡ εἰς αὐτὸν πίστις, καὶ τὰς σκιὰς τῶν πιστευόντων ἀνιστᾶν ἐποίει νεκρούς. Εἶτα οἱ μὲν εἰς αὐτὸν πιστεύοντες ἄνθρωποι θνητοὶ ὄντες ἔτι, ἀπὸ σκιᾶς μόνης τῶν πηλίνων σωμάτων ἐκείνων καὶ ἱματίων τοῖς σώμασι τούτοις περικειμένων νεκροὺς ἤγειρον, αὐτὸς δὲ ἑαυτὸν ἀναστῆσαι οὐκ ἴσχυεν; καὶ πῶς οὐ φανερὰ αὕτη ἡ μανία καὶ παρανοίας ἐπίστασις; οὐκ ἤκουσας αὐτοῦ λέγοντος, ὅτι "λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν;"

καὶ πάλιν· "ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου· καὶ ἐξουσίαν "ἔχω πάλιν λαβεῖν αὐτήν;" Τίνος οὖν ἕνεκεν ὁ Πατὴρ αὐτὸν ἐγηγερκέναι λέγεται, ὥσπερ καὶ τὰ ἄλλα ποιεῖν ἅπερ αὐτὸς ποιεῖ; καὶ γὰρ καὶ τῆς εἰς τὸν Πατέρα τιμῆς ἕνεκεν εἴρηται τοῦτο, καὶ τῆς τῶν ἀκροατῶν ἀσθενείας.

2 Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί.

Οὐδαμοῦ τοῦτο προσέθηκεν ἐπιστέλλων· ἢ γὰρ τὸ αὐτοῦ ὄνομα τίθησι μόνον, ἢ δύο καὶ τριῶν ἑτέρων ὀνομαστί· ἐνταῦθα δὲ πλῆθος ὁλόκληρον τέθεικε· διόπερ οὐδὲ ὀνομαστὶ τινὸς ἐμνημόνευσε. τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; διέβαλλον αὐτὸν ὡς μόνον ταῦτα κηρύττοντα, καὶ καινοτομίαν τινὰ τοῖς δόγμασιν ἐπεισάγοντα· θέλων οὖν ἀνελεῖν αὐτῶν τὴν ὑποψίαν, καὶ δεῖξαι ὅτι πολλοὺς ἔχει τῆς γνώμης κοινωνοὺς, συνέταξε τοὺς ἀδελφούς· δηλῶν, ὅτι ἅπερ γράφει, καὶ ἀπὸ τῆς ἐκείνων γράφει γνώμης.

Εὐσεβίου. *Καὶ οὐκ εἶπε, καὶ οἱ σὺν ἐμοὶ ἀδελφοὶ, ἀλλὰ "πάντες·" τῷ "πάντες" παριστῶν ὡς ἓν ἦν τὸ πλῆθος.*

Ταῖς ἐκκλησίαις τῆς Γαλατίας.

Τοῦ Χρυσοστόμου. *Οὐ γὰρ μίαν πόλιν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον τῶν Γαλατῶν τὸ ἔθνος, αὕτη τῆς πλάνης ἐπενέμετο ἡ πυρά. θέα δέ μοι καὶ ἐνταῦθα τὴν πολλὴν ἀγανάκτησιν. οὐ γὰρ εἶπε, τοῖς ἀγαπητοῖς οὐδὲ τοῖς ἡγιασμένοις, ἀλλὰ "ταῖς ἐκκλη-"σίαις τῆς Γαλατίας." τοῦτο δὲ ἦν σφόδρα βαρυθυμοῦντος καὶ ὀδύνην ἐνδεικνυμένου, τὸ μὴ ἀπὸ τῆς ἀγάπης, μηδὲ ἀπὸ τῶν ὀνομάτων αὐτοὺς καλέσαι τῆς τιμῆς, ἀλλ' ἀπὸ τῆς συνόδου μόνης· καὶ μηδὲ προσθεῖναι ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ἀλλ' ἁπλῶς "ταῖς ἐκκλησίαις τῆς Γαλατίας." ἄλλως δὲ καὶ συνάψαι ἐκ προοιμίων τὸ στασιάζον ἐπείγεται· διὸ καὶ τὸ ὄνομα τῆς ἐκκλησίας οὐ τέθεικεν, ἐντρέπων αὐτοὺς καὶ συνάγων εἰς ἕν· οἱ γὰρ εἰς πολλὰ διηρημένοι μέρη οὐκ ἂν δύναιντο ταυτῇ καλεῖσθαι τῇ προσηγορίᾳ· τὸ γὰρ τῆς Ἐκκλησίας ὄνομα, συμφωνίας καὶ ὁμονοίας ἐστίν.*

3 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Πανταχοῦ μὲν ἀναγκαίως τοῦτο τίθησι, μάλιστα δὲ Γαλά-

ταις ἐπιστέλλων· ἐπειδὴ γὰρ τῆς χάριτος ἐκινδύνευον ἐκπεσεῖν, ἐπεύχεται αὐτοῖς ταύτην ἀνακτήσασθαι πάλιν. ἐπειδὴ πρὸς τὸν Θεὸν ἑαυτοὺς ἐξεπολέμωσαν, παρακαλεῖ τὸν Θεὸν πρὸς τὴν αὐτὴν αὐτοὺς ἐπαγαγεῖν εἰρήνην.

Θεοῦ Πατρός.

Κἀντεῦθεν πάλιν ῥᾳδίως ἁλίσκονται οἱ αἱρετικοί. Ἐπειδὴ γὰρ φασὶ τὸν Ἰωάννην ἐκ προοιμίων τῶν εὐαγγελίων λέγοντα, "καὶ "Θεὸς ἦν ὁ Λόγος·" διὰ τὸ χωρὶς ἄρθρου τεθεικέναι τοῦτο, ὡς ἐλάττονα εἰσάγοντα τὴν θεότητα τοῦ Υἱοῦ· καὶ πάλιν τὸν Παῦλον "ἐν μορφῇ Θεοῦ τὸν Υἱὸν ὑπάρχειν" λέγοντα, οὐ περὶ τοῦ Πατρὸς εἰρηκέναι διὰ τὸ χωρὶς ἄρθρου καὶ αὐτὸ κεῖσθαι, τί ἂν εἴποιεν ἐνταῦθα τοῦ Παύλου λέγοντος οὐκ ἀπὸ τοῦ Θεοῦ, ἀλλ' "ἀπὸ Θεοῦ "Πατρός;" πατέρα δὲ ἐνταῦθα τὸν Θεὸν καλεῖ, οὐ κολακεύων αὐτούς, ἀλλὰ καὶ σφόδρα καθαπτόμενος καὶ ὑπομιμνήσκων τὴν αἰτίαν, δι' ἧς ἐγένοντο υἱοί· οὐ γὰρ διὰ νόμου, ἀλλὰ διὰ λουτροῦ παλιγγενεσίας ταύτης ἠξιώθησαν τῆς τιμῆς. Διὰ τοῦτο πανταχοῦ καὶ ἐν προοιμίοις κατασπείρει τὰ ἴχνη τῆς εὐεργεσίας τοῦ Θεοῦ, μονονουχὶ λέγων· οἱ δοῦλοι καὶ οἱ ἐχθροὶ καὶ ἠλλοτριωμένοι, πόθεν ἐξαίφνης Πατέρα καλεῖτε τὸν Θεόν; μὴ ὁ νόμος ὑμῖν ταύτην ἐχαρίσατο τὴν εὐγένειαν; μὴ ἄφεσιν ἁμαρτιῶν ἐδωρήσατο; τί τοίνυν καταλίποντες τὸν εἰς ταύτην ὑμᾶς τὴν ἐγγύτητα ἀγαγόντα, προστρέχετε πάλιν τῷ παιδαγωγῷ; οὐκ ἐπὶ τοῦ Πατρὸς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Υἱοῦ ταῦτα αὐτοῖς τὰ ὀνόματα ἱκανὰ τὴν εὐεργεσίαν ἐνδείξασθαι. Τὸ γὰρ Κυρίου Χριστοῦ Ἰησοῦ ὄνομα μετὰ ἀκριβείας ἐξεταζόμενον, τὴν εὐεργεσίαν πᾶσαν ἐνδείκνυται. καὶ γὰρ Ἰησοῦς διὰ τοῦτο κληθήσεται, φησίν, "ὅτι αὐτὸς σώσει "τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν·" καὶ ἡ τοῦ Χριστοῦ δὲ προσηγορία, τῆς τοῦ Πνεύματος ἀνέμνησε χρίσεως.

4 Τοῦ δόντος ἑαυτὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

Ὁρᾷς ὅτι οὐ δουλικὴν ὑπέμεινε διακονίαν, οὐδὲ ἠναγκασμένην, ἀλλ' ἑαυτὸν ἔδωκεν; ὥστε ὅταν ἀκούσῃς Ἰωάννου λέγοντος, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ὑπὲρ ἡμῶν ὁ Πατήρ, μὴ ἐλαττώσῃς τὴν ἀξίαν τοῦ μονογενοῦς διὰ τοῦτο, μηδὲ ἀνθρώπινον ὑποπτεύσῃς· κἂν γὰρ ὁ Πατὴρ λέγηται δεδωκέναι, οὐχ ἵνα δουλικὴν

ἐννόησης διακονίαν τοῦτο λέγεται, ἀλλ' ἵνα μάθῃς ὅτι καὶ τῷ Πατρὶ τοῦτο δοκοῦν ἦν· ὅπερ οὖν καὶ ἐνταῦθα ὁ Παῦλος ἐδήλωσεν εἰπὼν, "κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν," οὐ κατ' ἐπιταγὴν, ἀλλὰ κατὰ τὸ θέλημα. Ἐπειδὴ γὰρ ἓν θέλημα Πατρὸς καὶ Υἱοῦ, ἅπερ ὁ Υἱὸς ἐβούλετο, ταῦτα καὶ ὁ Πατὴρ ἤθελεν.

Ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν.

Μυρίοις, φησὶν, ἑαυτοὺς περιεπείραμεν κακοῖς, καὶ τῆς ἐσχάτης ἦμεν ὑπεύθυνοι . . . . . . καὶ ὁ μὲν νόμος οὐ μόνον οὐκ ἀπήλλαξεν, ἀλλὰ καὶ κατεδίκασε· τὸ μὲν ἁμάρτημα φανερὸν καθιστὰς, ἐλευθερῶσαι δὲ οὐκ ἰσχύων, οὐδὲ παῦσαι τοῦ Θεοῦ τὴν ὀργήν. ὁ δὲ Υἱὸς τοῦ Θεοῦ καὶ τὸ ἀδύνατον τοῦτο δυνατὸν ἐποίησε, τάς τε ἁμαρτίας λύσας, καὶ τοὺς ἐχθροὺς ἐν τάξει φίλων καταστήσας, καὶ μυρία ἕτερα χαρισάμενος ἀγαθά. εἶτα φησὶν,

Ὅπως ἐξέληται ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ.

Πάλιν ἕτεροι ταύτης τῆς λέξεως ἐπιλαμβάνονται αἱρετικοὶ, τὸν παρόντα βίον διαβάλλοντες, καὶ τὴν Παύλου μαρτυρίαν παράγοντες. Ἰδοὺ γάρ, φησι, τὸν ἐνεστῶτα αἰῶνα πονηρὸν εἴρηκε. Καὶ τί ποτέ ἐστιν αἰὼν, εἰπέ μοι; χρόνος δηλονότι· ὁ δὲ χρόνος ἐν ὥραις καὶ ἡμέραις· τί οὖν; τὸ διάστημα τῶν ἡμέρων πονηρὸν, καὶ ὁ τοῦ ἡλίου δρόμος; ἀλλ' οὐδεὶς ἂν εἴποι τοῦτο ποτὲ, κἂν εἰς ἐσχάτην ἀλογίαν κατενεχθείη· ἀλλ' οὐ τὸν χρόνον εἶπε, φησὶν, ἀλλὰ τὴν παροῦσαν ζωὴν πονηρὰν ἐκάλεσε· καὶ μὴν τὰ ῥήματά σου τοῦτο φησὶν, ἀλλ' οὐχ ἵσταται ἐπὶ τῶν ῥημάτων, ἀφ' ὧν τὴν κατηγορίαν ἔπλεξας, ἀλλὰ σαυτῷ τέμνεις ἑρμηνείας ὁδόν. οὐκοῦν καὶ ἡμῖν συγχωρήσεις ἑρμηνεῦσαι τὰ εἰρήμενα· καὶ τοσοῦτον μᾶλλον, ὅσον καὶ εὐσεβῆ τὰ ἡμέτερα καὶ λόγον ἔχοντα· τί οὖν ἂν εἴποιμεν; ὅτι οὐδὲν τῶν κακῶν ἀγαθοῦ γένοιτ' ἂν αἴτιον ποτέ· τῶν δὲ μυρίων στεφάνων καὶ τοσούτων μισθῶν ὁ παρὼν ἡμῖν βίος αἴτιός ἐστιν. αὐτὸς γοῦν οὗτος ὁ μακάριος Παῦλος ἐπαινεῖ μεθ' ὑπερβολῆς αὐτὸν, λέγων οὕτως· "εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ τοῦτό μοι "καρπὸς ἔργου, καὶ τί αἱρήσομαι οὐ γινώσκω·" καὶ αἵρεσιν δὲ ἑαυτῷ προθεὶς τοῦ ζῆν ἐνταῦθα καὶ τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, προτιμᾷ τὴν ἐνταῦθα διαγωγήν· εἰ δὲ πονηρὸς ἦν, οὐκ ἂν ἐκεῖνος περὶ ἑαυτοῦ ταῦτα εἶπεν, οὔτ' ἂν ἄλλός τις εἰς ἀρετὴν

αὐτῷ καταχρήσασθαι ἐδυνήθη, εἰ καὶ σφόδρα σπουδάζομεν· κακίᾳ γὰρ, οὐκ ἄν ποτε εἰς ἀγαθόν τις χρήσαιτο· οὐ πορνείᾳ εἰς σωφροσύνην· οὐ φθόνῳ εἰς φιλοφροσύνην· καὶ γὰρ ὅταν λέγῃ Παῦλος περὶ τοῦ φρονήματος τῆς σαρκὸς ὅτι τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται, τοῦτο λέγει· ὅτι ἡ κακία οὐ δύναται εἶναι ἀρετή· ὥστε ὅταν ἀκούσῃς πονηρὸν αἰῶνα, τὰς πράξεις ἐννόει τὰς πονηρὰς, τὴν προαίρεσιν τὴν διεφθαρμένην.

Οὐδὲ γὰρ ἵνα ἀποκτείνῃ ἡμᾶς καὶ ἐξαγάγῃ τῆς παρούσης ζωῆς ἦλθεν ὁ Χριστὸς, ἀλλ' ἵνα ἀφεὶς ἐν τῷ κόσμῳ, παρασκευάσῃ τῆς ἐν τοῖς οὐρανοῖς διαγωγῆς γενέσθαι ἀξίους· διὰ τοῦτο καὶ τῷ Πατρὶ διαλεγόμενος ἔλεγε, "καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσὶ, καὶ "ἐγὼ πρὸς σὲ ἔρχομαι· οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ "κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ," τοῦτ' ἔστιν, ἀπὸ τῆς κακίας. εἰ δὲ μὴ ἀνέχῃ τούτων, ἀλλ' ἔτι πονηρὰν τὴν παροῦσαν ζωὴν εἶναι φῇς, μὴ ἐγκάλει τοῖς ἑαυτοὺς ἀναιροῦσιν. ὥσπερ γὰρ ὁ τῆς κακίας ἑαυτὸν ὑπεξάγων οὐκ ἐγκλημάτων ἀλλὰ στεφάνων ἄξιος, οὕτως καὶ ὁ βιαίῳ θανάτῳ καταλύων τὴν ζωὴν, οὐκ ἂν εἴη δίκαιος ἐγκαλεῖσθαι καθ' ὑμᾶς· νῦν δὲ καὶ ὁ Θεὸς τοὺς ποιούτους κολάζει τῶν ἀνδροφόνων μᾶλλον, καὶ πάντες βδελυττόμεθα εἰκότως. εἰ γὰρ ἑτέρους ἀναιρεῖν οὐ καλὸν, πολλῷ μᾶλλον ἑαυτόν. εἰ δὲ πονηρὸν ἡ παροῦσα ζωὴ, τοὺς ἀνδροφόνους στεφανοῦν ἔδει, ὅτι τῆς πονηρίας ἡμᾶς ἀπαλλάττουσι. τίνος οὖν ἕνεκεν . . . . φησὶν αἰῶνα πονηρὸν ἐνεστῶτα; τῇ κοινῇ κεχρημένος συνηθείᾳ· καὶ γὰρ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, κακὴν ἔσχον ἡμέραν· οὐ τὸν καιρὸν, ἀλλὰ τὴν πρᾶξιν ἢ τὴν περίστασιν διαβάλλοντες· οὕτω καὶ Παῦλος τὰς πονηρὰς διαβάλλων προαιρέσεις φησὶ, τῇ συνηθείᾳ κεχρήμενος, καὶ δείκνυσιν ὅτι καὶ τῶν προτέρων ἡμᾶς ἀπήλλαξεν ὁ Χριστὸς ἁμαρτημάτων, καὶ πρὸς τὸ μέλλον ἠσφαλίσατο· τῷ μὲν γὰρ εἰπεῖν "τοῦ δόντος ἑαυτὸν ὑπὲρ "τῶν ἁμαρτιῶν ἡμῶν," ἐκεῖνο ἐδήλωσε· τῷ δὲ προσθεῖναι "ὅπως "ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ," τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν ἐνέφηνεν. ὁ μὲν γὰρ νόμος καὶ πρὸς τὸ ἓν αὐτὸ τοῦτο ἠσθένει· ἡ δὲ χάρις πρὸς ἀμφότερα δυνατὴ γέγονεν.

Κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν.

Ἐπειδὴ γὰρ ἐνόμιζον ἐκεῖνοι τοῦ Θεοῦ παρακούειν ὡς δεδωκότος

τὸν νόμον, καὶ ἐδεδοίκεισαν εἰ τὴν παλαιὰν ἀφέντες προσέλθοιεν τῇ κοινῇ, καὶ ταύτην αὐτῶν διορθοῦται τὴν ὑπόνοιαν λέγων, ὅτι καὶ τῷ Πατρὶ ταῦτα δοκεῖ· καὶ οὐκ ἁπλῶς εἶπε Πατρὸς, ἀλλὰ Πατρὸς ἡμῶν· καὶ συνεχῶς αὐτὸ τίθησιν· ἐντρέπων αὐτοὺς τῷ δεικνύναι ὅτι πατέρα ἡμῶν τὸν αὐτοῦ Πατέρα πεποίηκεν ὁ Χριστός.

(Ευσεβίου.) Ἄλλος δέ φησι, τὸν ἐνεστῶτα αἰῶνα πονηρὸν εἰπὼν, ἔδειξεν ὅτι τὸ κακὸν, οὐκ ἀγέννητον ἀλλὰ πρόσκαιρον, καὶ ἐν ἀνθρώποις πρὸς οὓς ἔγραψε, καὶ περὶ ἀνθρώπων τῶν πεισάντων αὐτοὺς ἀκαίρως κεχρῆσθαι τῷ νόμῳ.

(Θεοδώρου.) Αἰὼν δέ ἐστιν, ὡς ἄλλος φησὶν, οὐ φύσις ἐν ὑποστάσει γνωριζομένη, ἀλλὰ διάστημα, ὁπώς ποτε ἐπινοούμενον, χρόνου, εἴτε μικρὸν, εἴτε μέγα· μικρὸν μὲν, ὡς ὅταν τὴν ἡμετέραν ζωὴν οὕτως καλῇ "ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου "σου·" μέγα δὲ, ὡς ὅτε τὸ πᾶν διάστημα οὕτω λέγει, τὸ ἀπὸ τῆς τοῦ κόσμου καταβολῆς ἄχρι τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ἐπὶ συντελείᾳ αὐτοῦ παρόντος βίου γινομένης νοούμενον· περὶ οὗ ἐν τοῖς Εὐαγγελίοις ὁ Κύριος φησίν· "ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι "πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος·" ὃν δὴ καὶ ἐνεστῶτα αἰῶνα ὁ Ἀπόστολος λέγει· οὕτω καλῶν αὐτὸν, ὡς ἂν ἐν αὐτῷ τὴν παροῦσαν ταυτηνὶ ζωὴν ζώντων ἡμῶν. πῶς οὖν ἂν γένοιτο διάστημα, ὃ μηδὲ ἐν ὑποστάσει θεωρεῖται ἢ καλὸν ἢ κακὸν κατὰ φύσιν; ἀλλ' ὅπερ βούλεται εἰπεῖν ὁ Ἀπόστολος, τοῦτό ἐστιν. ὁ πρῶτος ἄνθρωπος ὡς ἐγένετο, εἰ μὲν ἀθάνατος ἔμεινεν, ἐνεστὼς βίος οὐκ ἂν ἦν· ἅτε δὴ τέλος οὐκ ἔχων· ἐπειδὴ δὲ θνητὸς ἐγένετο διὰ τὴν ἁμαρτίαν, ἐνεστὼς καλεῖται βίος ὡς εἰκὸς ἡ παροῦσα ζωὴ πρὸς τὴν μέλλουσαν ὕστερον· ἐν ταύτῃ μὲν οὖν, καὶ ἁμαρτάνειν ἐπιδεχόμεθα, ὅθεν καὶ νομίμων ἡμῖν χρεία, ἐπὶ δέ γε τοῦ μέλλοντος αἰῶνος, οὐδὲ διὰ τάξεως χρεία ἡμῖν τίνος· ἐπείπερ ἔξω πάσης ἁμαρτίας τῇ τοῦ Πνεύματος χάριτι φυλαττόμεθα. βούλεται τοίνυν εἰπεῖν, ὅτι δέδοται μὲν ὁ νόμος, ἁμαρτία δὲ οὐκ ἀνῄρητο· ἀλλὰ γὰρ καὶ σφόδρα ἡμῖν ἐπολιτεύετο· ἐπειδὴ γὰρ ἑκάστοτε παρεβαίνομεν ποτὲ μὲν ταῦτα, ποτὲ δὲ ἐκεῖνα, παρὰ τὴν τοῦ νόμου διαπραττόμενοι διάταξιν, καὶ ἦν οὐδὲν τὸ τοῦ ἁμαρτάνειν ἡμᾶς ῥυόμενον· ἀλλὰ αὐτὴ ἡ τῆς φύσεως ἀσθένεια καθεῖλκεν ἐπὶ τὸ

πταίειν, ὁ δέ γε Χριστὸς ἀποθανὼν ὑπὲρ ἡμῶν καὶ ἀναστὰς, παρασχόμενος δι' αὐτοῦ καὶ ἡμῖν τὴν τῆς ἀναστάσεως μετουσίαν, ἀπήλλαξεν ἡμᾶς τῆς τοῦ παρόντος βίου ζωῆς, ἐν ᾗ πολλὰ τῶν οὐ προσηκόντων διαπραττόμεθα, καὶ κατέστησεν ἐπὶ ἐλπίδι τῆς μελλούσης ζωῆς· λοιπὸν ἀθάνατοί τε καὶ ἀπαθεῖς διαμένοντες, καὶ ἔξω πάσης ἁμαρτίας ὃ μηδαμῶς παρασχεῖν ἡμῖν ὁ νόμος ἐξίσχυσεν· ὃ καὶ καλῶς ἐπισφίγγων προσέθηκε, "κατὰ τὸ θέλημα τοῦ "Θεοῦ καὶ Πατρὸς ἡμῶν." τὸ δὲ "ἐξέληται" εἴρηκεν, ἵνα παραστήσῃ ὅτι οὐκ ἦν ἄλλῳ εὐχερὲς τινὶ οὔτε νόμῳ οὔτε προφήταις· τὸ γὰρ ἐξέληται, μικροῦ βίαν σημαίνει· ἀλλ' οὐ βίαν, ἀλλὰ δύναμιν τοῦ ῥυσαμένου. πῶς δὲ οὐ βίαν ἀλλὰ δύναμιν; οὐκ εἶπεν τοῦ ἁρπάσαντος, ἀλλὰ "τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν "ὅπως ἐξέληται ἡμᾶς·" αὕτη ἡ λέξις, τὸ δυσκατόρθωτον παντὶ ἄλλῳ παρέστησε. κέκληται δὲ πατὴρ ἡμῶν ὁ Θεὸς, ἵνα τῆς υἱοθεσίας φανερουμένης, ἐκβληθῇ ἡ διὰ νόμου ἀνάγκη. "ᾧ ἡ δόξα εἰς "τοὺς αἰῶνας ἀμήν·" καὶ τοῦτο καινὸν καὶ παρηλλαγμένον· τὸ μὲν γὰρ ἀμὴν, οὐδαμοῦ ἐν ἀρχῇ καὶ ἐν προοιμίοις ἐπιστολῆς εὑρίσκομεν κείμενον, ἀλλὰ μετὰ πολλά· ἐνταῦθα δὲ δεικνὺς ὅτι καὶ τὰ εἰρημένα ἱκανὴν εἶχεν κατηγορίαν Γαλατῶν καὶ ὅτι λόγος ἀπηρτίσμενος ἐστὶν, τὸ προοίμιον ταῦτα τέθεικε· τὰ γὰρ φανερὰ τῶν ἐγκλημάτων, οὐ πολλῆς δεῖται κατασκευῆς. ἀναμνήσας τοίνυν τοῦ σταυροῦ, τῆς ἀναστάσεως, τῆς τῶν ἁμαρτημάτων λυτρώσεως, τῆς πρὸς τὸ μέλλον ἀσφαλείας, τῆς τοῦ Πατρὸς γνώμης, τῆς τοῦ Υἱοῦ βουλῆς, τῆς χάριτος, τῆς εἰρήνης, πάσης αὐτοῦ τῆς δωρεᾶς, εἰς δοξολογίαν κατέκλεισε τὸν λόγον· τὴν αὐτῷ δυνατὴν εὐφημίαν ὑπὲρ τῆς οἰκουμένης ἀναπέμπων ἁπάσης· διὰ τοῦτο καὶ σφοδρότερον τῷ μετὰ ταῦτα κέκρηται λόγῳ, καθάπερ πυρωθεὶς σφοδρῶς ὑπὸ τῆς ἐννοίας τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, εἰπὼν γάρ· "ᾧ ἡ δόξα "εἰς τοὺς αἰῶνας ἀμὴν," ἀπὸ σφοδροτέρας ἄρχεται ἐπιπλήξεως οὕτω λέγων·

6 Θαυμάζω ὅτι οὕτως ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ εἰς ἕτερον Εὐαγγέλιον.

Τοῦ Χρυσοστόμου. Ἐπειδὴ γὰρ διὰ τῆς τοῦ νόμου φυλακῆς

ὑπώπτευον ἀρέσκειν τῷ Πατρὶ καὶ Ἰουδαῖοι τὸν Χριστὸν διώκοντες, τοῦτο πρῶτον ἐνδείκνυται· ὅτι οὐ τὸν Χριστὸν μόνον, ἀλλὰ καὶ τὸν Πατέρα παροξύνουσι τοῦτο πράττοντες· οὐ γὰρ ἀπὰ τοῦ Χριστοῦ φησὶν, ἀλλὰ καὶ ἀπὸ τοῦ Πατρὸς μεθίστασθαι τοῦτο ποιοῦντες· ὥσπερ γὰρ ἡ παλαιὰ οὐ τοῦ Πατρὸς μόνον, ἀλλὰ καὶ τοῦ Υἱοῦ, οὕτως καὶ ἡ χάρις οὐ τοῦ Υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ Πατρὸς, καὶ πάντα τὰ κοινά· "πάντα γὰρ" φησι "τὰ τοῦ Πατρός μου, ἐμά ἐστιν·" εἰπὼν τοίνυν ὅτι καὶ τοῦ Πατρὸς ἀφίστανται, δύο ἐγκλήματα τίθησι, καὶ τὴν μετάθεσιν, καὶ τὴν ταχίστην μετάθεσιν· καὶ μὴν τὸ ἐναντίον κατηγορίας ἄξιον, τὸ μετὰ πολὺν ἀποστῆναι χρόνον· ἀλλὰ ἐνταῦθα περὶ ἀπάτης ὁ λόγος.

Ἄξιος μὲν γὰρ ἐγκλημάτων καὶ ὁ μετὰ πολὺν ἀποστὰς χρόνον. ὁ δὲ ἐκ πρώτης προσβολῆς, καὶ ἐν αὐτοῖς τοῖς ἀκροβολισμοῖς καταπεσὼν, ἐσχάτης ἐξήνεγκεν ἀσθενείας ὑποδειγμα· ὃ καὶ τούτοις ἐγκαλεῖ λέγων· τί τοῦτο; οὐδὲ χρόνου δέονται οἱ ἀπατῶντες ὑμᾶς· μετὰ τοσαύτην χάριν, μετὰ τοσαύτην δωρεὰν, μετὰ τοσαύτην ἁμαρτημάτων συγχώρησιν καὶ φιλανθρωπίας ὑπερβολὴν, ἐπὶ ζυγὸν δουλείας ηὐτομολήσατε; ταῦτα δὲ λέγων, δείκνυσιν ὁμοῦ οἵαν ἔχει περὶ αὐτῶν ὑπόνοιαν, ὅτι μεγάλην τινὰ καὶ ἐσπουδασμένην· οὐδὲ γὰρ ἂν εἰ τῶν τυχόντων αὐτοὺς ἐνόμιζεν εἶναι, ἐθαύμασεν ἂν ἐπὶ τῷ γενομένῳ· ἀλλ' ἐπειδὴ τῶν γνησίων φησὶ καὶ πολλὰ πεπονηκότων ὑμεῖς, διὰ τοῦτο θαυμάζω· ὅπερ ἦν ἱκανὸν αὐτοὺς ἀναστήσασθαι, καὶ πρὸς τὰ πρότερα ἐπαναγαγεῖν· ὃ καὶ ἐν μέσῃ τῇ Ἐπιστολῇ δηλῶν ἔλεγε, "τοσαῦτα "ἐπάθετε εἰκῇ·" εἴγε καὶ εἰκῇ καὶ οὐκ εἶπε μετέθεσθε, ἀλλὰ "μετατίθεσθε·" τοῦτ' ἔστιν, οὐδέπω πιστεύω οὐδὲ ἡγοῦμαι ἀπηρτισμένην εἶναι τὴν ἀπάτην· ὃ καὶ αὐτὸ πάλιν ἐστὶν ἀνακτωμένου· τοῦτο γοῦν σαφέστερον προϊὼν λέγει· "ἐγὼ πέποιθα εἰς ὑμᾶς, ὅτι "οὐδὲν ἄλλο φρονήσετε."

Ἀπὸ τοῦ καλέσαντος ὑμᾶς, ἐν χάριτι Χριστοῦ.

Ἡ μὲν κλῆσις ἐστὶ τοῦ Πατρός· τῆς δὲ κλήσεως ἡ αἰτία τοῦ Υἱοῦ· αὐτὸς γάρ ἐστιν ὁ καταλλάξας καὶ δωρεὰν δούς· οὐ γὰρ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἐσώθημεν· μᾶλλον δὲ καὶ ταῦτα ἐκείνου, καὶ ἐκεῖνα τούτου· "τὰ γὰρ ἐμὰ, σὰ," φησὶ,

“καὶ τὰ σὰ, ἐμά.” καὶ οὐκ εἶπεν ἀπὸ τοῦ Εὐαγγελίου μετατίθεσθε, ἀλλ᾽ ἀπὸ τοῦ καλέσαντος ὑμᾶς, φησι, Θεοῦ· ὃ γὰρ ἦν φρικωδέστερον, καὶ μᾶλλον ἱκανὸν αὐτοὺς καταπλῆξαι, τοῦτο τέθεικεν. οἱ γὰρ ἀπατᾶν αὐτοὺς βουλόμενοι οὐκ ἀθρόως τοῦτο ἐποίουν, ἀλλ᾽ ἠρέμα αὐτοὺς τῶν πραγμάτων μεθιστῶντες, τῶν ὀνομάτων οὐ μεθίστων· τοιαύτη γὰρ τοῦ διαβόλου ἡ πλάνη, μὴ γυμνὰ προτιθέναι τὰ θήρατρα· εἰ μὲν γὰρ εἶπον ἀποστῆναι ἀπὸ τοῦ Χριστοῦ· ὡς πλάνους ἂν καὶ λυμεῶνας ἐφυλάξαντο· νῦν δὲ ἀφέντες αὐτοὺς ἐν τῇ πίστει τέως, καὶ τῇ πλάνῃ τὸ τοῦ Εὐαγγελίου ἐπιθέντες ὄνομα, μετὰ πολλῆς τῆς ἀδείας διώρυττον τὴν οἰκοδομὴν τῶν εἰρημένων· καθαπέρ τινων παραπετασμάτων, τῶν ὀνομάτων τούτων κρυπτόντων τοὺς τοιχωρύχους· ἐπεὶ οὖν Εὐαγγέλιον ἐκάλουν τὴν ἑαυτῶν ἀπάτην, καλῶς αὐτὸς καὶ πρὸς τὸ ὄνομα μάχεται λέγων.

Εἰς ἕτερον Εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο.

Ἀλλ᾽ ὅμως ὅπερ πάσχουσιν οἱ νοσοῦντες, ἐκ τῶν ὑγιεινῶν βλαπτόμενοι σιτίων, τοῦτο καὶ Μαρκίων ἐνταῦθα ἔπαθεν . . . . ὅτι ἰδου . . Παῦλος εἶπεν, οὐκ ἔστιν Εὐαγγέλιον· οὐδὲ γὰρ παραδέχονται τοὺς Εὐαγγελιστὰς ἅπαντας, ἀλλ᾽ ἕνα μόνον· καὶ αὐτὸν περικόψαντες καὶ συγχέσαντες ὡς ἐβούλοντο· τί οὖν ὅταν αὐτὸς λέγῃ, “κατὰ τὸ Εὐαγγέλιόν μου καὶ τὸ “κήρυγμα Ἰησοῦ Χριστοῦ;”

Ἔστι μὲν οὖν πολλοῦ γέλωτος ἄξια τὰ εἰρημένα παρ᾽ αὐτῶν· πλὴν ἀλλὰ κἂν καταγέλαστα ᾖ, ἀναγκαῖον ἐλέγχειν αὐτὰ, διὰ τοὺς εὐκόλως ἀπατωμένους· τί οὖν ἐροῦμεν; ὅτι κἂν μυρίοι γράφωσιν Εὐαγγέλια, τὰ δὲ αὐτὰ γράφωσιν, ἕν ἐστι τὰ πολλά· καὶ οὐδὲν ἀπὸ τοῦ τῶν γραφόντων πλήθους εἰς τὸ ἓν εἶναι παραβλαβήσεται.

Ὥσπερ οὖν κἂν εἷς ᾖ πάλιν ὁ γράφων, καὶ ἐναντία γράφῃ, οὐκ ἔστιν ἓν τὰ γραφόμενα· τὸ γὰρ ἓν καὶ τὸ οὐκ ἓν, οὐ τῷ τῶν γραφόντων ἀριθμῷ, ἀλλὰ τῇ ταυτότητι καὶ ἑτερότητι τῶν λεγομένων κρίνεται· ὅθεν δῆλον ὅτι καὶ τὰ τέσσαρα Εὐαγγέλια ἕν ἐστιν Εὐαγγέλιον. ὅταν γὰρ οἱ τέσσαρες τὰ αὐτὰ λέγωσιν, οὐκ ἔστιν ἄλλο καὶ ἄλλο διὰ τὴν τῶν προσώπων διαφορὰν, ἀλλ᾽ ἓν διὰ τὴν τῶν εἰρημένων συμφωνίαν καὶ τὴν τῶν δογμάτων ἀκρίβειαν.

(Σετηριανοῦ.) Ἄλλος δέ· "Εἰς ἕτερον Εὐαγγέλιον ὃ οὐκ ἔστιν "ἄλλο" φησίν· τὸ γὰρ ἡμέτερον Εὐαγγελίον καὶ τὸ τῶν Ἀποστόλων ἐκτὸς ὑμᾶς εἶναι βούλεται νόμου.

(Θεόδωρος.) Ἄλλος δὲ πάλιν, οὕτως ἑρμηνεύει τὰ εἰρημένα. διὰ πάντων ηὔξησε τὴν ἀτοπίαν τῆς μεταβολῆς τὸ οὕτως εἰπὼν, πολλὴν εἶχον τὴν ἔνδειξιν· καὶ τὸ ταχέως ἐπισυνάψας καὶ τὸ "μετατίθεσθε" προστεθεικὼς οὐ μετάγεσθε, ὡς ἐπὶ ἀψύχων φησὶ "μετατίθεσθε·" "εἰς ἕτερον Εὐαγγέλιον·" ἵνα δοκῇ παντελὴς εἶναι εὐσεβείας μετάθεσις· καὶ ἵνα μὴ δόξῃ συγχωρεῖν ἕτερον Εὐαγγέλιον εἶναι ὃ οὐκ ἔστιν ἄλλο· πῶς οὖν εἶπας ἕτερον; "εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς καὶ θέλοντες μετα-"στρέψαι τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ·" τὴν ἀπὸ τοῦ ὄντος Εὐαγγελίου μεταβολὴν, ἕτερον εἰπὼν Εὐαγγέλιον· εἶτα ἐπειδὴ τὰ τῶν Ἀποστόλων πρόσωπα προεβάλλοντο, ὥστε δεῖξαι ὅτι οὐκ ἑαυτὸν ἐκείνων προτιμᾷ, ἀλλὰ τὴν ἀλήθειαν, ἧς ἐκτὸς οὐδὲ ἑαυτὸν εἶναί τι νενόμικεν· ὅθεν αὐτὸ καὶ ἐπαύξων ἔλεγεν· "ἢ ἄγγελος ἐξ "οὐρανοῦ·" ἵνα μηδὲ ἡ τοῦ τόπου ἀξιοπιστία μετὰ τοῦ προσώπου συναφθεῖσα ἀντίρροπος τῆς ἀληθείας εἶναι νομίζηται· "εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς" φησὶ "καὶ θέλοντες ἀνατρέπειν τὸ "Εὐαγγέλιον τοῦ Χριστοῦ." τουτέστιν, ἕως ἂν ὑγιαίνητε τὸν νοῦν, οὐκ ἐπιγνώσεσθε ἕτερον Εὐαγγέλιον· ἕως ἂν ὀρθὰ βλέπητε καὶ μὴ διεστραμμένα, τὰ μὴ ὄντα φανταζόμενοι.

Δεικνὺς δὲ ὅτι μικρὸν παραποιηθὲν τὸ ὅλον λυμαίνεται, εἶπε, τὸ Εὐαγγέλιον ἀνατρέπεσθαι.

Καθάπερ [c] γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν, ὁ μικρὸν τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο, οὕτως καὶ ὁ τῆς ὑγιοῦς πίστεως, καὶ τὸ βραχύτατον ἀνατρέψας, τῷ παντὶ λυμαίνεται, ἐπὶ τὰ χείρονα προϊὼν ἀπὸ τῆς ἀρχῆς. διὰ τοῦτο καὶ ὁ Παῦλος τὴν περιτομὴν, ἀνατροπὴν τοῦ Εὐαγγελίου καλεῖ.

8 Ἀλλὰ καὶ ἐὰν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν, παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω.

Ὁρᾷς σύνεσιν ἀποστολικήν; ἵνα γὰρ μήτις λέγῃ ὅτι κενο-

[c] In marg. ὑπόδειγμα.

δοξίας ἕνεκεν τὰ ἴδια συγκροτεῖ δόγματα καὶ ἑαυτὸν ἀναθεμάτισεν· ἐπειδὴ δὲ καὶ εἰς ἀξιώματα κατέφυγον, Ἰάκωβον, καὶ Ἰωάννην, διὰ τοῦτο καὶ ἀγγέλων ἐμνήσθη. μὴ γάρ μοι Ἰάκωβον εἴπῃς, φησὶ, καὶ Ἰωάννην· κἂν γὰρ τῶν πρώτων ἀγγέλων ᾖ τίς τῶν ἐξ οὐρανοῦ διαφθείρων τὸ κήρυγμα, ἀνάθεμα ἔστω. καὶ οὐκ ἁπλῶς εἶπεν ἐξ οὐρανοῦ, ἀλλ' ἐπειδὴ καὶ ἱερεῖς ἄγγελοι ἐκαλοῦντο, "χείλη γὰρ ἱερέως φυλάξεται γνῶσιν· καὶ νόμον ἐκζητήσουσιν "ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν·" ἵνα μὴ τούτους νομίσῃς λέγεσθαι ἀγγέλους, τῇ τοῦ "οὐρανοῦ" προσθήκῃ τὰς ἄνω δυνάμεις ᾐνίξατο· καὶ οὐκ εἶπεν, ἐὰν ἐναντία καταγγέλλωσιν ἢ ἀνατρέπωσι τὸ πᾶν, ἀλλὰ κἂν μικρόν τι εὐαγγελίζωνται "παρ' ὃ εὐηγγελισάμεθα," κἂν τὸ τυχὸν παρακινῶσιν, "ἀνάθεμα ἔστω."

9 Ὡς προείρηκα καὶ πάλιν λέγω.

Ἵνα γὰρ μὴ νομίσῃς θυμοῦ τὰ ῥήματα εἶναι, ἢ ὑπερβολικῶς εἰρῆσθαι, ἢ κατὰ συναρπαγήν τινα, δεύτερον αὐτὸ πάλιν τίθησιν· ὁ μὲν θυμῷ τι προαχθεὶς εἰπεῖν, κἂν μεταγνοίη ταχέως· ὁ δὲ δεύτερον τὰ αὐτὰ λέγων, δείκνυσιν ὅτι κρίνας οὕτως εἰπεῖν καὶ πρότερον τῇ γνώμῃ κυρώσας, οὕτως ἐξήνεγκε τὸ λεχθέν· οἱ γὰρ ἄγγελοι, κἂν μεγάλοι, ἀλλὰ δοῦλοι καὶ λειτουργοὶ τυγχάνουσιν ὄντες· αἱ δὲ γραφαὶ πᾶσαι, οὐ παρὰ δούλων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων δεσπότου Θεοῦ γραφεῖσαι παρεπέμφθησαν· διὰ τοῦτό φησιν· "ἐάν τις ὑμᾶς εὐαγγελίσῃ τι παρ' ὃ εὐηγγελισάμεθα" ὑμᾶς, καὶ οὐκ εἶπεν ὁ δεῖνα καὶ ὁ δεῖνα, συνετῶς σφόδρα καὶ ἀνεπαχθῶς· τί γὰρ ἔδει λοιπὸν ὀνομάτων μνησθῆναι τὸν τοσαύτῃ ἄνω χρησάμενον ὑπερβολῇ, ὡς ἅπαντας καὶ τοὺς κάτω περιλαβεῖν; διὰ μὲν γὰρ τοῦ εὐαγγελιστὰς καὶ ἀγγέλους ἀναθεματίσαι, πᾶν ἀξίωμα περιέγραψε· διὰ δὲ τοῦ ἑαυτὸν, πᾶσαν οἰκειότητα καὶ γνησιότητα. ταῦτα δὲ, οὐχ ὡς καταγιγνώσκων τῶν Ἀποστόλων φησὶν, οὐδὲ ὡς παρακαινόντων τὸ κήρυγμα· ἄπαγε. εἴτε γὰρ ἡμεῖς εἴτε ἐκεῖνοι, φησὶν, οὕτω κηρύσσομεν· ἀλλὰ δεῖξαι βουλόμενος ὅτι ἀξίωμα προσώπων οὐ προσίεται, ὅταν περὶ ἀληθείας ὁ λόγος ᾖ.

(Σετηριανοῦ.) Ἄλλος δέ, φησιν, ἔστω ἄγγελος· διὰ τί δὲ καὶ ἡμεῖς, ὅτε ἐκηρύττομεν Πνεύματος Ἁγίου δυνάμει ἐκηρύξαμεν· τὸ δὲ Πνεῦμα τὸ Ἅγιον . . . . ἔστω οὖν καὶ ὁ κῆρυξ ἀνάθεμα ἀθετῶν τὸ κήρυγμα.

Παρ' ὃ παρελάβετε.

Οὐκ ἐκήρυξα μὲν ἐγὼ φησίν· ὑμεῖς δὲ οὐκ ἐλάβετε, ἀλλὰ καὶ ἐγὼ ἐκήρυξα, καὶ ὑμεῖς παρελάβετε· οὔτε ἐγὼ μετανοῶ κηρύξας, καὶ ὑμεῖς τηρήσατε ὃ εἰλήφατε.

10 Ἄρτι γὰρ ἀνθρώπους πείθω ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; εἰ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην.

Μέλλων αὐτοὺς ὑπομιμνήσκειν τοῦ ἰδίου Εὐαγγελίου, προλαβὼν ἀσφαλίζεται, ἵνα μὴ νομίσωσιν ὅτι θεραπεύει ὑπαγόμενος· ἐπιπλήττει γὰρ νουθετῶν. εἰπὼν δὲ, "εἰ ἔτι," ἐδήλωσεν ὅτι ἤρεσκε ποτ' ἀνθρώποις· τίσι δὲ ἤρεσκε; παρ' ὧν ἔλαβεν ἐπιστολὰς τοὺς εἰς Δαμασκὸν πιστοὺς κακῶσαι· εἰ οὖν, φησὶν, ἤρεσκον ἔτι τοῖς Ἰουδαίοις, οὐκ ἂν ἐπίστευσα τῷ Χριστῷ.

Ἄλλος δέ φησι, πρὸς ἐκείνην ἀπομάχεται τὴν ὑπόνοιαν τὴν φάσκουσαν, ὅτι παρ' ὑμῖν ἄλλα εἶπεν, ἐν δὲ Ἰουδαίᾳ ἄλλως ἔζη, καὶ φησί· πῶς δύναμαι ἄλλος εἶναι ἔξωθεν, ἄλλος δὲ ἔσωθεν, Θεοῦ ὄντος τοῦ ἐφόρου; τί δὲ προβαλλόμενος ἀξιώματα ἀνθρώπινα, οἷς ἐγὼ οὔτε μάχομαι οὔτε διαφωνῶ;

Ὥστε ὁμοῦ μὲν ἀπολογούμενος, ὁμοῦ δὲ αὐτῶν κατεξανιστάμενος ταῦτα τέθεικε· τοὺς γὰρ μαθητευομένους, οὐ δικάζειν τοῖς διδασκάλοις ἀλλὰ πιστεύειν προσῆκεν. Ἐπειδὴ δὲ ἀντεστράφη ἡ τάξις, μάθετε ὅτι τῆς μὲν πρὸς ὑμᾶς ἀπολογίας οὐ πολύς μοι λόγος· τὸ δὲ πᾶν διὰ τὸν Θεὸν πράττομεν, καὶ ὥστε ἐκείνῳ περὶ τῶν δογμάτων ἀπολογήσασθαι τούτων. ὁ μὲν γὰρ ἀνθρώπους θέλων πεῖσαι, πολλὰ ὕπουλα ποιεῖ, καὶ ἀπάτῃ κέχρηται, ὥστε πεῖσαι καὶ ἑλεῖν τὴν τῶν ἀκουόντων γνώμην· ὁ δὲ Θεὸν πείθων, καὶ ἀρέσκειν ἐκείνῳ σπουδάζων, ἁπλῆς δεῖται διανοίας καὶ καθαρᾶς· ὅθεν φησι "καὶ ἡμεῖς οὐ φιλαρχίας ἕνεκεν, οὐδὲ τῆς παρ' ὑμῶν ἐφιέ-"μενοι δόξης, ταῦτα γράφομεν νῦν." Εἰ γὰρ ἤθελον ἀνθρώποις

ἀρέσκειν, ἔτι μετὰ Ἰουδαίων ἤμην, ἔτι τὴν ἐκκλησίαν ἐδίωκον. Ἵνα οὖν μὴ νομίσωσιν ὅτι αὐτοῖς ἀπολογούμενος ταῦτα λέγει καὶ τὰ ἑξῆς, καὶ ἐπαρθῶσι, διὰ τοῦτο προεῖπεν.

Ἄρτι γὰρ ἀνθρώπους πείθω.

Οἶδε γὰρ ἐς καιρὸν τὸν προσήκοντα, [πρὸς τὴν τῶν μαθητῶν διόρθωσιν, καὶ ὑψηλὸν καὶ μέγα τί φθέγγεσθαι· καίτοι γε ἦν ἑτέρωθεν τὰς ἀποδείξεις ποιήσασθαι τοῦ μετὰ ἀληθείας κηρύττειν, ἀπὸ τῶν σημείων, ἀπὸ τῶν θαυμάτων, ἀπὸ τῶν κινδύνων, καὶ ἀπὸ πάντων τῶν ἄλλων ὧν κατέλεξε Κορινθίοις ἐπιστέλλων· ἀλλ' ἐπειδὴ οὐ πρὸς τοὺς ψευδαποστόλους ἀλλὰ πρὸς τοὺς Ἀποστόλους ὁ λόγος αὐτῷ ἦν νῦν, ἐκεῖνοι δὲ καὶ τούτων ἦσαν κεκοινωνηκότες, ἑτέρωθεν μεθοδεύει τὸν λόγον, τὴν προτέραν ἀποστροφὴν διηγούμενος, καὶ φησίν, "γνωρίζω δὲ ὑμῖν ἀδελφοί."

ΚΕΦ. Α.

Διήγησις τῆς ἑαυτοῦ μεταστάσεως ἀπὸ Ἰουδαϊσμοῦ κατὰ ἀποκάλυψιν.

11 Γνωρίζω δὲ ὑμῖν ἀδελφοὶ τὸ Εὐαγγέλιον τὸ εὐαγγε-
12 λισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστιν κατὰ ἄνθρωπον· οὐδὲ
γὰρ ἐγὼ παρὰ ἀνθρώπου αὐτὸ παρέλαβον, οὐδὲ ἐδί-
δάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ.

Ὅρα πῶς ἄνω καὶ κάτω τοῦτο δισχυρίζεται, ὅτι τοῦ Χριστοῦ γέγονε μαθητής· οὐκ ἀνθρώπου μεσιτεύσαντος, ἀλλ' αὐτοῦ δι' ἑαυτοῦ καταξιώσαντος ἀποκαλύψαι τὴν γνῶσιν αὐτῷ πᾶσαν· καὶ ποῖα τοῖς ἀπίστοις ἀπόδειξις γένοιτ' ἄν, τοῦ τὸν Θεὸν ἀποκαλύψαι σοι δι' ἑαυτοῦ καὶ μὴ δι . . . . ἀπόρρητα ἐκεῖνα μυστήρια; ἡ προτέρα ἀναστροφὴ φησί· οὐ γὰρ ἂν εἰ μὴ Θεὸς ἦν ὁ ἐκκαλύπτων, οὕτως ἀθρόαν ἔσχον μεταβολήν· οἱ μὲν γὰρ ὑπὸ ἀνθρώπων διδασκόμενοι, ὅταν σφοδροὶ καὶ διακαεῖς ὦσιν ἐν τοῖς ἐναντίοις, χρόνου δέονται καὶ πολλῆς τῆς μηχανῆς πρὸς τὸ πεισθῆναι· ὁ δὲ οὕτως ἀθρόον μεταστὰς, καὶ ἐν αὐτῇ τῇ τῆς μανίας ἀκμῇ καθαρῶς σωφρονήσας, εὔδηλον ὅτι θείας τυχὼν ὄψεως καὶ διδασκαλίας, ἀθρόον πρὸς τὴν καθαρὰν ἐπανῆλθεν ὑγίειαν. διὰ τοῦτο ἀναγκάζεται περὶ τῆς προτέρας αὐτοῦ διηγήσασθαι σπουδῆς, καὶ μάρτυρας

αὐτοὺς καλεῖ τῶν γενομένων· ὅτι μὲν γὰρ κατηξίωσεν ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς δι' ἑαυτοῦ με καλέσαι ἐκ τῶν οὐρανῶν, ὑμεῖς οὐκ ἴστε· πῶς γὰρ οἱ μὴ παρόντες; ὅτι δὲ διώκτης ἤμην σφοδρὸς, ἴστε· καὶ γὰρ μέχρις ὑμῶν ἡ σφοδρότης ἡ ἐμὴ διεδόθη· καίτοι πολὺ τὸ διάστημα Παλαιστίνων καὶ Γαλατῶν· ὥστε οὐκ ἂν τοσοῦτον διέβη ἡ φήμη, εἰ μὴ πολλὴ ἡ τῶν γινομένων ὑπερβολὴ ἦν, καὶ πᾶσιν ἀφόρητος. διὸ καὶ φησί.

13 Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφὴν, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν.

Ὁρᾷς πῶς ἕκαστον μετὰ ἐπιστάσεως τίθησιν; καὶ οὐκ αἰσχύνεται· οὐ γὰρ ἁπλῶς ἐδίωκεν, ἀλλὰ καὶ μεθ' ὑπερβολῆς· καὶ οὐκ ἐδίωκεν μόνον, ἀλλὰ καὶ ἐπόρθει. τουτέστι, σβέσαι ἐπιχείρει τὴν ἐκκλησίαν, καταστρέψαι, καθελεῖν, ἀφανίσαι· τοῦτο γὰρ πορθοῦντος ἔργον.

(Εὐσεβίου.) Ἄλλος δέ φησι. Ἐν ἀρχῇ μὴ καλέσας Εὐαγγέλιον αὐτοῦ, ἐνταῦθα ἐπιφέρει· "τὸ Εὐαγγέλιον τὸ εὐαγγελι- "σθὲν ὑπ' ἐμοῦ."

Ἐπειδὴ ἀμφίβολον ἐγίνετο ποῖον ἔστι τὸ τοῦ καλέσαντος Εὐαγγέλιον οὐχὶ τοῖς πράγμασιν, ἀλλὰ ταῖς συκοφαντίαις· ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον, ὡς φασὶν, ὅτι παρὰ Πέτρου παρέλαβον· πῶς οὐκ ἔστι κατὰ ἄνθρωπον; "οὐδὲ γὰρ ἐγὼ παρέλαβον αὐτὸ, "οὐδὲ ἐδιδάχθην·" χρήσιμον τὸ "παρέλαβον," καὶ καλὸν τὸ "ἐδιδάχθην·" ταῦτα γὰρ τοῖς ἀνθρώποις συνῆπτον· ἡ γὰρ χάρις ἀθρόως λαμπρύνει, οἱ δὲ ἄνθρωποι ἠρέμα παραδιδόασι καὶ διδάσκουσι· ἀναγκαῖα δὲ καὶ ἡ τῶν ἀδελφῶν προσηγορία· ἐπειδὴ γὰρ ἐπιβουλεύειν ὑπωπτεύετο· ἄλλα μὲν εἰπὼν, ἄλλα δὲ ἔχων, διὰ τῆς προσηγορίας τῶν ἀδελφῶν, ἐξωθεῖται τὴν ὑπόνοιαν.

Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφὴν ποτὲ ἐν τῷ Ἰουδαϊσμῷ.

Καὶ οὐκ εἶπε τῷ νόμῳ· τίς οὖν ἡ ἀναστροφή; "ὅτι καθ' "ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ." Ἐπειδὴ γὰρ πρὸς τὰ νόμιμα μέλλει λέγειν, ἐδόκει δὲ ὁ νόμος εἶναι Θεοῦ· περὶ Χριστοῦ δὲ ἄλλα ὑπενοεῖτο, οὐκ εἶπε "καθ' ὑπερβολὴν ἐδίωκον

"τὴν ἐκκλησίαν τοῦ Χριστοῦ," ἀλλὰ "τὴν ἐκκλησίαν τοῦ "Θεοῦ."

14 Καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ, ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων.

Πάλιν "Ἰουδαισμῷ·" οὐ γὰρ βούλεται ὑπομνῆσαι τοῦ νόμου, ἵνα μὴ σκληρὸν ᾖ τὸ λεγόμενον· "ὑπὲρ πόλλους συνηλικιώτας·" "πόλλους" καὶ οὐ πάντας, διὰ τὸ σύμμετρον· "συνηλικιώτας" δὲ, διὰ τὸ μὴ κατὰ τῶν πρεσβυτέρων δοκεῖν ἐπαίρεσθαι· "ἐν τῷ "γένει μου" δὲ, ἵνα παραστήσῃ ὅτι ἐκεῖθεν μὲν αὐτῷ ἡ ῥίζα, ἐντεῦθεν δὲ ὁ καρπός· "περισσοτέρως ζηλωτὴς ὑπάρχων," ἵνα διὰ τῆς ὑπερβολῆς ὅσον ἀντέκειτο τῇ Ἐκκλησίᾳ παραστήσῃ. "πα-"τρικῶν" δὲ "παραδόσεων" εἶπε, καὶ οὐ νομίμων· τὰ γὰρ παρὰ Φαρισαίων προτεθέντα λέγει, καὶ ἐν τούτοις ἑαυτὸν ζηλωτὴν ὑπάρχειν.

Ἄλλος δέ φησι. Νῦν δείκνυσιν, ὅτι πλέον τί τῶν περὶ Πέτρον ἔχει· οὐ γὰρ ἐζήλωσαν ἐκεῖνοι ὑπὲρ τοῦ Ἰουδαϊσμοῦ ἀπειθοῦντες τῷ Χριστιανισμῷ ὡς ἐγώ· μὴ τοίνυν οἰηθῇτι ὅτι μισήσας τὸν νόμον ἦλθον εἰς τὴν χάριν· ἐξεδίκουν γὰρ τὸν νόμον, ἀλλ' εὗρον τὸ τέλειον, καὶ οὐκ ἐξισῶ τὸν νόμον τῇ τελείᾳ χάριτι.

(Χρυσόστομος.) Καὶ ἄλλος δὲ ὧδε λέγει. εἰ τὰ κατὰ τῆς ἐκκλησίας οὐ δι' ἄνθρωπον ἔπραττον ἀλλὰ διὰ ζῆλον θεῖον· ἐσφαλμένον μὲν, ζῆλον δὲ ὅμως. πῶς νῦν ὑπὲρ τῆς ἐκκλησίας τρέχων καὶ τὴν ἀλήθειαν ἐπιγνοὺς, διὰ κενοδοξίαν ταῦτα πράττω; εἰ γὰρ ἐν τῷ σφάλλεσθαι οὐκ ἐκράτει μου πάθος τοιοῦτον, ἀλλ' ὁ τοῦ Θεοῦ ζῆλος ἐπὶ τοῦτό με ἤγαγε, πόλλῳ μᾶλλον εἰ[b] τὴν ἀλήθειαν ἐπέγνων, πάσης ἀπηλλάχθαι τοιαύτης δίκαιος ἂν εἴην ὑπονοίας· ὁμοῦ τε γὰρ μετέστην πρὸς τὰ τῆς ἐκκλησίας δόγματα, καὶ πᾶσαν ἀπεδυσάμην πρόληψιν Ἰουδαϊκὴν, πολλῷ πλείονα ζῆλον ἐνταῦθα ἐπιδειξάμενος· ὅπερ σημεῖον ἐστὶ, φησὶ, τοῦ μετὰ ἀληθείας μεταστῆναι· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τί ἕτερον, ἐστί μοι, τὸ παρασκευάζον γενέσθαι τοσαύτην μεταβολὴν καὶ ὕβριν τιμῆς, καὶ

[b] Cod. ἢ.

κινδύνους ἀνέσεως· καὶ ταλαιπωρίαν ἀδείας ἀλλάξασθαι; οὐκ ἔστιν οὐδὲν, ἀλλ' ὁ τῆς ἀληθείας ἔρως.

15 Ὅτε εὐδόκησεν ὁ Θεὸς, ὁ ἀφορίσας με ἐκ κοιλίας
16 μητρός μου· καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀπο-
καλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, ἵνα εὐαγγελίζωμαι αὐ-
τὸν ἐν τοῖς ἔθνεσεν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ
αἵματι.

Ὅρα τί σπουδάζει δεῖξαι ἐνταῦθα, ὅτι καὶ τὸν χρόνον ὃν ἐγκατελείφθη, διά τινὰ οἰκονομίαν ἀπόρρητον ἀφείθη.

Εἰ γὰρ ἐκ κοιλίας μητρὸς ἀφώριστο γενέσθαι Ἀπόστολος καὶ κληθῆναι πρὸς τὴν διακονίαν ταύτην, ἐκλήθη δὲ τότε, καὶ ἅμα κληθεὶς . . . . δηλονότι Θεὸς δι' ἀπόρρητόν τινα αἰτίαν ἀνεβάλλετο τέως· κέκληκε δὲ αὐτὸν ὁ Θεὸς διὰ τὴν ἀρετὴν αὐτοῦ· "σκεῦος γὰρ ἐκλογῆς μοι ἐστὶ" πρὸς τὸν Ἀνανίαν ἔλεγε, "τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων" τουτέστιν, ἱκανὸς διακονῆσαι καὶ ἔργον ἐπιδεῖξαι μέγα· καὶ ταύτην τὴν αἰτίαν τῆς κλήσεως τίθησιν· αὐτὸς δὲ πανταχοῦ, τῆς χάριτος εἶναι φησὶ τὸ πᾶν, καὶ τῆς φιλανθρωπίας αὐτοῦ τῆς ἀφάτου, οὕτω λέγων· "ἀλλ' ἠλεήθην, οὐχ ὅτι ἱκανὸς ἤμην, οὐδ' "ὅτι ἐπιτήδειος, ἀλλ' ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυ"μίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ εἰς "ζωὴν αἰώνιον·" εἶδες ταπεινοφροσύνης ὑπερβολὴν, διὰ τοῦτο γάρ φησιν ἠλεήθην, ἵνα μηδεὶς ἀπογνῷ, ὡς τοῦ πάντων ἀνθρώπων κακίστου, φιλανθρωπίας ἀπολελαυκότος.

Ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί.

Ἀλλαχοῦ δὲ φησὶν ὁ Χριστός· "οὐδεὶς γινώσκει τὸν Πατέρα, "εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι·" εἶδες ὅτι καὶ Πατὴρ Υἱὸν, καὶ Υἱὸς Πατέρα ἀποκαλύπτει; οὕτω καὶ ἐπὶ τῆς δόξης· καὶ Υἱὸς δοξάζει Πατέρα καὶ Πατὴρ Υἱόν· "δόξασόν "με," φησὶν, "ἵνα δοξάσω σε." διατί δὲ μὴ εἶπεν "ἀποκαλύψαι "τὸν Υἱὸν αὐτοῦ" ἐμοὶ, ἀλλ' "ἐν ἐμοί;" δεικνὺς ὅτι οὐ διὰ ῥημάτων μόνον ἤκουσε τὰ περὶ τῆς πίστεως, ἀλλὰ καὶ πολλοῦ Πνεύματος ἐπληρώθη· τῆς ἀποκαλύψεως καταλαμπούσης αὐτοῦ τὴν ψυχήν· καὶ τὸν Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα.

Ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσι.

Οὐ γὰρ τὸ πιστεῦσαι μόνον, ἀλλὰ καὶ τὸ χειραγωγηθῆναι αὐτὸν παρὰ τοῦ Θεοῦ γέγονεν· οὕτως γάρ μοι αὐτὸν ἀπεκάλυψεν, οὐχ ἵνα αὐτὸς ἴδω μόνον, ἀλλ' ἵνα καὶ εἰς ἄλλους ἐξενέγκω· καὶ οὐκ εἶπεν ἄλλους ἁπλῶς, ἀλλ' "ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν·" ἐντεῦθεν προανακρουόμενος οὐ μικρὸν τῆς ἀπολογίας κεφάλαιον, ἀπὸ τοῦ τῶν μαθητῶν προσώπου· οὐ γὰρ ὁμοίως Ἰουδαίοις καὶ τοῖς ἐξ ἐθνῶν κηρύττειν ἀναγκαῖον ἦν.

Εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι.

Τοὺς Ἀποστόλους *ἐνταῦθα αἰνίττεται, ἀπὸ τῆς φύσεως αὐτοὺς καλῶν· εἰ δὲ καὶ περὶ πάντων ἀνθρώπων τοῦτο φησὶν, οὐδὲ ἡμεῖς ἀντεροῦμεν.*

Σευηριανός. Οὐ *διαβάλλων δὲ τοὺς Ἀποστόλους τοῦτο φησὶν, ἀλλ' ὅτι οὐκ ἐστοίχησα θνητῇ σαρκί.*

(Θεόδωρος.) Καὶ *ἄλλος δὲ εἰς τὸ, "ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρ όςμου" φησίν*—Καλῶς *αὐτὸ ἐπὶ τὴν πρόγνωσιν ἀνήνεγκε τοῦ Θεοῦ, ὥστε καὶ πρὸ τῆς αὐτοῦ ὑπάρξεως φαίνεσθαι τῷ Θεῷ τοῦτο δεδογμένον· τοσοῦτον ἀποδέον τοῦ καινότητα εἶναί τινα καὶ εὕρεσιν ἀνθρώπων τὸ κήρυγμα.*

17 Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους.

Τοῦ Χρυσοστόμου. Ταῦτα *εἰ μέν τις αὐτὰ καθ' ἑαυτὰ ἐξετάσειε τὰ ῥήματα, δοκεῖ πολλοῖς μεγαληγορίας γέμειν, καὶ πόρρωθεν εἶναι φρονήματος ἀποστολικοῦ. τὸ γὰρ ἑαυτῷ ψηφίζεσθαι, καὶ μηδένα λαμβάνειν κοινωνὸν τῆς γνώμης, ἀνοίας εἶναι δοκεῖ· "εἶδον γάρ" φησιν "ματαιότητα, ἄνθρωπον δόξαντα παρ' ἑαυτῷ φρόνιμον εἶναι· ἐλπίδα μέντοι εἶχεν ἄφρων μᾶλλον αὐτοῦ·" καὶ "οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες·" καὶ αὐτὸς πάλιν· "μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς." οὐκ ἂν οὖν ὁ τοσαῦτα παρ' ἑτέρων ἀκούσας, καὶ αὐτὸς . . . . ἑτέροις, τούτοις . . . . . ἂν δὲ τὴν αἰτίαν προσθῶμεν, δι' ἣν ταῦτα ἐλέγετο, θαυμάσονται πάντες ὁμοφώνως τὸν εἰρηκότα. τοῦτο τοίνυν ποίωμεν· οὐδὲ γὰρ δεῖ τὰ ῥήματα γυμνὰ ἐξετάζειν, ἀλλὰ τῇ διανοίᾳ προσέχειν τοῦ γράφοντος· καὶ τί δεῖ λέγειν ἐπὶ ῥημάτων,*

ὅπου καὶ ἐπὶ πραγμάτων; ἂν μή τις τὸν κανόνα τοῦτον φυλάττῃ, πάντα ἄνω καὶ κάτω γενήσεται· καὶ τὸν Ἡλίαν οὕτως ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν Σαμουὴλ, καὶ τὸν Φινεές· τὸν δὲ Ἀβραὰμ παιδοκτόνον, εἰ τὰ πράγματα μέλλοιμεν ἐξετάζειν γυμνὰ, μὴ προστιθέντες αὐτοῖς τὴν τῶν ποιούντων γνώμην. ἐξετάσωμεν τοίνυν καὶ τοῦ Παύλου τὴν διάνοιαν, ἀφ' ἧς ταῦτα ἔγραφεν· ἴδωμεν αὐτοῦ τὸν τρόπον καὶ τίς ἦν δι' ὅλου περὶ τοὺς Ἀποστόλους, καὶ τότε εἰσόμεθα ταῦτα, ἐκ ποίας ἐλέγετο γνώμης· οὐ γὰρ ἐξευτελίζων ἐκείνους οὐδὲ ἑαυτὸν ἐπαίρων, οὔτε ταῦτα εἴρηκεν, οὔτε τὰ πρότερα, πῶς γάρ; ὅπου γε καὶ ἑαυτὸν ἀνεθεμάτισεν, ἀλλὰ πανταχοῦ τοῦ εὐαγγελίου τὴν ἀσφάλειαν διατηρῶν. Ἐπειδὴ γὰρ ἔλεγον οἱ τὴν ἐκκλησίαν πορθοῦντες, ὅτι τοῖς Ἀποστολοῖς ἕπεσθαι ἔδει τοῖς μὴ κωλύουσι ταῦτα οὐχὶ τῷ Παύλῳ τῷ κωλύοντι, ἐντεῦθεν δὲ Ἰουδαϊκὴ πλάνη κατὰ μικρὸν εἰσήγετο, ἀναγκάζεται στῆναι πρὸς ταῦτα γενναίως· οὐ τοὺς Ἀποστόλους κακῶς εἰπεῖν βουλόμενος, ἀλλὰ τῶν οὐκ ὀρθῶς ἐπαιρόντων ἑαυτοὺς τὴν ἄνοιαν καταστεῖλαι. διὰ τοῦτο φησὶν, "οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι." καὶ γὰρ ἦν ἀτοπίας ἐσχάτης τὸ παρὰ Θεοῦ μαθόντα, ἀνθρώποις ἀνατίθεσθαι λοιπόν. οὐκ ἀπονοίας οὖν ἕνεκα ταῦτα ἔλεγεν, ἀλλ' ὥστε δεῖξαι τοῦ οἰκείου κηρύγματος τὸ ἀξίωμα· "οὐδὲ ἀνῆλθον," φησὶ, "πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους·" ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔλεγον ὅτι πρὸ αὐτοῦ ἦσαν ἐκεῖνοι, οὐκ ἀπῆλθον, φησὶ, πρὸς ἐκείνους.

Εἰ δὲ ἐχρῆν αὐτοῖς ἀνακοινώσασθαι, ὁ ἀποκαλύψας αὐτῷ τὸ κήρυγμα καὶ τοῦτο ἂν ἐκέλευσεν· ἀπῆλθεν οὖν πρὸς αὐτοὺς, μαθησόμενός τι παρ' αὐτῶν· πότε; ὅτε ἐν Ἀντιοχείᾳ τῇ τὸν πολὺν ζῆλον ἄνωθεν ἐπιδειξαμένῃ ἐκκλησίᾳ γέγονε, περὶ αὐτοῦ τούτου τοῦ νῦν προκειμένου καὶ ἐζήτουν πότερον χρὴ περιτέμνειν τοὺς ἐξ ἐθνῶν, ἢ μηδὲν τοιοῦτον ἀναγκάζειν αὐτοὺς ὑπομένειν· τότε δὴ ἦλθεν αὐτὸς οὗτος ὁ Παῦλος καὶ Σίλας· πῶς οὖν, φησὶν, "οὐκ "ἀνῆλθον οὐδὲ ἀνεθέμην;" ὅτι πρῶτον μὲν οὐκ αὐτὸς ἀνῆλθεν, ἀλλ' ἀπεστάλη παρ' ἑτέρων· δεύτερον, οὐ μαθησόμενος παρεγένετο· ἀλλ' ἑτέρους πείσων· αὐτὸς μὲν ἐξ ἀρχῆς, ταύτης εἴχετο τῆς γνώμης, ἣν καὶ οἱ Ἀπόστολοι μετὰ ταῦτα ἐκύρωσαν τὸ μὴ δεῖν περιτέμνεσθαι.

Ἐπειδὴ δὲ αὐτοῖς οὐκ ἐδόκει τέως ἀξιόπιστος εἶναι ἀλλὰ τοῖς ἐν Ἱεροσολύμοις προσεῖχον, ἀνῆλθεν· οὐκ αὐτὸς πεισόμενος πλέον, ἀλλὰ πείσων τοὺς ἀντίλεγοντας, ὅτι καὶ οἱ ἐν Ἱεροσολύμοις τούτοις ψηφίζονται. Εἰ[c] δὲ λέγει, "οὐκ ἀνῆλθον," ἔστι κακεῖνο εἰπεῖν, ὅτι οὔτι ἐν προοιμίοις τοῦ κηρύγματος ἀνῆλθεν, οὔτε ὅτε ἀνῆλθεν ἐπὶ τὸ μαθεῖν· καὶ ταῦτα ἀμφότερα ἐπισημαίνεται λέγων· "εὐ- "θέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι." οὐκ εἶπεν ἁπλῶς οὐ προσανεθέμην, ἀλλ' "εὐθέως·" εἰ δὲ μετὰ ταῦτα ἀνῆλθεν, οὐχ ὑπὲρ τοῦ τί προσλαβεῖν αὐτός.

Ἀλλ' ἀπῆλθον εἰς Ἀραβίαν.

Ὅρα ζέουσαν ψυχήν· τοὺς τόπους ἐσπούδαζε καταλαμβάνειν, τοὺς οὐδέπω γεωργηθέντας, ἀλλ' ἀγριώτερον ἔτι διακειμένους· βίον ἐναγώνιον αἱρούμενος, καὶ πολὺν ἔχοντα τὸν πόνον· καὶ θέα μοι τὴν ταπεινοφροσύνην, εἰπὼν γὰρ, "ἀπῆλθον εἰς Ἀραβίαν καὶ πάλιν "ὑπέστρεψα εἰς Δαμασκὸν," οὐ λέγει τὰ κατορθώματα αὐτοῦ, οὐδὲ τίνας κατήχησε καὶ πόσους· οὕτως ἅπερ λέγει πάντα, οὐ φιλοτιμίας ἕνεκεν λέγει, οὐδὲ ὑπὲρ τοῦ νομισθῆναι τῶν Ἀποστόλων μείζων, οὐδὲ δακνόμενος ἐπὶ τῷ ἐξευτελίζεσθαι, ἀλλὰ δεδοικὼς μή τι γένηται τῷ κηρύγματι βλάβος ἐντεῦθεν. Καὶ γὰρ καὶ ἔκτρωμα αὑτὸν καλεῖ, καὶ πρῶτον τῶν ἁμαρτωλῶν, καὶ ἔσχατον τῶν Ἀποστόλων, καὶ τῆς προσηγορίας ταύτης ἀνάξιον· καὶ ταῦτα ἔλεγεν, ὁ πλέον πάντων κοπιάσας· ὅπερ μάλιστά ἐστι ταπεινοφροσύνης.

18 Ἔπειτα μετὰ ἔτη τρία, ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον.

Ὅρα πῶς τὴν προσήκουσαν αὐτοῖς ἀπονέμει τιμήν· καὶ οὐ μόνον ἀμείνω, ἀλλ' οὐδὲ ἴσον ἑαυτὸν ἐκείνων εἶναι νομίζει· καὶ τοῦτο, ἐκ τῆς ἀποδημίας ταύτης δηλοῖ· οὐ γὰρ μαθησόμενός τι παρ' αὐτοῦ οὐδὲ ὡς διόρθωσίν τινα δεξόμενος, ἀλλὰ διὰ τοῦτο μόνον, ὥστε ἰδεῖν αὐτὸν καὶ τιμῆσαι τῇ παρουσίᾳ· οὕτω πολλῆς ἄξιον ἡγεῖτο σπουδῆς, καὶ τὸ μόνον ἰδεῖν τὸν ἄνδρα.

Ἔνθα μὲν γὰρ οὐκ ἐβλάπτετο τὸ Εὐαγγέλιον, πάντων ταπεινότερος ἦν· ἔνθα δὲ ἐκ τῆς ταπεινοφροσύνης ἑώρα τινὰς ἀδικουμένους,

[c] Cod. ἡ.

οὐκ ἔτι ἐχρῆτο τούτῳ τῷ πλεονεκτήματι· τοῦτο γὰρ οὐκ ἦν λοιπὸν ταπεινοφρονεῖν, ἀλλὰ λυμαίνεσθαι καὶ διαφθείρειν τοὺς μαθητευομένους.

Καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δέκα πέντε.

Τὸ μὲν οὖν δι' αὐτὸν ἀποδημῆσαι, τιμῆς ἦν πολλῆς· τὸ δὲ καὶ ἐπιμεῖναι τοσαύτας ἡμέρας, φιλίας καὶ σφοδροτάτης ἀγάπης.

19 Ἕτερον δὲ τῶν Ἀποστόλων οὐκ εἶδον.

Ὅρα ὡς πρὸς τὸν Πέτρον μείζονα τὴν φιλίαν ἔχει· δι' αὐτὸν ἀπεδήμησε, καὶ πρὸς αὐτὸν ἔμεινε· ταῦτα δὲ λέγω συνεχῶς καὶ ἀξιῶ φυλάττειν, ἵνα ὅταν λέγῃ, ὅτι ἀντέστην Πέτρῳ, μηδεὶς ἔχθρας ἢ φιλονεικίας ταῦτα εἶναι νομίσῃ τὰ ῥήματα.

Εἶδον οὖν, φησὶ, τὸν Ἰάκωβον· "εἶδον," οὐκ ἐδιδάχθην παρ' αὐτοῦ οὐδέν. Ὅρα δὲ μεθ' ὅσης τιμῆς καὶ τοῦτον ὠνόμασεν· ἐνῆν γὰρ καὶ ἐξ ἑτέρου γνωρίσματος, τοῦτον ποιῆσαι δῆλον, καὶ εἰπεῖν τὸν τοῦ Κλοπᾶ, ὅπερ καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν· ἀλλ' ἐπειδὴ τὰ τῶν Ἀποστόλων σεμνολογήματα ἴδια ἐνόμιζεν, ὡς ἑαυτὸν ἐπαίρων οὕτω σεμνύνει κακεῖνον, εἰπὼν τὸν ἀδελφὸν τοῦ Κυρίου.

Καίτοι γε ,οὐδὲ κατὰ σαρκὰ ἀδελφὸς ἦν τοῦ Κυρίου, ἀλλ' οὕτως ἐνομίζετο.

20 Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ οὐ ψεύδομαι.

Εἶδες διὰ πάντων ὁμοίως ἐκλάμπουσαν τῆς ἁγίας ταύτης ψυχῆς τὴν ταπεινοφροσύνην; καθάπερ γὰρ ἐν δικαστηρίῳ ἀγωνιζόμενος καὶ μέλλων εὐθύνας ὑπέχειν, οὕτως ἐσπούδακεν ἀπολογήσασθαι.

21 Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας.

Μετὰ τὸ τὸν Πέτρον ἰδεῖν, πάλιν ἔχεται τοῦ λόγου καὶ τοῦ ἀγῶνος τοῦ προκειμένου· τῆς μὲν Ἰουδαίας οὐχ ἁπτόμενος, διά τε τὸ πρὸς τὰ ἔθνη ἀπεστάλθαι, καὶ διὰ τὸ μὴ ἀνέχεσθαι ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομεῖν· διόπερ οὐδὲ κατὰ ψιλὴν αὐτὸ συντυχίαν εἶδε· καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. "Ἤμην γάρ," φησιν, "ἀγνοούμενος τῷ προσώπῳ ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας· μόνον "δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτὲ, νῦν εὐαγγελίζεται

“τὴν πίστιν ἥν ποτε ἐπόρθει·” ταῦτα φησὶν ἵνα μάθῃς ὅτι τοσοῦτον ἀπεῖχε τοῦ κηρῦξαι αὐτοῖς περιτομὴν, ὅτι οὐδὲ ἀπ᾽ ὄψεως γνώριμος ἦν αὐτοῖς.

Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν.

Σκόπει καὶ ἐνταῦθα τὸν κανόνα αὐτοῦ τῆς ταπεινοφροσύνης. οὐκ εἶπε καὶ ἐθαύμαζόν με, ἐπήνουν, ἐξεπλήττοντο, ἀλλὰ τὸ πᾶν τῆς χάριτος ἔδειξεν ὄν. τὸν γὰρ Θεὸν, φησὶν, ἐδόξαζον ἐν ἐμοί.

ΚΕΦ. Β.

Περὶ τῆς τῶν Ἀποστόλων ἐπιμαρτυρήσεως εἰς τὴν ἐν πίστει ζωήν.

1 Ἔπειτα διὰ δεκατεσσάρων ἐτῶν, ἀνέβην εἰς τὰ Ἱεροσόλυμα, μετὰ Βαρνάβα συμπαραλαβὼν καὶ Τίτον· ἀνέβην δὲ κατὰ ἀποκάλυψιν.

Τῆς μὲν πρώτης ἀναβάσεως τὴν αἰτίαν, Πέτρον εἶναι φησί· τῆς δὲ δευτέρας, τὴν ἀποκάλυψιν τοῦ Πνεύματος.

2 Καὶ ἀνεθέμην αὐτοῖς τὸ Εὐαγγέλιον ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι· κατ᾽ ἰδίαν δὲ τοῖς δοκοῦσι, μήπως εἰς κενὸν τρέχω ἢ ἔδραμον.

Οὐκ αὐτὸς ἐδεῖτο μαθεῖν ὅτι οὐκ εἰς κενὸν ἔτρεχεν, ἀλλ᾽ ἵνα οἱ ἐγκαλοῦντες πληροφορηθῶσιν.

Ἐπειδὴ γὰρ μείζονα περὶ Πέτρου καὶ Ἰωάννου δόξαν εἶχον, καὶ διαστασιάζειν αὐτοὺς ᾤοντο, διὰ τὸ τὸν μὲν ἄνευ περιτομῆς κηρύττειν, ἐκείνους δὲ ταύτην συγχωρεῖν, καὶ παράνομα πράττειν αὐτὸν ᾤοντο καὶ εἰς κενὸν τρέχειν, ἀνῆλθον, φησὶ, καὶ ἐκοινωσάμην αὐτοῖς τὸ Εὐαγγέλιον· οὐχ ἵνα αὐτός τι μάθω, ὃ καὶ προϊὼν σαφέστερον λέγει, ἀλλ᾽ ἵνα διδάξω αὐτοὺς ταῦτα ὑποπτεύοντας, ὅτι οὐκ εἰς κενὸν τρέχω· τὸ γὰρ Πνεῦμα τὴν τοιαύτην προορώμενον φιλονεικίαν, παρεσκεύασεν αὐτὸν ἀνελθεῖν.

Βαρνάβαν καὶ Τίτον ἔλαβον μάρτυρας γενομένους τοῦ κηρύγματος· “καὶ ἀνεθέμην αὐτοῖς τὸ Εὐαγγέλιον ὃ κηρύσσω ἐν “τοῖς ἔθνεσι·” τουτέστι, τὸ χωρὶς περιτομῆς· “κατ᾽ ἰδίαν δὲ τοῖς “δοκοῦσιν.” Ἐπειδὴ γὰρ ἐν τοῖς Ἱεροσολύμοις πάντες ἐσκανδαλίζοντο, εἴτις παραβαίη τὸν νόμον, εἴτις κωλύσειε χρήσασθαι

τῇ περιτομῇ, διὸ καὶ ἔλεγε, "θεωρεῖς, ἀδελφὲ, πόσαι μυριάδες "εἰσὶ τῶν Ἰουδαίων τῶν πεπιστευκότων;" καὶ οὗτοι πάντες εἰσὶ κατηχημένοι περί σου, ὅτι ἀποστασίαν περὶ τοῦ νόμου τοῦ Μωϋσέως διδάσκεις· ἐπεὶ οὖν ἐσκανδαλίζοντο, παρρησίᾳ μὲν παρελθεῖν καὶ τὸ κήρυγμα ἀποκαλύψαι τὸ ἑαυτοῦ οὐκ ἠνείχετο· κατ' ἰδίαν δὲ τοῖς δοκοῦσιν ἀνέθετο ἐπὶ Βαρνάβα καὶ Τίτου· ἵν' οὗτοι μάρτυρες ἀξιόπιστοι γένωνται πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι οὐδὲ τοῖς Ἀποστόλοις ἔδοξεν ἐναντία ταῦτα εἶναι· ὅταν δὲ λέγῃ "τοῖς "δοκοῦσιν," οὐκ ἀναιρῶν τὸ εἶναι αὐτοὺς μεγάλους τοῦτο λέγει, ἐπεὶ καὶ περὶ ἑαυτοῦ φησὶ, "δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν" ὅπέρ ἐστι μετριάζοντος, οὐκ ἀναιροῦντος τὸ ἔχειν· οὕτω καὶ ἐνταῦθα "τοῖς δοκοῦσι" φησί· μετὰ τῆς ἑαυτοῦ, καὶ τὴν κοινὴν πάντων λέγων ψῆφον.

ΕΥΣΕΒΙΟΥ. *Ἄλλος δέ φησι· καλῶς τὸ "ἔδραμον·" προείληπτο γὰρ τὸ κήρυγμα· "τρέχω" δὲ, ἐπειδὴ ἐνειστήκει.*

3 *Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοὶ Ἕλλην ὢν, ἠναγκάζετο περιτμηθῆναι.*

Τοῦτ' ἔστιν ἐξ Ἑλλήνων ὢν καὶ ἀκρόβυστος· οὐ μόνον γὰρ ἐγὼ οὕτως ἐκήρυττον, ἀλλὰ καὶ οὕτως ἔπραττον· καὶ Τίτον ἀκρόβυστον ὄντα οὐκ ἠνάγκασαν οἱ Ἀπόστολοι περιτμηθῆναι· ὅπερ ἀπόδειξις ἦν μεστὴ τοῦ μὴ καταγινώσκειν τῶν ὑπὸ τοῦ Παύλου λεγομένων ἢ πραττομένων· καὶ τὸ πολλῷ τούτων μεῖζον, ὅτι οὐδὲ ἐπικειμένων τῶν ἐναντιουμένων καὶ ταῦτα εἰδότων, ἠναγκάσθησαν οἱ Ἀπόστολοι τοῦτο κελεῦσαι.

4 *Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους.*

Τίνες εἰσὶν οὗτοι οἱ ψευδάδελφοι; καὶ διατί ψευδαδέλφους καλεῖ τοὺς κατὰ τὴν τῶν Ἀποστόλων γνώμην καὶ αὐτοὺς κελεύοντας τοῦτο ποιεῖν; ὅτι πρῶτον μὲν οὐκ ἔστι ταυτὸν κελεύειν γίνεσθαι, καὶ γινόμενον συγχωρεῖν· ὁ μὲν γὰρ προστάττων μετὰ σπουδῆς ὡς ἀναγκαῖον καὶ προηγούμενον ποιεῖ· ὁ δὲ μὴ κελεύων, τὸν δὲ βουλόμενον μὴ κωλύων, οὐχ ὡς δέον γενέσθαι συγχωρεῖ, ἀλλ' οἰκονομίαν τινὰ πληρῶν. οἱ ψευδάδελφοι τοίνυν οὐχ ὡς οἰκονομίαν ποιοῦντες, ἀλλ' ὡς τῆς χάριτος ἐκβαλεῖν καὶ πάλιν ὑπὸ τὸν τῆς δουλείας ζυγὸν ἀγαγεῖν βουλόμενοι· πρώτη μὲν οὖν αὕτη ἡ

διαφορὰ, πολὺ τὸ μέσον ἔχουσα· δευτέρα δὲ, ὅτι οἱ μὲν Ἀπόστολοι ἐν Ἰουδαίᾳ τοῦτο ἐποίουν, ἔνθα καὶ ὁ νόμος ἐκράτει· οἱ δὲ ψευδάδελφοι πανταχοῦ.

Θεόδωρος. Σετηριανός. Τινὲς τὸν "δὲ" σύνδεσμον, περισσὸν ἔφασαν εἶναι· "διὰ δὲ τοὺς ψευδαδέλφους·" ἡ γὰρ ἀκολουθία ἐστὶν, ὅτι οὐδὲ Τίτος Ἕλλην ὢν ἠναγκάσθη περιτμηθῆναι διὰ τοὺς παρεισάκτους ψευδαδέλφους, τουτέστι τοὺς βουλομένους τηρεῖν τὸν νόμον.

Οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν τῷ Χριστῷ Ἰησοῦ.

Ὅρα πῶς καὶ τῇ τῶν κατασκόπων προσηγορίᾳ τὸν πόλεμον ἐδήλωσεν ἐκεῖνον· οἱ γὰρ κατάσκοποι, δι' οὐδὲν εἰσέρχονται, ἀλλ' ἵνα καταμαθόντες τὰ τῶν ἐναντίων, πρὸς τὸ πορθῆσαι καὶ καθελεῖν πολλὴν ἑαυτοῖς παρασκευάσωσι τὴν εὐκολίαν· καθάπερ καὶ οὗτοι τότε ἐποίουν, τὴν ἐλευθερίαν ἡμῶν τὴν ἐν Χριστῷ, ὑπὸ τὴν δουλείαν τὴν παλαιὰν εἰσαγαγεῖν βουλόμενοι· διὸ παρετήρουν περισκοποῦντες ἀκριβῶς τίνες ἀκρόβυστοι· οὐ τῷ τῶν κατασκόπων δὲ ὀνόματι μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς λαθραίας εἰσόδου καὶ παρεισδύσεως τὴν ἐπιβουλὴν αὐτῶν ἐνεδείξατο.

5 Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ.

Ὅρα λέξεως εὐγένειαν καὶ ἔμφασιν· οὐ γὰρ εἶπε τῷ λόγῳ, ἀλλὰ "τῇ ὑποταγῇ·" οὐ γὰρ ἵνα τί διδάξωσι χρήσιμοι ταῦτα ἐποίουν, ἀλλ' ἵνα ὑποτάξωσι καὶ δουλώσωνται· διὰ τοῦτο τοῖς μὲν Ἀποστόλοις εἴξαμεν, τούτοις δὲ οὐκέτι.

Ἵνα ἡ ἀλήθεια τοῦ Εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς.

Ἵνα ὅπερ ἔφθημεν φησὶν εἰπόντες, τοῦτο διὰ τῶν ἔργων βεβαιώσωμεν· "ὅτι τὰ ἀρχαῖα παρῆλθε, καὶ γέγονε καινὰ τὰ "πάντα, καὶ ὅτι εἴ τις ἐν Χριστῷ καινὴ κτίσις·" καὶ ὅτι τοὺς περιτεμνομένους Χριστὸς οὐδὲν ὠφελήσει ταύτην τὴν ἀλήθειαν βεβαιοῦντες, οὐδὲ πρὸς ὥραν εἴξαμεν· εἶτα ἐπειδὴ εὐθέως ἀντέπιπτεν αὐτῷ τὰ παρὰ τῶν Ἀποστόλων, καὶ εἰκὸς ἦν τινὰς λέγειν, πῶς οὖν ἐκεῖνοι ταῦτα προστάττουσιν; ὅρα πῶς λύει σαφῶς τὴν ἀντίθεσιν· οὐ γὰρ λέγει τὴν οὖσαν αἰτίαν ὅτι ἕνεκεν οἰκονομίας τοῦτο ἐποίουν οἱ Ἀπόστολοι· ἢ γὰρ ἂν ἐβλάβησαν οἱ ἀκούοντες.

Δεῖ γὰρ τῆς οἰκονομίας ἀγνοεῖν τὴν αἰτίαν, τοὺς μέλλοντας τί καρποῦσθαι παρ' αὐτῆς χρήσιμον· εἰ γὰρ φανείη τῶν γινόμενων ἡ πρόφασις, τὸ πᾶν οἰχήσεται· καὶ ἵνα σαφέστερον ὃ λέγω ποιήσω, ἐπ' αὐτῆς ταύτης τῆς ὑποθέσεως χρήσομαι τῷ ὑποδείγματι. οὗτος αὐτὸς ὁ μακάριος Παῦλος μέλλων ποτὲ τὸν Τιμόθεον πέμπειν Ἰουδαίοις διδάσκαλον, περιτεμὼν αὐτὸν πρότερον, οὕτως ἔπεμψεν· ἐποίησε δὲ τοῦτο, ἵνα εὐπαράδεκτος γένηται τοῖς ἀκροαταῖς, καὶ εἰσελθὼν μετὰ περιτομῆς, καταλύσῃ περιτομήν· ἀλλὰ τὴν αἰτίαν αὐτὸς μὲν ἠπίστατο, καὶ Τιμόθεος τοῖς . . . . , ... ἵνα λύσῃ περιτομὴν, οὐδ' ἂν τὴν ἀρχὴν ἤκουσαν αὐτοῦ δημηγοροῦντος· νῦν δὲ ἡ ἄγνοια τὰ μέγιστα αὐτοὺς ὠφέλησε· νομίζοντες γὰρ αὐτὸν ὡς νόμου φύλακα τοῦτο ποιεῖν, προσηνῶς αὐτὸν ἐδείξαντο καὶ τὴν ἐκείνου διδασκαλίαν· δεξάμενοι δὲ κατὰ μικρὸν καὶ παιδευθέντες, ἀπέστησαν τῶν παλαιῶν· διὰ τοῦτο καὶ ἐνταῦθα οὐ λέγει τῆς οἰκονομίας τὴν πρόφασιν, ἀλλ' ἑτέρως μεθοδεύει τὸν λόγον, οὕτω λέγων,

6 Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον ἀνθρώπου Θεὸς οὐ λαμβάνει.

Ἐνταῦθα οὐ μόνον οὐκ ἀπολογεῖται ὑπὲρ τῶν Ἀποστόλων, ἀλλὰ καὶ σφόδρα βαρεῖ τοὺς ὑγίους, ἵνα ὠφελήσῃ τοὺς ἀσθενοῦντας· ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· εἰ καὶ ἐπιτρέπουσιν ἐκεῖνοι περιτέμνεσθαι, τὸν λόγον αὐτοὶ τῷ Θεῷ δώσουσιν· οὐδὲ γὰρ ἐπειδὴ μεγάλοι εἰσι, καὶ ἔξαρχοι, ὁ Θεὸς αὐτῶν πρόσωπον λήψεται· ἀλλ' οὕτω μὲν σαφῶς οὐκ εἶπε, πεφεισμένως δέ· καὶ οὐκ εἶπεν "ὁποιοί ποτε" εἰσὶν, ἀλλ' "ἦσαν·" δεικνὺς, ὅτι καὶ αὐτοὶ λοιποὶ ἦσαν πεπαυμένοι τοῦ οὕτω κηρύττειν, ἅτε τοῦ κηρύγματος πανταχοῦ διαλάμψαντος· τὸ δὲ "ὁποῖοί ποτε ἦσαν," εἰ οὕτω, φησὶν, ἐκήρυττον, αὐτοὶ τὸν λόγον δώσουσιν· οὐ γὰρ ἀνθρώποις, ἀλλὰ Θεῷ μέλλουσιν ἀπολογεῖσθαι· ταῦτα λέγει, οὐκ ὡς ἀμφιβάλλων, οὐδ' ὡς ἀγνοῶν τὰ ἐκείνων· ἀλλ' ὅπερ ἔφθην εἰπὼν, οὕτω συμφέρειν νομίζων, μεθοδεύει τὸν λόγον· εἶτα ἵνα μὴ δόξῃ ὡς τὴν ἐναντίαν ἔχων τάξιν κατηγορεῖν αὐτῶν, καὶ ἀπὸ τούτου κατασκευάσῃ μάχης ὑπόθεσιν, ἐπήγαγεν εὐθέως τὴν διόρθωσιν εἰπὼν,

Ὅτι ἐμοὶ οἱ δοκοῦντες, οὐδὲν προσανέθεντο.

Ἃ μὲν ὑμεῖς λέγετε, φησὶν, οὐκ οἶδα· ἐκεῖνο μέντοι οἶδα σαφῶς, ὅτι ἐμοὶ οὐκ ἠναντιώθησαν, ἀλλὰ καὶ συνέπνευσαν καὶ συνεφώνησαν· τὸ γὰρ "δεξιὰς ἔδωκαν," ταῦτα ἐστὶ δηλοῦντος· ἀλλὰ τέως, οὐ λέγει τοῦτο· ἀλλ' ὅτι οὐκ ἐδίδαξαν, οὐ διώρθωσαν, οὐ πλέον τι προσέθηκαν ὧν ᾔδειν· καὶ ταῦτα εἰδότες ὅτι διὰ τοῦτο παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι· καὶ κατὰ ἀποκάλυψιν Πνεύματος παρεγενόμην· καίτοι τὸν ἀκρόβυστον εἶχον μετ' ἐμαυτοῦ· οὔτε οὖν ἐμοί τι πλέον ὧν ᾔδειν προσέθηκαν, οὔτε ἐκεῖνον περιέτεμον· ἀλλὰ τουναντίον. τινὲς[c] μὲν φασὶ τοῦτο αὐτὸν λέγειν, ὅτι οὐ μόνον αὐτὸν οὐκ ἐδίδαξαν, ἀλλὰ καὶ ἐδιδάχθησαν παρ' αὐτόν· ἐγὼ δὲ, οὐκ ἂν εἴποιμι τοῦτο· τί γὰρ ἔμελλον παρ' αὐτοῦ μανθάνειν· καὶ γὰρ ἕκαστος αὐτῶν ἀπηρτισμένος ἦν· εἶτα ἐπειδὴ εἰκὸς ἦν ἀντειπεῖν τινὰς, ὅτι εἰ ἐπῄνεσαν πῶς τὴν περιτομὴν, οὐκ ἀνεῖλον· εἰ γὰρ ἐπῄνεσαν, ἐχρῆν ἀνελεῖν, εἰπεῖν μὲν ὅτι ἀνεῖλον, λίαν ἀναίσχυντον εἶναι ἐνόμιζε, καὶ πρὸς τὰ ὡμολογημένα φανερὰν μάχην εἰσάγειν· πάλιν ὁμολογοῦντα τὴν τῆς περιτομῆς συγχώρησιν, εἰς ἑτέραν ἀντίθεσιν ἐμπεσεῖν ἀνάγκην οὖσαν ἑώρα· εἰ γὰρ ἐπῄνεσαν τὸ κήρυγμα τὸ σὸν φησὶ, καὶ αὐτοὶ πάλιν ἐπέτρεπον μὲν περιτομὴν, ἑαυτοῖς δὲ ἐμάχοντο· τίς οὖν ἡ τούτου λύσις; ὅτι συγκαταβάσεως Ἰουδαϊκῆς ἕνεκεν ταῦτα ἐποίουν· ἀλλὰ τοῦτο εἰπὼν, ὅλον τῆς οἰκονομίας τὸν θεμέλιον διεσάλευσεν ἄν· δι' ἃ, τοῦτο μὲν οὐ λέγει· ἀφίησι δὲ αὐτὸ ἐν ἀπορίᾳ καὶ μετέωρον· ἐπάγει δὲ,

7 Ἀλλὰ τοὐναντίον εἰδότες ὅτι πεπίστευμαι τὸ Εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας.

Περιτομὴν καὶ ἀκροβυστίαν οὐ τὰ πράγματα λέγων αὐτὰ, ἀλλὰ τὰ ἀπὸ τούτων γνωριζόμενα ἔθνη· ἐπήγαγε γοῦν,

Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη.

Ὥσπερ οὖν τὴν ἀκροβυστίαν τὰ ἔθνη καλεῖ, οὕτω καὶ περιτο-

[c] In marg. αἰνίττεται Θεόδωρον καὶ Σευηριανὸν καὶ Εὐσέβιον.

μὴν Ἰουδαίους· καὶ δείκνυσιν ὁμότιμον αὐτοῖς ὄντα λοιπόν· καὶ οὐ τοῖς ἄλλοις ἑαυτὸν, ἀλλὰ τῷ κορυφαίῳ συγκρίνει· δεικνὺς, ὅτι τῆς αὐτῆς ἕκαστος ἀπέλαυσεν ἀξίας· ἐπειδὴ γὰρ τὴν περὶ τῆς ὁμουσίας αὐτῶν κατεσκεύασεν ἀπόδειξιν, θαρρῶν λοιπὸν μετὰ παρρησίας διαλέγεται· καὶ οὐκέτι ἵσταται μέχρι τῶν Ἀποστόλων μόνον, ἀλλ' ἐπὶ τὸν Χριστὸν ἀνάγει τὸν λόγον, καὶ τὴν ὑπ' ἐκείνου δοθεῖσαν χάριν αὐτῷ· καὶ μάρτυρας τούτων, τοὺς Ἀποστόλους καλεῖ, καὶ φησὶ,

9 Ὅτι γνόντες τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι· Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης.

Τουτέστιν καταμαθόντες δι' αὐτῶν τῶν πραγμάτων.

Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας.

Εἶδες πῶς κατὰ μικρὸν ἔδειξε καὶ τῷ Χριστῷ τοῦτο δοκοῦν καὶ τοῖς Ἀποστόλοις; οὐδὲ γὰρ ἂν ἐδόθη οὐδὲ ἐνήργησεν ἡ χάρις, εἰ μὴ δοκοῦν αὐτῷ τὸ τοιοῦτο κήρυγμα ἦν· καὶ ὅπου μὲν συγκρίναι ἑαυτὸν ἔδει, Πέτρου μέμνηται μόνου· ὅπου δὲ μαρτυρίαν καλέσαι, τῶν τριῶν ὁμοῦ, καὶ μετ' ἐγκωμίου· "Κηφᾶς" λέγων "καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι·" πάλιν οὐ τὸ εἶναι ἀναιρῶν τοὺς δοκοῦντας φησὶν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων παραλαμβάνων γνώμην, καὶ λέγων· ὅτι οἱ μεγάλοι καὶ ἐξαίρετοι καὶ οὓς πάντες πανταχοῦ περιφέρουσιν, οὗτοι μόνοι μάρτυρες εἰσὶ τῶν λεγομένων· ὅτι καὶ τῷ Χριστῷ ταῦτα δοκεῖ, καὶ διὰ τῶν πραγμάτων ταῦτα ἔμαθον· διὸ καὶ δεξιὰς ἔδωκαν ἐμοὶ καὶ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ τῷ Βαρνάβᾳ.

Ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν.

Ὢ συνέσεως ὑπερβολή· δείκνυσι καὶ τὰ ἐκείνων αὐτοῦ, καὶ τὰ αὐτοῦ ἐκείνων· ταῦτα γὰρ ἑκατέροις ἐδόκει.

Εὐσεβίου. *Καὶ αἱ δεξιαὶ τὴν ὁμονοίαν δηλοῦσι· προστέτακται δέ φησιν Ἰάκωβος, διὰ τὸ τοῦ τόπου κύριον εἶναι· διατὶ δὲ ποτὲ μὲν Κηφᾶς, ποτὲ δὲ Πέτρος; οἱ ἐλθόντες εἰς τὴν Γαλατίαν καὶ ταράξαντες, Ἰουδαῖοι ἦσαν· Πέτρος οὖν, ὁ κατ' ἐκείνους Κηφᾶς ὀνομαζόμενος· ἵνα οὖν δι' οὗ ἤκουσαν, διὰ τούτου καὶ καλέσῃ, εἴρηται.*

10 *Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν· ὃ καὶ*
ἐσπούδασα τοῦτο αὐτὸ ποιῆσαι.

Ἐν μὲν τῷ κηρύγματι, φησὶ, διειλόμεθα τὴν οἰκουμένην. κἀγὼ μὲν τοὺς ἐξ ἐθνῶν, ἐκεῖνοι δὲ τοὺς Ἰουδαίους ἔλαβον, κατὰ τὸ τῷ Θεῷ δοκοῦν· εἰς δὲ τὴν τῶν πτωχῶν ἐπιμέλειαν τῶν παρὰ Ἰουδαίοις, ἐγὼ παρ' ἐμαυτοῦ συνεισήνεγκα ἐκείνοις. εἰ δὲ πόλεμος ἦν καὶ μάχη, οὐκ ἂν τοῦτο κατεδέξαντο ἐκεῖνοι. τίνες δέ εἰσιν οὗτοι οἱ πτωχοί; πολλοὶ τῶν Ἰουδαίων πιστεύσαντες ἐν Παλαιστίνῃ, τὰ ὄντα ἀφηρέθησαν ἅπαντα καὶ πανταχόθεν ἠλαύνοντο· καὶ τοῦτο δηλοῖ, ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ λέγων· "καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσ- "εδέξασθε·" μέμνηται δὲ καὶ αὐτῶν, καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς Ἐπιστολῇ, διὰ πάντων δεικνὺς, ὅτι οὐχ οὕτως οἱ ἐξ Ἑλλήνων πιστεύσαντες ὑπὸ τῶν μενόντων Ἑλλήνων ἐπολεμοῦντο, ὡς οἱ ἀπὸ Ἰουδαίων πιστεύσαντες, ὑπὸ τῶν ὁμοφύλων ἠλαύνοντο· τραχύτερον γὰρ πάντων τοῦτο τὸ ἔθνος. διὰ ταῦτα πολλὴν ποιεῖται σπουδὴν, ὥστε πάσης αὐτοὺς ἀπολαύειν ἐπιμελείας· καὶ διὰ πάντων δείξας τὴν πρὸς αὐτοὺς ὁμόνοιαν καὶ συμφωνίαν, ἀναγκάζεται λοιπὸν καὶ τῆς πρὸς Πέτρον γενομένης αὐτῷ ἐν Ἀντιοχείᾳ διαλέξεως μνησθῆναι· καὶ φησὶν οὕτως,

ΚΕΦ. Γ.

Περὶ τῆς πρὸς Κηφᾶν ἀντιρρήσεως περὶ τῆς ἐν πίστει καὶ οὐκ ἐν νόμῳ σωτηρίας.

11 *Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιοχείαν, κατὰ πρόσωπον*
12 *αὐτῷ ἀντέστην· ὅτι κατεγνώσμενος ἦν. πρὸ τοῦ γὰρ*
ἐλθεῖν τινὰς ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν·
ὅτι δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτὸν, φοβούμε-
νος τοὺς ἐκ περιτομῆς.

Πολλοὶ τῶν ἀναγινωσκόντων ἁπλῶς τουτὶ τὸ χωρίον τῆς Ἐπιστολῆς, νομίζουσι τοῦ Πέτρου τὸν Παῦλον κατηγορεῖν ὑπόκρισιν· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἄπαγε· πολλὴν γὰρ εὑρήσομεν

καὶ τοῦ Πέτρου καὶ τοῦ Παύλου τὴν σύνεσιν ἐγκεκρυμμένην ἐνταῦθα, πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν.

Οἱ Ἀπόστολοι, καθὼς ἔφθην εἰπὼν, ἐν Ἱεροσολύμοις συνεχώρουν περιτέμνεσθαι· οὐ γὰρ ἦν ἀθρόως ἀποσπάσαι τοῦ νόμου· ἐν Ἀντιοχείᾳ δὲ ἐλθόντες, οὐδὲν τοιοῦτο παρετήρουν λοιπόν· ἀλλὰ μετὰ τῶν ἐξ ἐθνῶν πιστευόντων ἀδιαφόρως ἔζων.

Ὃ δὴ καὶ Πέτρος ἐποίει τότε· ἐπειδὴ δὲ ἦλθον ἀπὸ Ἱεροσολύμων οἱ εἰδότες αὐτὸν ἐκεῖ οὕτω κηρύττοντα, οὐκ ἐποίει τοῦτο, φοβούμενος πλῆξαι ἐκείνους, ἀλλ' ἀνέθετο· δύο ταῦτα οἰκονομῶν, καὶ τὸ μὴ σκανδαλίσαι τοὺς ἐξ Ἰουδαίων, καὶ τὸ παρασχεῖν εὔλογον Παύλῳ τῆς ἐπιτιμήσεως πρόφασιν. εἰ γὰρ αὐτὸς ὁ ἐν Ἱεροσολύμοις κήρυξας μετὰ περιτομῆς μετέθετο ἐς Ἀντιοχείᾳ, ἔδοξεν ἂν τοῖς ἐξ Ἰουδαίων διὰ τὸν τοῦ Παύλου φόβον τοῦτο ποιεῖν· καὶ κατέγνωσαν ἂν αὐτοῦ πολλὴν τὴν εὐκολίαν οἱ μαθηταί· οὐ μικρὸν δὲ τοῦτο σκάνδαλον ἔμελλε γίνεσθαι· τῷ μέντοι Παύλῳ πάντα σαφῶς εἰδότι, μεταστὰς; οὐκ ἂν τοσαύτην παρέσχεν ὑπόνοιαν· καὶ γὰρ ᾔδει τὴν γνώμην μεθ' ἧς ἐγένετο ταῦτα. διὸ καὶ Παῦλος ἐπιπλήττει καὶ Πέτρος ἀνέχεται· ἵνα ἐγκαλουμένου τοῦ διδασκάλου καὶ σιγῶντος, εὐκολώτερον οἱ μαθηταὶ μετάθωνται. εἰ μὲν γὰρ μηδενὸς γενομένου τοιούτου παρῄνεσεν ὁ Παῦλος, οὐδὲν ἂν εἰργάσατο μέγα· νῦν δὲ ἀφορμὴν λαβὼν ἐπιτιμήσεως σφοδροτέρας, πλείονα τοῖς μαθηταῖς Πέτρου τὸν φόβον ἐνέθηκε. καὶ γὰρ εἰ μὲν ἀκούων ταῦτα Πέτρος ἀντέλεγε, καλῶς ἄν τις ἐμέμψατο ὡς τῆς οἰκονομίας ἀνατρεπομένης· νυνὶ δὲ ἐκείνου μὲν ἐπιτιμῶντος, τούτου δὲ σιγῶντος, πολὺς τοῖς ἐξ Ἰουδαίων φόβος ἐγίνετο· διὸ καὶ σφοδρῶς ἐχρήσατο τῷ Πέτρῳ.

Καὶ σκόπει μεθ' ὅσης ἀκριβείας κέχρηται τῷ λόγῳ· διδοὺς τοῖς συνετοῖς ἰδεῖν, ὅτι οὐ μάχης ἦν τὰ ῥήματα, ἀλλ' οἰκονομίας· "ὅτε γὰρ ἦλθε," φησὶ, "Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον "αὐτῷ ἀντέστην ὅτι κατεγνωσμένος ἦν·" οὐκ εἶπεν ὑπ' ἐμοῦ, ἀλλ' ὑπὸ τῶν ἄλλων· εἰ δὲ αὐτὸς κατεγίγνωσκεν, οὐκ ἂν παρῃτήσατο καὶ τοῦτο εἰπεῖν· καὶ τὸ "κατὰ τὸ πρόσωπον δὲ ἀντέστην," σχῆμα ἦν· εἰ γὰρ ὄντως ἐμάχοντο, οὐκ ἂν ἐπὶ τῶν μαθητῶν ἀλλήλοις ἐπετίμησαν· σφόδρα γὰρ ἂν αὐτοὺς ἐσκανδάλισαν· νυνὶ

δὲ αὐτοῖς λυσιτελοῦσα ἦν ἡ ἐν τῷ φανερῷ μάχῃ· καὶ ὥσπερ ὁ Παῦλος εἶξεν αὐτοῖς ἐν Ἱεροσολύμοις, οὕτω καὶ οὗτοι ἐν Ἀντιοχείᾳ.

Τίς οὖν ἡ κατάγνωσις; "Πρὸ τοῦ γὰρ ἐλθεῖν τινὰς ἀπὸ "Ἰακώβου," αὐτὸς γὰρ ἦν ὁ διδάσκαλος ἐν Ἱεροσολύμοις, "μετὰ "τῶν ἐθνῶν συνήσθιεν. Ὅτε δὲ ἦλθον, ὑπέστελλε, καὶ ἀφώριζεν "ἑαυτὸν, φοβούμενος τοὺς ἐκ περιτομῆς." Οὐ τοῦτο φοβούμενος μὴ κινδυνεύσῃ· ὁ γὰρ ἐν ἀρχῇ τοῦ κηρύγματος ἐν Ἱεροσολύμοις μὴ φοβηθεὶς, πολλῷ μᾶλλον τότε. ἀλλ' ἵνα μὴ ἀποστῶσιν· ἐπεὶ καὶ αὐτὸς λέγει Γαλάταις· "φοβοῦμαι μήπως εἰκῇ "κεκοπίακα εἰς ὑμᾶς." καὶ πάλιν· "φοβοῦμαι μήπως, ὡς ὁ "ὄφις Εὔαν ἠπάτησε, φθαρῇ τὰ νοήματα ὑμῶν." ὁ μὲν γὰρ τοῦ θάνατου φόβος ἀδιάφορος ἦν αὐτοῖς· ὁ δὲ τῆς ἀπωλείας τῶν μαθητῶν, σφόδρα αὐτῶν κατέσεισε τὴν ψυχήν.

Ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει.

Μὴ θαυμάσῃς εἰ τὸ πρᾶγμα ὑπόκρισιν καλεῖ· οὐ γὰρ βούλεται, ὅπερ ἔφθην εἰπὼν, ἐκκαλύψαι τὴν γνώμην, ἵνα ἐκεῖνοι κατορθωθῶσιν.

Ἐπειδὴ γὰρ σφοδρῶς ἀντείχοντο τοῦ νόμου, διὰ τοῦτο καὶ ὑπόκρισιν καλεῖ τὸ γιγνόμενον καὶ σφόδρα ἐπιπλήττει, ὥστε πρόρριζον αὐτῶν ἀνελεῖν τὴν πρόληψιν· καὶ ἀκούων ταῦτα Πέτρος, συνυποκρίνεται ὡς ἁμαρτάνων, ἵνα ἐν τῇ πρὸς αὐτὸν ἐπιτιμήσει διορθωθῶσιν. εἰ μὲν γὰρ τοῖς ἐξ Ἰουδαίων ὁ Παῦλος ἐπίπληξεν, ἠγανάκτησαν ἂν καὶ διέπτυσαν· οὐ γὰρ πολλὴν περὶ αὐτοῦ δόξαν εἶχον· νυνὶ δὲ τὸν διδάσκαλον ὁρῶντες ἐπιτιμώμενον . . . . . . οὔτε καταφρονῆσαι, ... εἰπεῖν τοῖς λεγομένοις εἶχον.

13 Ἀλλ' ὅτε εἶδον ὅτι οὐκ ὀρθοποδοῦσιν πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου.

Μὴ δὲ αὕτη ὑμᾶς θορυβείτω ἡ λέξις· οὐ γὰρ Πέτρου καταγιγνώσκων ταῦτα λέγει· ἀλλ' οὕτως χαρακτηρίζει τὴν λέξιν, ὡς συμφέρον ἦν ἀκοῦσαι τοὺς διὰ τῆς ἐπιτιμήσεως Πέτρου μέλλοντας βελτίους γενέσθαι.

14 **Εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων.**

Εἶδες πῶς τοὺς ἄλλους διορθοῦται; διὰ γὰρ τοῦτο "ἔμπροσθεν," ἵνα καὶ οἱ ἄλλοι ἀκούσαντες φοβηθῶσιν.

Εἰ σὺ Ἰουδαῖος ὑπάρχων ἐθνικῶς καὶ οὐχὶ Ἰουδαϊκῶς ζῇς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν.

Καίτοι οὐ τὰ ἔθνη αὐτῷ συναπήχθη, ἀλλ' οἱ Ἰουδαῖοι· τί οὖν ἐγκαλεῖς ὃ μὴ γέγονε; τί δὲ μὴ τρέπῃς τὸν λόγον ἐπὶ τοὺς ὑποκρινομένους τοὺς ἐξ Ἰουδαίων, ἀλλ' ἐπὶ τὰ ἔθνη; διατί δὲ Πέτρῳ μόνῳ ἐγκαλεῖς, εἰ καὶ οἱ λοιποὶ αὐτῷ συνυπεκρίθησαν; καὶ μὴν αὐτὸς ὑπεστέλλετο μόνος· τὸ οὖν ἐστιν ὃ κατασκευάσαι βούλεται, ἀνύποπτον ποιῆσαι τὴν ἐπιτίμησιν. εἰ μὲν γὰρ εἶπε κακῶς ποιεῖς τὸν νόμον τηρῶν, ἐπετίμησαν ἂν οἱ ἐξ Ἰουδαίων αὐτῷ ὡς θρασυνομένῳ κατὰ τοῦ διδασκάλου· νυνὶ δὲ ὑπὲρ τῶν οἰκείων ἐγκαλῶν αὐτῷ μαθητῶν, τῶν ἐξ ἐθνῶν λέγω, εὐπαράδεκτον ποιεῖται ταύτῃ τὸν λόγον· καὶ οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ πάντων ἀποστῆσαι τὴν ἐπιτίμησιν, τῷ Ἀποστόλῳ περιστῆσαι πᾶσαν αὐτήν· εἰ γὰρ σὺ, φησὶν, Ἰουδαῖος ὢν, ἐθνικῶς ζῇς καὶ οὐχὶ Ἰουδαι-"κῶς·" μονονουχὶ διαρρήδην λέγων, μιμήσασθε τὸν διδάσκαλον· ἰδοὺ γὰρ καὶ αὐτὸς Ἰουδαῖος ὢν, ἐθνικῶς ζῇ· ἀλλ' οὕτω μὲν οὐ λέγει· οὐ γὰρ ἂν ἐδέξαντο τὴν παραίνεσιν· προσχήματι δὲ ἐπιτιμήσεως τῆς ὑπὲρ τῶν ἐθνῶν, ἐκκαλύπτει τοῦ Πέτρου τὴν γνώμην· καὶ γὰρ αἱ ἐπιπλήξεις, ὅταν μὴ σφόδρα φορτικαὶ ὦσι, τότε μάλιστα δύνανται εὐπαράδεκτοι γίνεσθαι· οὐδὲ γὰρ τῶν ἐξ ἐθνῶν τίς ἠδύνατο ἐγκαλέσαι τῷ Παύλῳ τὸν ὑπὲρ τῶν Ἰουδαίων ποιουμένῳ λόγον· τοῦτο δὲ ὅλον κατώρθωσε σιγήσας καὶ καταδεξάμενος ὑποκρίσεως δόξαν λαβεῖν ὁ Πέτρος, ἵνα ἀληθοῦς ὑποκρίσεως ἀπαλλάξῃ τοὺς Ἰουδαίους.

Ταῦτα μὲν ἐνταῦθα ὁ μακάριος Ἰωάννης[d] φησίν. ἐν δὲ τῷ λόγῳ τῷ ἰδικῶς εἰρημένῳ αὐτῷ εἰς τὰ προκείμενα ῥητὰ, προστίθησι καὶ ταῦτα. τινὲς φασὶ, οὐκ ἦν οὗτος ὁ Πέτρος ὁ τῶν Ἀποστόλων πρῶτος, ὁ παρὰ τοῦ Κυρίου τὰ πρόβατα πιστευθεὶς, ἀλλ' ἕτερός τις εὐτελὴς καὶ ἀπερριμμένος· πόθεν τοῦτο δῆλον φασὶν,

[d] Scil. Chrysostomus.

ὅτι ἐπήγαγεν ὁ Παῦλος "ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῷ "τῇ ὑποκρίσει." τῷ γὰρ εἰπεῖν "ὥστε καὶ Βαρνάβας," δηλοῦντός ἐστιν, ὅτι πολὺ τοῦτο θαυμασιώτερον ἦν τοῦ Πέτρου ἀπαχθῆναι· ὡς γὰρ μείζονα αὐτὸν τιθεὶς, οὕτως εἶπεν. ἀλλὰ ταῦτα, οὐκ ἔστιν· οὐ γὰρ ἐπειδὴ μείζων ἦν ὁ Βαρνάβας, διὰ τοῦτο ἐπὶ τούτῳ θαυμάζει μᾶλλον ἢ ἐπὶ τῷ Πέτρῳ, ἀλλ' ὅτι ἐκεῖνος μὲν εἰς τὴν περιτομὴν ἀπεστάλη· Βαρνάβας δὲ μετὰ Παύλου τοῖς ἔθνεσιν ἐκήρυσσε, καὶ πανταχοῦ τῷ Παύλῳ συνέζευκτο· διὰ τοῦτο τοίνυν θαυμάζει ὅτι καὶ αὐτὸς συναπήχθη, ἐπειδὴ μετ' αὐτοῦ κηρύττων ἀεὶ, καὶ οὐδὲν κοίνον πρὸς Ἰουδαίους ἔχων, ἀλλ' ἐν τοῖς ἔθνεσι διδάσκων καὶ αὐτὸς συναπήχθη.

Ὅτι δὲ Πέτρος ἐστὶ περὶ οὗ ταῦτα φησὶ, δῆλον ἐκ τῶν ἀνωτέρω καὶ ἐκ τῶν μετὰ ταῦτα· τῷ γὰρ εἰπεῖν "κατὰ πρόσωπον "αὐτῷ ἀντέστην" καὶ ὡς μέγα θεῖναι τοῦτο, οὐδὲν ἕτερον δηλοῦντος ἦν, ἀλλ' ὅτι οὐκ ᾐδέσθη τοῦ προσώπου τὸ ἀξίωμα· οὐκ ἂν δὲ περὶ ἑτέρου λέγων, ὅτι κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὡς μέγα τί τοῦτο ἔθηκε· πάλιν εἰ ἄλλος ἦν Πέτρος, οὐκ ἂν ἡ μετάστασις αὐτοῦ τοσοῦτον ἴσχυεν ὥστε καὶ τοὺς λοιποὺς ἐφελκύσασθαι Ἰουδαίους διὰ τὸ τοῦ προσώπου ἀξίωμα. ὅτι μὲν οὖν Πέτρος ἦν, ἐκ τούτων δῆλον. εἰ δὲ βούλεσθε καὶ τὴν ἑτέραν λύσιν ἐροῦμεν.

Τίς οὖν ἐστὶν ἡ ἑτέρα; ὁ Πέτρος ἐπεθύμει καὶ τοὺς ἐξ Ἱεροσολύμων κατελθόντας τοὺς ἀπὸ Ἰακώβου, ἀπαλλάξαι τῆς παρατηρήσεως τῆς Ἰουδαϊκῆς· ἀλλ' εἰ μὲν αὐτὸς ταύτην εἰσηγήσατο τὴν γνώμην, ὡς ἐναντία ἑαυτῷ δημηγορῶν, καὶ τοῖς ὑπ' αὐτῷ γεγενημένοις πᾶσι κατὰ τὸν ἔμπροσθεν χρόνον, ἐσκανδάλισεν ἂν τοὺς μαθητάς. πάλιν εἰ Παῦλος πρὸς αὐτοὺς τοῦτον ἀπέτεινε τὸν λόγον, οὐδ' ἂν προσέσχον, οὐδ' ἂν ἠνέσχοντο τῆς ἀκροάσεως. οἱ γὰρ καὶ χωρὶς τούτου μισοῦντες αὐτὸν καὶ ἀποστρεφόμενοι διὰ τὴν τοιαύτην φήμην, πολλῷ μᾶλλον εἰ καὶ συμβουλεύοντος ταῦτα ἤκουσαν· τί οὖν γίνεται; Ἰουδαίοις μὲν οὐδὲν ἐπιτιμᾷ τοῖς ἐξ Ἰακώβου· δέχεται δὲ τὴν ἐπιτίμησιν ὁ Πέτρος παρὰ τοῦ Παύλου· ἵνα ἐγκαλούμενος παρὰ τοῦ συναποστόλου, δικαίαν σχῇ λοιπὸν παρρησίαν τοῦ καὶ τοῖς μαθηταῖς ἐπιπλῆξαι· καὶ ἐπιτιμᾶται μὲν ὁ Πέτρος, διορθοῦνται δὲ οἱ μαθηταί. διὰ τοῦτο κατὰ πρόσωπον αὐτῷ ἀντέστη· καὶ πάλιν εἶπε, "τῷ Πέτρῳ ἔμπροσθεν πάντων·" ὁ

δὲ Πέτρος ἀνέχεται καὶ σιγᾷ καὶ οὐκ ἀντιλέγει· οἶδε γὰρ τὴν γνώμην μεθ᾽ ἧς ὁ Παῦλος ἐπετίμα· καὶ τὸ πᾶν ὁ Πέτρος κατώρθωσε σιγήσας· ἡ γὰρ τούτου σιγὴ, διδασκαλία τοῖς Ἰουδαίοις ἐγίνετο, τοῦ μηκέτι τοῖς νομίμοις ἐνέχεσθαι· οὐ γὰρ ἂν ὁ διδάσκαλος ἐσίγησέ φησιν, εἰ μὴ συνήδει δικαίως ἐπιτιμῶντι τῷ Παύλῳ. ἐλέγχει δὲ αὐτὸν ἀπὸ τῆς προτέρας ἀναστροφῆς, ἵνα μὴ ἐκ τῆς Παύλου γνώμης ἡ παραίνεσις καὶ ἡ συμβολὴ, ἀλλ᾽ ἐκ τῆς Πέτρου κρίσεως τῆς ἤδη γεγενημένης . . . . τὴν σύνεσιν Παύλου, ἀλλὰ καὶ ἐκ τῶν ἑξῆς εἰρημένων· οὐ γὰρ εἶπεν, εἰ σὺ Ἰουδαῖος ὢν ἐθνικῶς ἔζης, ἀλλὰ "ζῇς·" ὥστε καὶ νῦν τὴν αὐτὴν γνώμην ἔχεις· καὶ οὐκ εἶπε τί τοὺς Ἰουδαίους ἀναγκάζεις Ἰουδαΐζειν; ἀλλὰ "τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν;" ἵνα ἐν προσχήματι τῆς τῶν ἐθνῶν κηδεμονίας, πείσῃ τοὺς Ἰουδαίους ἀποστῆναι τῆς παλαιᾶς συνηθείας· οἱ γὰρ συναπαχθέντες οὐχ οἱ ἐξ ἐθνῶν, ἀλλ᾽ οἱ Ἰουδαῖοι. καὶ ἵνα μάθητε ὅτι οὐκ ἐπιτίμησις ἦν κατὰ Πέτρου τὰ λεγόμενα, ἀλλὰ παραίνεσις καὶ διδασκαλία τοῖς Ἰουδαίοις ἐν τάξει τῆς ἐπιτιμήσεως τῆς κατὰ Πέτρου, ἄκουσον τῶν ἑξῆς,

15 Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί.

Ταῦτα γὰρ λοιπὸν διδάσκοντός ἐστι, καὶ οὐκέτι εἰς Πέτρον τὸ πᾶν περιΐστησιν, ἀλλὰ κοινοῖ τὸν λόγον.

Εἰ μὲν γὰρ ὡς διδάσκων ἐξ ἀρχῆς εἰσέβαλεν, οὐκ ἂν ἠνέσχοντο Ἰουδαῖοι· νῦν δὲ τὴν ἀρχὴν ἐξ ἐπιτιμήσεως λαβὼν, καὶ δόξας δικαίαν ποιεῖσθαι κατὰ τοῦ Πέτρου τὴν ἐπιτίμησιν, ὡς τοὺς ἐξ ἐθνῶν ἕλκοντος πρὸς τὴν τῶν νομίμων παρατήρησιν, ἐκβαίνει λοιπὸν εἰς παραίνεσιν ἀδεῶς, ὡς τῆς ἀκολουθίας εἰς τοῦτο ἀγούσης αὐτόν. ἵνα γὰρ μή τις ἀκούσας τί τὰ ἔθνη Ἰουδαΐζειν, νομίσῃ ὅτι μόνοις ἐκείνοις οὐκ ἔξεστιν Ἰουδαΐζειν, τοῖς Ἰουδαίοις ἐπαφίεται, εἰς αὐτοὺς τοὺς διδασκάλους τὸν λόγον περιίστησι· τί λέγω φησὶν περὶ ἐθνῶν, Ἰουδαίων ἢ τῶν λοιπῶν; ἡμεῖς οἱ διδάσκαλοι· ἡμεῖς οἱ Ἀπόστολοι· καὶ οὐ τοῦτο μόνον λέγει τὸ δικαίωμα ὅτι οἱ διδάσκαλοι καὶ οἱ Ἀπόστολοι, ἀλλ᾽ ὅτι καὶ οἱ ἐκ προγόνων Ἰουδαῖοι καθάπαξ ἀπέστημεν τοῦ νόμου· ποίαν οὖν ἔχοιμεν ἀπολογίαν ἑτέρους εἰς τοῦτο ἕλκοντες;

Σχολιον Θεοδώρου. Ἀντὶ τοῦ ἐκ γένους καὶ οὐ προσήλυτοι. ὁρᾷς πῶς λανθανόντως τῶν Ἰουδαίων καθάπτεται, καὶ τὴν διδασκαλίαν συντίθησιν ἀπηρτισμένην; εἰπὼν γὰρ "φύσει Ἰουδαῖοι καὶ οὐκ "ἐξ ἐθνῶν ἁμαρτωλοὶ," καὶ αἰτίαν τίθησιν εὔλογον δι' ἣν ἀπέστησαν τοῦ Ἰουδαϊσμοῦ.

16 Εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Ἰησοῦν Χριστὸν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου.

Ὅρα καὶ ἐνταῦθα πῶς μετὰ ἀσφαλείας ἅπαντα φθέγγεται· οὐ γὰρ ὡς πονηρὸν, ἀλλ' ὡς ἀσθενῆ, φησὶν, αὐτὸν εἰάσαμεν· εἰ τοίνυν οὐ παρέχει δικαιοσύνην ὁ νόμος, περιττὸν τὸ τῆς περιτομῆς· ἀλλὰ νῦν μὲν οὕτως· προϊὼν δὲ δείκνυσιν ὅτι οὐ μόνον περιττὸν, ἀλλὰ καὶ ἐπικίνδυνον· ὅπερ καὶ μάλιστα παρατηρητεόν· πῶς παρὰ μὲν τὴν ἀρχὴν φησὶν "οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου." προβαίνων δὲ καὶ φορτικώτερον φθέγγεται.

(Σευηριανός.) Ἄλλος φησὶ, εἰ γὰρ ἐξ ἔργων οὐδεὶς δικαιοῦται τῶν πόνον φερόντων, ἐκ δὲ πίστεως, ὅπου τὸ τῆς εὐκολίας, καὶ τὸ τῆς δικαιοσύνης μέγα, πῶς οὐκ ἀναγκαῖον, φησὶν, ἐάσαντας νόμον ἀρκεῖσθαι τῇ χάριτι; ἐξ ἔργων νόμου λέγει μὴ δικαιοῦσθαι, οὐκ ἐξ ἐντολῶν· ἡ γὰρ ἐντολὴ δικαιοῖ ἀκουομένη· τὸ δὲ ἔργον ἦν τὸ δυσκατόρθωτον.

17 Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί· ἄρα Χριστὸς ἁμαρτίας διάκονος;

Τοῦ Χρυσοστόμου. Εἰ γὰρ οὐκ ἰσχύει ἡ εἰς αὐτὸν πιστις δικαιῶσαι, ἀνάγκη πάλιν λοιπὸν τοῦ νόμου ἔχεσθαι. ὅτι τὸν νόμον ἀφέντες διὰ τὸν Χριστὸν καὶ οὐ δικαιούμενοι ἐκ τῆς ἀφέσεως· ἀλλὰ καὶ κατακρινόμενοι, τῆς . . . . τὸ αἴτιον γιγνόμενον . . . . φεντες πρὸς τὴν πίστιν ηὐτομολήσαμεν, ὁρᾷς τί κατασκευάζουσιν οἱ Ἰουδαΐζοντες; τὸν Χριστὸν τὸν τῆς δικαιοσύνης ἡμῖν αἴτιον, τοῦτον καὶ ἁμαρτίας ἡμῖν ἀποφαίνουσιν αἴτιον· καθὼς καὶ Παῦλός φησι· "ἄρα Χρι- "στὸς ἁμαρτίας διάκονος;" εἶτα εἰς ἄτοπον τὸν λόγον ἀπαγαγὼν,

οὐκ ἐδεήθη λοιπὸν κατασκευῆς πρὸς τὴν ἀνατροπὴν, ἀλλ' ἠρκέσθη τῇ ἀπαγορεύσει μόνον, εἰπὼν "μὴ γένοιτο·" πρὸς γὰρ τὰ λίαν ἀναίσχυντα καὶ ἀναιδῆ, οὐδὲ κατασκευαστικῶν δεῖ λόγων· ἀλλ' ἀρκεῖ καὶ ἀπαγορεῦσαι μόνον.

18 Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι.

Ἐκεῖνοι δεῖξαι ἐβούλοντο ὅτι ὁ μὴ τηρῶν τὸν νόμον παραβάτης· οὐ τῆς πίστεως, ἀλλὰ καὶ αὐτοῦ τοῦ νόμου· οὐ γὰρ κατέλυσα, τὸν νόμον, φησί. ὁ δὲ λέγει, τουτέστι· πέπαυται ὁ νόμος, καὶ τοῦτο ὡμολογήσαμεν, δι' ὧν ἀφέντες αὐτὸν κατεφύγομεν ἐπὶ τὴν ἐκ τῆς πίστεως σωτηρίαν. ἂν τοίνυν φιλονεικήσωμεν στῆσαι αὐτὸ τοῦτο, παραβάται γινόμεθα, τὰ παρὰ τοῦ Θεοῦ λυθέντα φιλονεικοῦντες τηρεῖν.

(Εὐσεβίου.) *Ἄλλος δέ φησι. Ἡ ἐκκλησία νόμον οὐ τηροῦσα, νόμον . . . . πεπλήρωται ὁ νόμος καὶ πέπαυται. κἂν μὴ τηρῇ νόμον, οὐ παρανομεῖ· ὁ δὲ πότε μὲν ἐσθίων τὰ ἀπηγορευμένα ὑπὸ τοῦ νόμου· πάλιν δὲ μὴ ἐσθίων, τῷ ἐκ δευτέρου μὴ ἐσθίειν, μηνύει ὅτι ἰσχύει ὁ νόμος καὶ μένει εἰς ὃν ἀνατρέχει· οὐκ οὖν ἐπειδὴ μένει ὁ νόμος, αὐτὸς δὲ παρὰ τὰ νόμιμα ἔφαγε, καλῶς ἀκούεις ταῦτα.*

(Σευηριανός.) *Καὶ ἄλλος πάλιν φησὶ, πρὸς τὸν Πέτρον ὁ λόγος· σὺ κατέλυσας αὐτὰ δόγματι, ὅπερ ἀπεστάλη παρ' ὑμῶν τοῖς Ἀντιοχεῦσι καὶ πάσῃ τῇ οἰκουμένῃ· ἀπρεπὲς οὖν ταῦτα διδάσκειν ἑτέρους, ὧν τῆς ἐπιμελείας ἀπέστης, καὶ ἰδίῳ κατέλυσας δόγματι.*

19 Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον.

Διπλὴν ἔχει τοῦτο τὴν θεωρίαν· ἢ γὰρ νόμου τοῦ τῆς χάριτος φησί· οἶδε γὰρ καὶ τοῦτον νόμον καλεῖν, ὡς ὅταν λέγῃ· "ὁ δὲ "νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με·" ἢ νόμον ἐνταῦθα, τὸν παλαιὸν λέγει· δεικνὺς ὅτι διὰ τούτου τοῦ νόμου τῷ νόμῳ ἀπέθανε· τουτέστιν αὐτός με ὁ νόμος ἐνήγαγεν εἰς τὸ μηκέτι προσέχειν αὐτῷ· εἰ τοίνυν μέλλοιμι αὐτῷ προσέχειν, καὶ αὐτὸν παραβαίνω· καὶ τινὶ τρόπῳ Μωϋσῆς φησι, "προφήτην ὑμῖν ἀνα-"στήσει Κυρίος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ

"ἀκούσεσθε" περὶ τοῦ Χριστοῦ λέγων· ὥστε οἱ μὴ τούτῳ πειθόμενοι παραβαίνουσι τὸν νόμον.

Τοῦ Χρυσοστόμου. Καὶ ἑτέρως δὲ πάλιν νοητέον ἡμῖν τοῦτο· τὸ διὰ νόμου νόμῳ ἀπέθανον· ὁ γὰρ νόμος πάντα κελεύει ποιεῖν τὰ γεγραμμένα, καὶ τὸν μὴ ποιοῦντα κολάζει· οὐκ οὖν ἅπαντες αὐτῷ τετελευτήκαμεν· οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. καὶ ὅρα πῶς καὶ ἐνταῦθα μεμετρημένως ποιεῖται τὴν πρὸς αὐτὸν μάχην· οὐ γὰρ εἶπε, νόμος μοι ἀπέθανεν, ἀλλ' "ἐγὼ τῷ νόμῳ ἀπέθανον" ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. ὥσπερ τὸν νέκρον καὶ τεθνεῶτα οὐκ ἔστιν ὑπάγειν ταῖς ἐντολαῖς τοῦ νόμου, οὕτως καὶ ἐμὲ τὸν ἐκ τῆς ἀρᾶς τῆς ἐκείνου τελευτήσαντα, τῷ γὰρ λόγῳ τῷ ἐκείνου ἀπέθανον· μὴ τοίνυν ἐπιταττέτω τῷ τεθνεῶτι, ὃν καὶ αὐτὸς ἀνεῖλε· καὶ θάνατον οὐ τὸν σωματικὸν μόνον, ἀλλὰ καὶ τὸν ψυχικόν· δι' οὗ καὶ τὸν σωματικὸν ἐπήγαγεν· ὅτι γὰρ τοῦτο λέγει, διὰ τῶν ἑξῆς ἐδήλωσεν.

20 Ἵνα γὰρ ζήσω Θεῷ Χριστῷ συνεσταύρωμαι.

Ἐπειδὴ γὰρ εἶπεν "ἀπέθανον" ἵνα μὴ τίς εἴπῃ, πῶς οὖν ζῇς; ἐπήγαγε καὶ τὴν αἰτίαν τῆς ζωῆς· καὶ ἔδειξεν ὅτι ὁ μὲν νόμος, ζῶντα ἀπέκτεινεν· ὁ δὲ Χριστὸς νεκρὸν λαβὼν, διὰ θανάτου ἐζωογόνησε· καὶ διπλοῦν τὸ θαῦμα δείκνυσιν, ὅτι καὶ τὸν νεκρὸν ἐζωοποίησε, καὶ διὰ θανάτου τὴν ζωὴν ἐχαρίσατο· ζωὴν δὲ λέγει νῦν τὴν ἀθάνατον. τοῦτο γάρ ἐστιν "ἵνα Θέῳ ζήσω, Χριστῷ συνεσταύρωμαι." καὶ πῶς ὁ ζῶν καὶ ἐμπνέωνσυνεσταυρώθης; φησὶν, ὅτι μὲν γὰρ ὁ Χριστὸς ἐσταυρώθη, δῆλον· σὺ δὲ πῶς ἐσταύρωσαι καὶ ζῇς;

Ζῶ δὲ οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστός.

Τὸ μὲν γὰρ εἰπεῖν "Χριστῷ συνεσταύρωμαι," τὸ βάπτισμα ᾐνίξατο. τὸ δὲ εἰπεῖν "ζῶ δὲ οὐκέτι ἐγώ," τὴν μετὰ ταῦτα πολιτείαν δι' ἧς νεκροῦται ἡμῶν τὰ μέλη. Τί οὖν ἐστι τὸ "ζῇ δὲ "ἐν ἐμοὶ Χριστός;" οὐδὲν γίνεται, φησὶν, ὑπ' ἐμοῦ ὧν ὁ Χριστὸς οὐ βούλεται· ὥσπερ γὰρ θάνατον λέγει οὐ τοῦτον τὸν κοινὸν, ἀλλὰ τὸν ἐκ τῶν ἁμαρτιῶν, οὕτω καὶ ζωὴν τὴν ἐκείνων ἀπαλλαγήν. Θέῳ γὰρ οὐκ ἔστιν ἄλλως ζῆν, ἀλλ' ἢ νεκρωθέντα τῇ ἁμαρτίᾳ. ὥσπερ οὖν ὁ Χριστὸς τὸν σωματικὸν ὑπέστη θάνατον, οὕτως ἐγὼ

τὸν κατὰ τῆς ἁμαρτίας. "Νεκρώσατε γὰρ τὰ μέλη ὑμῶν τὰ "ἐπὶ τῆς γῆς, ἅτινά ἐστι μοιχεία, πορνεία, ἀκαθαρσία." καὶ πάλιν λέγει, "ἄρα ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταυρώθη," ὅπερ ἐν τῷ λούτρῳ γέγονε. μετὰ δὲ ταῦτα· ἐὰν μὲν ᾖς νεκρὸς τῇ ἁμαρτίᾳ, ζῇς τῷ Θέῳ· ἐὰν δὲ πάλιν αὐτὴν ἀναστήσῃς, ἐλυμήνω τὴν τοιαύτην ζωήν· ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος· διέμενε δὲ διόλου νεκρός. εἰ τοίνυν ἐν τῷ Θέῳ ζῶ, φησὶν, ἑτέραν παρὰ τὴν ἐν τῷ νόμῳ ζωὴν, καὶ νεκρὸς ἐγενόμην τῷ νόμῳ, οὐδὲν τοῦ νόμου φυλάττειν δύναμαι· καὶ οὐκ εἶπε ζῶ ἐγώ· ἀλλὰ "ζῇ ἐν ἐμοὶ Χριστός·" τίς ταύτην τολμήσει ῥῆξαι τὴν φωνήν;

Ἐπειδὴ γὰρ εὐήνιον ἑαυτὸν τῷ Χριστῷ κατεσκεύασε, καὶ πάντα ἐξέβαλε τὰ βιωτικὰ, καὶ πρὸς τὸ θέλημα τὸ ἐκείνου πάντα ἔπραττεν, οὐκ εἶπε ζῶ τῷ Χριστῷ, ἀλλ' ὃ πολλῷ πλεῖον ἦν, "ζῇ "δὲ ἐν ἐμοὶ ὁ Χριστός."

Ὥσπερ γὰρ ἡ ἁμαρτία ὅταν κρατήσῃ, αὕτη ἐστὶν ἡ ζῶσα, πρὸς ἃ βούλεται τὴν ψυχὴν ἄγουσα, οὕτως ἂν ἐκείνης νεκρωθείσης, τὰ Χριστῷ δοκοῦντα γίνεται, οὐδὲ ἀνθρωπίνη λοιπὸν ἔστιν ἡ τοιαύτη ζώη, αὐτοῦ ζῶντος ἐν ἡμῖν, τουτέστιν, ἐνεργοῦντος, κρατοῦντος.

Ἄλλος δέ φησιν· ὁ νόμος, σωματικῶν ἔχει τὴν ἐργασίαν καὶ τὴν ἀπόλαυσιν· τὸ δὲ φάγε, καὶ τό δε μὴ φάγῃς· Σάββατον τήρησον, περιτομήν· ἡ χάρις οὐ βούλεταί σε διὰ τούτων εὐδοκιμεῖν ἐνεκρώθ . . . . τούτοις τὴν χρείαν ἔχω νόμου· ζῶ . . . . ἐγὼ, ζῇ δὲ ἐμοὶ ὁ Χριστός· ὃ ἐγὼ ἔζων ἐμαυτῷ, ὑπὸ νόμον ἤμην· ἐπειδὴ δὲ Χριστὸς ζῇ ἐν ἐμοὶ, ὁ μηκέτι ὑπὸ νόμον ἀλλ' ἐν οὐρανοῖς, ἐκ δεξιῶν τοῦ Πατρὸς, οὐκ ἀθετῶ τὸν ἐν ἐμοὶ ζῶντα.

Ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ.

Πιστεύω γὰρ εἰς τὸν Υἱὸν τοῦ Θεοῦ· εἰ δὲ ὁ Υἱὸς τοῦ Θεοῦ ᾧ πιστεύω, ἐν δεξίᾳ τοῦ Πατρὸς, ἐν οὐρανοῖς πολιτεύομαι· ὁ δὲ νόμος, ἐν τοῖς ἐπὶ γῆς εἶχε τὰς τηρήσεις· οὐκ ἄρα ὑπόκειμαι νόμῳ.

(Θεόδωρος.) Ἄλλος πάλιν ὧδε φησίν· ἐπειδὴ ἐν τῷ βαπτίσματι τοῦ τε θανάτου καὶ τῆς ἀναστάσεως τύπον ἐπλήρουν, συσταυροῦσθαι ἐλέγοντο τῷ Χριστῷ· ὡς ἂν αὐτοῦ μὲν διὰ σταυροῦ τὸν θάνατον δεξαμένου καὶ ἀναστάντος, αὐτοὶ δὲ κατὰ τύπον

τοῦ βαπτίσματος ἐν τοῖς ὁμοίοις γιγνόμενοι, ἐπ' ἔλπιδι τοῦ καὶ πάντη πότε μετασχεῖν τῶν ὁμοίων, ὅταν τῆς κοινῆς πάντων ἀναστάσεως ἐν τῇ τοῦ αἰῶνος συντελείᾳ τὸν καιρὸν παρεῖναι συμβαίνῃ· τοῦτο οὖν λέγει· "ὅτι συνεσταύρωμαι," φησὶν, "τῷ "Χριστῷ·" οὐδὲ μίαν πρὸς τὴν παροῦσαν ταύτην ζωὴν κοινωνίαν ἔχων, ἐν ᾗ κατὰ νόμον πολιτεύεσθαι ἡμᾶς ἀνάγκη.

Ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός.

Τῷ τὴν ἐκείνου ζωὴν ζῆν τὴν ἀθάνατον· ἃ γὰρ ἐπὶ τῶν πραγμάτων ἔσται τότε, ταῦτα ὡς ἤδη γεγενημένα λέγει.

Καὶ ἌΛΛΟΣ *πάλιν φησὶ, "ζῇ ἐν ἐμοὶ ὁ* Χριστός·" *ὁ μὴ ὑποκείμενος νόμῳ, ὑπὲρ νόμον ὢν ὡς Υἱός· ἐγὼ δὲ διὰ τὸν ζῶντα ἐν ἐμοὶ, ὥσπερ οἱ δεχόμενοι τὰς αὐγὰς τὰς ἡλιακὰς φωτεινοὶ καὶ διειδεῖς, υἱός· ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ· τὰ μὲν εἰρημένα μοί φησιν, περὶ τῆς νοερᾶς ζωῆς. εἰ δὲ τίς καὶ ταύτην ἐξετάζοι τὴν αἰσθητὴν, καὶ αὕτη διὰ τὴν εἰς* Χριστόν *μου πίστιν γέγονεν. ὅσον γὰρ εἰς τὴν παλαιὰν πολιτείαν καὶ τὸν νόμον, ἐσχάτης κολάσεως ἄξιος ἤμην, καὶ πάλαι ἂν ἀπολώλειν· "πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ*[e]·" *καὶ ὑπὸ τὴν ἀπόφασιν ἡμᾶς κειμένους, καὶ γὰρ οἱ πάντες ἀπέθανον εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ ἀποφάσει, καὶ τὴν πληγὴν ἐκδεχομένους. ἐπειδὴ καὶ ὁ νόμος κατηγόρησε καὶ ὁ Θεὸς ἀπεφήνατο, ἐλθὼν ὁ Χριστὸς καὶ εἰς θάνατον ἑαυτὸν ἐκδοὺς, πάντας ἡμᾶς ἐξήρπασε τοῦ θανάτου· ὥστε "ὃ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει "ζῶ," τουτέστι, διὰ τὴν εἰς αὐτὸν πίστιν ζῶ. ἐπεὶ, εἰ μὴ τοῦτο ἦν, οὐδὲν ἐκώλυε πάντας ἀφανισθῆναι· ὃ καὶ ἐπὶ τοῦ κατακλυσμοῦ γέγονεν· ἀλλ' ἡ τοῦ Χριστοῦ παρουσία, στήσασα τοῦ Θεοῦ τὴν ὀργὴν, διὰ τῆς πίστεως ζῆν ἡμᾶς ἐποίησεν· ὅτι γὰρ τοῦτο φησὶν, ἄκουσον τῶν ἑξῆς· εἰπὼν γὰρ ὅτι "ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει "ζῶ," ἐπήγαγε.*

Τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ, τοῦ ἀγαπήσαντός με, καὶ παραδόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ.

Ἐννοήσας τὴν ἀπόγνωσιν τῆς ἀνθρωπίνης φύσεως καὶ τὴν

[e] Deesse videtur aliquid, sed nullum est lacunæ indicium in Cod.

ἄφατον τοῦ Χριστοῦ κηδεμονίαν, καὶ τινῶν ἀπήλλαξε καὶ τίνα ἐχαρίσατο· καὶ πυρωθεὶς ὑπὸ τοῦ περὶ αὐτὸν πόθου, οὕτω φθεγγέται· ἐπεὶ καὶ οἱ προφῆται, τὸν κοινὸν Θεὸν ἰδιοποιοῦντο πολλάκις οὕτω λέγοντες, "ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι." καὶ πάλιν· "ὁ Θεὸς, ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω." καὶ χωρὶς δὲ τούτων, δείκνυσιν ὅτε ἕκαστος ἡμῶν τοσαύτην ὀφείλει τῷ Θέῳ χάριν, ὅσην ἂν εἰ καὶ δι' αὐτὸν μόνον ἦλθεν· οὐ γὰρ ἂν παρῃτήσατο καὶ ὑπὲρ ἑνὸς τοσαύτην οἰκονομίαν ἐπιδείξασθαι· οὕτως ἕκαστον ἄνθρωπον τοσούτῳ μέτρῳ ἀγάπης φιλεῖ, ὅσῳ τὴν οἰκουμένην ἅπασαν.

Ἡ μὲν οὖν θυσία, ὑπὲρ πάσης προσενήνεκτο φύσεως καὶ ἱκανὴ πάντας[f] ἀπολῦσαι· οἱ δὲ τῇ εὐεργεσίᾳ χρησάμενοι οἱ πιστεύσαντες εἰσὶ μόνοι· ἀλλ' ὅμως οὐκ ἐπέστησεν αὐτὸν τῆς τοιαύτης οἰκονομίας τὸ μὴ πάντας προσελθεῖν· εἶτα αὐτὸς μὲν οὕτω σε ἠγάπησεν, ὡς καὶ ἑαυτὸν παραδοῦναι, καὶ οὐκ ἔχοντα σωτηρίας ἐλπίδα εἰς τοσαύτην καὶ τοιαύτην ζωὴν ἀναγαγεῖν· σὺ δὲ μετὰ τοσαῦτα ἀγαθὰ πρὸς τὰ παλαιὰ παλινδρομεῖς;

Ἐπειδὴ τοίνυν τὰ ἀπὸ τῶν λογισμῶν ἔθηκεν ἀκριβῶς, λοιπὸν ἐν ἀποφάσει σφοδρῶς ἀνακηρύττει λέγων· "οὐκ ἀθετῶ τὴν χάριν "τοῦ Θεοῦ." ἀκουέτωσαν οἱ ἔτι καὶ νῦν Ἰουδαΐζοντες· καὶ γὰρ πρὸς ἐκείνους ταῦτα λέγεται.

Εὐσεβίου. Οὐ λέγω ὅτι καὶ μετὰ τὸ πάθος τοῦ Χριστοῦ χρεία νομίμων· τοῦτο γάρ ἐστιν εἰπεῖν ὅτι ἡ χάρις οὐδὲν ἰσχύει, ὅτι οὐδὲν συμβάλλεται τὸ πάθος.

21 Εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χρίστος δωρεὰν ἀπέθανεν.

Τοῦ Χρυσοστόμου. Τί ταύτης τῆς ἁμαρτίας χαλεπώτερον; τί τούτων τῶν ῥημάτων ἐντρεπτικώτερον; εἰ γὰρ ὁ νόμος δικαιοῖ, περιττὸς, φησὶν, ὁ τοῦ Χριστοῦ θάνατος· ὃν προφῆται μὲν ὤδινον· πατριάρχαι δὲ προύλεγον· ἄγγελοι δὲ . . . . . ἐννοήσας. . . . ὑπερβολὴν τῆς ἀτοπίας· εἰς τοσοῦτον πρᾶγμα καὶ τηλικοῦτον, περιττῶς λέγοιεν γεγενῆσθαι· τοῦτο γὰρ ἀφ' ὧν ἐποίουν συνίστατο, καὶ ὕβρει κατ' αὐτῶν κέχρηται σφοδροτάτῃ οὕτω λέγων,

[f] παντάκις Cod.

ΚΕΦ. Δ.

Ὅτι διὰ πίστεως ὁ ἁγιασμὸς οὐ διὰ νόμου.

1 Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκηνεν τῇ ἀληθείᾳ μὴ πείθεσθαι; οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος.

Ἐνταῦθα λοιπὸν, ἐφ' ἕτερον μεταβαίνει κεφάλαιον· ἐν μὲν γὰρ τοῖς προτέροις ἔδειξεν, ὅτι οὐχ ὑπ' ἀνθρώπων ἦν Ἀπόστολος οὐδὲ δι' ἀνθρώπων· οὐδὲ ἐδεήθη τῆς τῶν Ἀποστόλων διδασκαλίας.

Ἐνταῦθα δὲ λοιπὸν ἀξιόπιστον καταστήσας ἑαυτὸν διδάσκαλον, μετὰ πλείονος τῆς αὐθεντείας διαλέγεται· πίστεως καὶ νόμου σύγκρισιν ποιούμενος. ἀρχόμενος μὲν οὖν φησὶ, "θαυμάζω ὅτι "οὕτω ταχέως μετατίθεσθε." ἐνταῦθα δὲ "ὦ ἀνόητοι Γαλάται·" τότε μὲν γὰρ ὤδινε τὴν ἀγανάκτησιν· ἐπειδὴ δὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπελογήσατο, εἰς μέσον αὐτὴν ἀπορρήξας ἐξήνεγκε μετὰ τὴν ἀπόδειξιν. εἰ δὲ ἀνοήτους καλεῖ, μὴ θαυμάσῃς· οὐ γὰρ παραβαίνων τοῦ Χριστοῦ τὸν νόμον τὸν λέγοντα, μὴ καλεῖν μῶρον τὸν ἀδελφὸν αὐτοῦ· ἀλλὰ καὶ σφόδρα αὐτὸν τηρῶν τοῦτο ποίει· οὐ γὰρ ἁπλῶς εἴρηται ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μῶρον, ἀλλ' ὁ εἰκῇ καλῶν· ὅτι γὰρ ἔδειξε τὴν πίστιν ἐξωθουμένους καὶ τὸν θάνατον τοῦ Χριστοῦ περιττὸν ἀποφαίνοντας, τότε ἐπάγει τὴν ἐπιτίμησιν· καὶ οὐδὲ τότε κατ' ἀξίαν· καὶ γὰρ πολλῶν χαλεπωτέρων ἦσαν ἄξιοι ῥημάτων. ὅρα δέ μοι πῶς εὐθέως καθυφίησι πλῆξας· οὐ γὰρ εἶπε, τίς ὑμᾶς ἠπάτησε; τίς ὑμῖν ἀπεχρήσατο; τίς ὑμᾶς παρελογίσατο; ἀλλὰ "τίς ὑμᾶς ἐβάσκηνεν;" οὐκ ἄμοιρον ἐγκωμίων τὴν ἐπίπληξιν θείς· τοῦτο γὰρ δεικνύντος ἐστιν, ὅτι φθόνου ἔπραττον ἄξια πρότερον· καὶ δαίμονος ἐπήρεια τὸ γενόμενον ἦν· ταῦτα δὲ λέγει· οὐχ ὡς τοῦ φθόνου καθ' ἑαυτῶν τὴν ἰσχὺν ἔχοντος, ἀλλ' ὡς τῶν ταῦτα διδασκόντων διὰ βασκανίαν ἐπὶ τοῦτο ἐλθόντων· "οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυ-"ρωμένος."

Τοῦτο φησὶ τῆς πίστεως δεικνὺς τὴν ἰσχὺν, καὶ τὰ πόρρωθεν δυναμένης ὁρᾶν· καὶ οὐκ εἶπεν ἐσταυρώθη· ἀλλὰ "προεγράφη

“ἐσταυρωμένος·” δηλῶν ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἀκριβέστερον ἐθεώρησαν τῶν παρόντων ἐνίων· ἐκεῖνοι μὲν γὰρ πολλοὶ θεασάμενοι, οὐδὲν ἀπώναντο· οὗτοι δὲ ὀφθαλμοφανῶς μὲν οὐκ εἶδον, ἀκριβέστερον δὲ διὰ τῆς πίστεως εἶδον· ταῦτα δὲ λέγει, καὶ καθαπτόμενος αὐτῶν ὁμοῦ καὶ ἐπαινῶν· ἐπαινῶν μὲν ὅτι μετὰ τοσαύτης ἐδέξαντο πληροφορίας τὸ γεγενημένον· καθαπτόμενος δὲ, ὅτι ὃν εἶδον ὑπὲρ αὐτῶν γυμνωθέντα, ἀνεσκολοπισμένον, προσηλωμένον, κωμῳδούμενον, ἐμπτυόμενον, ὄξος ποτιζόμενον, κατηγορούμενον ὑπὸ λῃστῶν, λόγχῃ νυττόμενον· ταῦτα γὰρ πάντα ἐδήλωσε διὰ τοῦ εἰπεῖν, “προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος·” τοῦτον ἀφέντες, εἰς τὸν νόμον ἀνέδραμον, οὐδὲν αἰδεσθέντες τῶν παθημάτων ἐκείνων. σὺ δὲ μοὶ σκόπει, πῶς πανταχοῦ τὸν οὐρανὸν, τὴν γῆν, τὴν θάλατταν, τὰ ἄλλα πάντα ἀφεὶς, τὴν δύναμιν ἀνεκήρυττε τοῦ Χριστοῦ, τὸν σταυρὸν περιστρέφων· τοῦτο γὰρ μάλιστα κεφάλαιον τῆς ὑπὲρ ἡμῶν κηδεμονίας ἦν.

2 Τοῦτο μόνον θέλω μαθεῖν ἀφ᾽ ὑμῶν· ἐξ ἔργων νόμου τὸ πνεῦμα ἐλάβετε ἢ ἐξ ἀκοῆς πίστεως;

. . . . . . τοῖς μακροῖς . . . . . . λόγοις φησὶν, οὐδὲ τῆς οἰκονομίας τὸ μέγεθος κατοπτεῦσαι βούλεσθε, διὰ συντόμου λόγου καὶ ταχίστης ἀποδείξεως ὑμᾶς πεῖσαι βούλομαι· ἐλάβετε, φησὶν, Πνεῦμα Ἅγιον· εἰργάσασθε δυνάμεις πολλάς· ἐτελέσατε σημεῖα· προφητεύοντες, γλώσσαις λαλοῦντες· τὴν τοσαύτην ἰσχὺν τίς ὑμῖν δέδωκεν; ὁ νόμος; καὶ μὴν οὐδὲν πρότερον ἐποιεῖτε τοιοῦτον· ἀλλ᾽ ἡ πίστις; πῶς οὖν οὐκ ἐσχάτης μανίας τοσαῦτα παρὰ τῆς πίστεως εὐεργετηθέντας, ταύτην μὲν ἀφεῖναι, πρὸς δὲ τὸν οὐδὲν τούτων παρασχόντα νόμον αὐτομολῆσαι πάλιν;

Ἄλλος δέ φησι, δεξάμενοι τὸ Πνεῦμα ἐπ᾽ ἐλπίδι τῆς ἀναστάσεως καὶ τῆς ἀθανασίας, ὅτε χάριτι πάσης ἐκτὸς ἁμαρτίας ἐσόμεθα, αὖθις ὡς θνητοί τινες, ὑπὸ τὴν τοῦ νόμου φυλακὴν ἑαυτοὺς ποιεῖτε;

3 Οὕτως ἀνόητοί ἐστε· ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε;

Πάλιν εὐκαίρως τὴν ὕβριν ἐπήγαγε· δέον γὰρ, φησὶ, προσθήκην ποιῆσαι τοῦ χρόνου προϊόντος, οὐ μόνον οὐκ ἐπεδώκατε, ἀλλὰ

καὶ εἰς τοὐπίσω κατηνέχθητε πάλιν. οἱ γὰρ ἀπὸ τῶν μικρῶν ἀρχόμενοι, προϊόντες ἐπὶ τὰ μείζονα ἀναβαίνουσιν· ὑμεῖς δὲ ἀπὸ μεγάλων . . . . . . ἀρξάμενοι, ἐπὶ τὰ σαρκικὰ κατελύσατε· τὸ μὲν γὰρ σημεῖα ποιεῖν, πνευματικόν· τὸ δὲ περιτέμνεσθαι, σαρκικόν· ὑμεῖς δὲ μετὰ τὰ σημεῖα ἐπὶ τὴν περιτομὴν ἤλθετε· μετὰ τὸ δράξασθαι τῆς ἀληθείας, ἐπὶ τοὺς τύπους κατεπέσετε. καὶ οὐκ εἶπε σαρκὶ τελεῖτε, ἀλλὰ "σαρκὶ ἐπιτελεῖσθε." δεικνὺς ὅτι δίκην θρεμμάτων ἀλόγων λαβόντες αὐτοὺς ἐκεῖνοι κατέκυπτον· τούτων ἑαυτοὺς ἐκδόντων εἰς τὸ πάσχειν, ὅπερ ἐβούλοντο ἐκεῖνοι.

4 Τοσαῦτα ἐπάθετε εἰκῇ;

Τοῦ Χρυσοστόμου. *Τοῦτο τοῦ προτέρου πολυπληκτικώτερον· οὐ γὰρ οὕτως ἠδύνατο δακεῖν ἡ τῶν σημείων ἀνάμνησις, ὡς ἡ τῶν ἀγαθῶν ἐπίδειξις καὶ ἡ τῶν παθῶν ὑπομονὴ τῶν διὰ τὸν Χριστόν· πάντα γὰρ ἐκεῖνα, φησὶν, ἅπερ ὑπεμείνατε, ζημιῶσαι ὑμᾶς οὗτοι βούλονται· εἶτα ἵνα μὴ κατασείσῃ αὐτῶν τὴν ψυχὴν, καὶ ἐκλύσῃ τὰ νεῦρα, οὐκ ἐνέμενεν ἕως τῆς ἀποφάσεως, ἀλλ' ἐπήγαγεν.*

Εἴ γε καὶ εἰκῇ.

Εἰ γὰρ βουληθείητέ φησιν ἀνανῆψαι καὶ ἀνακτήσασθαι ἑαυτοὺς, οὐκ εἰκῇ. ποῦ νῦν εἰσὶν οἱ τὴν μετάνοιαν ἐκκόπτοντες; ἰδοὺ γὰρ οὗτοι, καὶ πνεῦμα ἔλαβον, καὶ σημεῖα εἰργάσαντο, καὶ μυρίους ὑπομείναντες διὰ Χριστὸν κινδύνους καὶ διωγμοὺς, τῆς χάριτος ἐξέπεσον· ἀλλ' ὅμως φησὶν, ἐὰν βούλεσθε, δύνασθε ἑαυτοὺς ἀνακτήσασθαι.

5 Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως;

Τοσαύτης ἠξιώθητε, φησὶ, δωρεᾶς διὰ τὴν πίστιν, ἢ διὰ τὸν νόμον; δῆλον ὅτι διὰ τὴν πίστιν· ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔστρεφον καὶ περιέφερον λέγοντες, ὅτι οὐκ ἔχει ἡ πίστις ἰσχὺν, τοῦ νόμου μὴ προκειμένου, δεικνὺς τὸ ἐναντίον, ὅτι τῶν ἐντολῶν προτεθεισῶν οὐδὲν ἡ πίστις ὠφελήσει λοιπόν· τότε δὲ ἰσχύει ἡ πίστις, ὅταν μὴ προτέθῃ τὰ ἀπὸ τοῦ νόμου, καὶ ὅτε φησὶν οὐ προσείχετε τῷ νόμῳ ἀλλὰ τῇ πίστει, τότε πνεῦμα ἐλάβετε καὶ σημεῖα ἐπετελέσατε· εἶτα ἐπειδὴ περὶ νόμου ὁ λόγος ἦν, καὶ ἕτερον κινεῖ τόπον ἀγωνιστικώτατον, τὸν Ἀβραὰμ εἰς μέσον εἰσά-

γων, καὶ σφόδρα εὐκαίρως καὶ μετὰ πολλῆς τῆς περιουσίας οὕτω λέγων,

6 Καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Δηλοῖ μὲν γὰρ τῆς πίστεως, φησὶν, τὴν δύναμιν, καὶ τὰ ὑφ᾽ ὑμῶν γινόμενα θαύματα· εἰ δὲ βούλεσθε, καὶ ἐκ παλαιῶν ὑμᾶς πεῖσαι δύναμαι διηγημάτων· εἰ ὁ πρὸ τῆς χάριτος, φησὶν, ἀπὸ πίστεως ἐδικαιώθη· καίτοιγε καὶ ἐν ἔργοις κομῶν, πολλῷ μᾶλλον ἡμεῖς· τί γὰρ ἐκεῖνος ἐβλάβη μὴ γενόμενος ὑπὸ νόμον; οὐδέν· ἀλλ᾽ ἤρκεσεν ἡ πίστις εἰς δικαιοσύνην αὐτῷ· ὥσπερ γὰρ τότε οὐδέπω δοθεὶς ἦν ὁ νόμος, οὕτω καὶ νῦν δοθεὶς πέπαυται· εἶτα ἐπειδὴ μέγα ἐφρόνουν τῷ ἐς Ἀβραὰμ γεγενῆσθαι, καὶ ἐδεδοίκεσαν μὴ τὸν νόμον ἀφέντες, ἀλλοτριωθῶσι τῆς ἐκείνου συγγενείας, καὶ τοῦτον πάλιν εἰς τὸ ἐναντίον περιτρέπει τὸν λόγον, καὶ λύει τὸν φόβον ὁ Παῦλος, δεικνὺς ὅτι τὴν πρὸς ἐκεῖνον ἀγχιστείαν μάλιστα ἡ πίστις ἐργάζεται· καὶ τοῦτο σαφέστερον μὲν ἐν τῇ πρὸς Ῥωμαίους κατεσκεύασεν, οὐχ ἧττον δὲ αὐτὸ καὶ ἐνταῦθα ἐργάζεται λέγων οὕτως,

ΚΕΦ. Ε.

Ὅτι καὶ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη εἰς τύπον ἡμῶν.

7 Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοι υἱοὶ εἰσὶν Ἀβραάμ.

Εἶτα καὶ αὐτὸ τοῦτο, ἀπὸ μαρτυρίας παλαιᾶς συνίστησι. "Προσιδοῦσα γὰρ," φησὶν, "ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ . . . . τῷ Ἀβραὰμ . . . . πάντα τὰ ἔθνη."

Εἰ τοίνυν οὐχ οἱ τὴν φυσικὴν ἔχοντες πρὸς αὐτὸν συγγένειαν οὗτοι εἰσὶν υἱοὶ, ἀλλ᾽ οἱ τὴν πίστιν ἐκείνου μιμησάμενοι· τοῦτο γάρ ἐστιν "ἐν σοὶ τὰ ἔθνη," δηλονότι εἰς ταύτην εἰσάγεται τὴν συγγένειαν. διὰ δὴ τοῦτο, καὶ ἕτερον δείκνυται μέγα· ἐπειδὴ γὰρ αὐτοὺς ἐθορύβει, τὸ τὸν νόμον ἀρχαιότερον εἶναι, τὴν δὲ πίστιν μετὰ τὸν νόμον, καὶ ταύτην ἀναιρεῖ τὴν ὑποψίαν αὐτῶν, δεικνὺς,

ὅτι τοῦ νόμου πρεσβυτέρα ἡ πίστις· καὶ τοῦτο δῆλον, ἀπὸ τοῦ Ἀβραάμ· πρὶν ἢ γὰρ φανῆναι τὸν νόμον, ἐκεῖνος ἐδικαιώθη· δείκνυσι δὲ ὅτι καὶ τὰ νῦν γενόμενα, κατὰ προφητείαν ἐγένετο.

8 Προϊδοῦσα γὰρ ἡ γραφὴ, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεὸς, οὐκ ἐκ τοῦ νόμου, προευηγγελίσατο τῷ Ἀβραάμ.

Τί δὲ τοῦτό ἐστιν; αὐτὸς ὁ τὸν νόμον διδοὺς, φησὶ, καὶ πρὶν ἢ τὸν νόμον δοῦναι, τοῦτο ἦν ὁρίσας· ἐκ πίστεως δικαιωθῆναι τὰ ἔθνη· καὶ οὐκ εἶπεν ἀπεκάλυψεν, ἀλλ' εὐηγγελίσατο· ἵνα μάθῃς ὅτι καὶ ὁ πατριάρχης τούτῳ τῷ τρόπῳ τῆς δικαιοσύνης ἔχαιρε, καὶ σφόδρα ἐπόθει τοῦτο ἐκβῆναι· ἐπειδὴ δὲ φόβος εἶχε καὶ αὐτοὺς ἕτερος . . . . πᾶς ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά·" καὶ τοῦτο λύει τὸ δέος ὁ σοφὸς καὶ συνετὸς σφόδρα, εἰς τὸ ἐναντίον αὐτὸ περιτρέπων καὶ δεικνὺς ὅτι οὐ μόνον εἰσὶν ἐπικατάρατοι οἱ τὸν νόμον ἀφιέντες, ἀλλὰ καὶ εὐλογημένοι· οἱ δὲ κατέχοντες, οὐ μόνον οὐκ εὐλογημένοι, ἀλλὰ καὶ ἐπικατάρατοι.

Πῶς οὖν ταῦτα δείκνυσιν; ἔδειξε μὲν γὰρ καὶ ἔμπροσθεν τοῦτο εἰπὼν, ὅτι ἡ γραφὴ εἶπε τῷ πατριάρχῃ "ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη·" τότε δὲ νόμος οὐκ ἦν ἀλλὰ πίστις· διὸ καὶ συλλογιζόμενος ἐπήγαγεν.

9 Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται, σὺν τῷ πιστῷ Ἀβραάμ.

Ἵνα δὲ μὴ τοῦτο εἰς ἀντίθεσιν λάβωσιν καὶ εἴπωσιν· εἰκότως ἀπὸ πίστεως ἠδικαιώθη, οὔπω γὰρ ἦν ὁ νόμος, σὺ δέ μοι δεῖξον μετὰ τὴν τοῦ νόμου θέσιν τὴν πίστιν δικαιοῦσαν, ἐπὶ τοῦτο ἔρχεται, καὶ πλέον ὧν ζητοῦσιν. Ἀποδείκνυσιν δὲ οὐχὶ δικαιοῦσαν μόνον τὴν πίστιν, ἀλλὰ καὶ ἐπικαταράτους τοὺς χρωμένους τῷ νόμῳ ποιοῦσαν.

ΚΕΦ. ϛ.

Ὅτι ὁ νόμος οὐ δικαιοῖ ἀλλ' ἐλέγχει.

10 Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσίν.

Ἀλλὰ τοῦτο ἀπόφασις, οὐδέπω τὴν ἀπόδειξιν ἔχουσα· τίς οὖν ἡ ἀπόδειξις; ἐξ αὐτοῦ τοῦ νόμου.

Ἐπικατάρατος γὰρ πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς
γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου τοῦ ποιῆ-
11 σαι αὐτά· ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ
Θεῷ δῆλον, ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται.

Πάντες γὰρ ἥμαρτον καὶ ὑπὸ κατάραν εἰσίν· ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ δόξῃ αὐτοὺς ἀποφαίνεσθαι. πάλιν δὲ ἀπὸ μαρτυρίας αὐτὸ συνίστησιν, ἀμφότερα ἐχούσης ἐν βραχεῖ· καὶ ὅτι νόμον οὐδεὶς ἐπλήρωσε· διὸ καὶ ἐπικατάρατοι ἦσαν, καὶ ὅτι ἡ πίστις δικαιοῖ. τίς οὖν ἡ μαρτυρία; ἀπὸ τοῦ προφήτου Ἀμβακοὺμ οὕτω λέγοντος· "ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται."

Τοῦτο γὰρ οὐ τὴν ἐκ πίστεως δείκνυσι δικαιοσύνην μόνον, ἀλλ' ὅτι καὶ διὰ νόμου σωθῆναι οὐκ ἔνι· ἐπειδὴ γάρ, φησι, νόμον ἐτήρησεν οὐδείς· ἀλλὰ πάντες ἦσαν ὑπὸ τὴν ἀρὰν, διὰ τὴν παράβασιν, ἐπενοήθη ῥαδία τίς ὁδὸς, ἡ ἀπὸ τῆς πίστεως· ὅπερ καὶ σημεῖον μέγιστόν ἐστιν, τοῦ μηδένα δυνηθῆναι δικαιωθῆναι ἐκτὸς νόμου· οὐ γὰρ εἶπεν ὁ προφήτης, ὁ δὲ δίκαιος ἐκ νόμου ζήσεται, ἀλλ' "ἐκ πίστεως."

12 Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως· ἀλλ' ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς.

Οὐ γὰρ πίστιν ἐζήτει μόνον ὁ νόμος, φησὶν, ἀλλὰ καὶ ἔργα· ἡ δὲ χάρις ἀπὸ πίστεως σώζει καὶ δικαιοῖ· ἐπειδὴ γὰρ ἠσθένει πρὸς δικαιοσύνην ὁ νόμος τὸν ἄνδρα ἀγαγεῖν, εὑρέθη φάρμακον οὐ μικρὸν, πίστις, τὸ ἀδύνατον τοῦ νόμου ποιοῦσα δυνατὸν δι' αὐτῆς.

Εἰ τοίνυν καὶ ἡ γραφὴ λέγει ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται, ἀπογιγνώσκουσα τὴν διὰ τοῦ νόμου σωτηρίαν, καὶ ὁ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη, δηλονότι τῆς πίστεως πολλὴ ἡ ἰσχύς· ἀλλ'

ὅτι μὲν ὁ μὴ ἐμμένων τῷ νόμῳ ἐπικατάρατος, καὶ ὅτι ὁ τῇ πίστει προσέχων δίκαιος, δῆλον· ὅτι δὲ οὐχ ἕστηκεν ἐκείνη ἡ κατάρα, πόθεν ἔχεις ἡμῖν ἀποδεῖξαι, φησί; ὁ μὲν γὰρ Ἀβραὰμ, πρὸ τοῦ νόμου ἦν· ἡμεῖς δὲ ἅπαξ ὑπὸ τὸν ζυγὸν γενόμενοι τῆς δουλείας, ὑπευθύνους ἑαυτοὺς κατεστήσαμεν τῇ κατάρᾳ· τὶς οὖν ὁ τὴν κατάραν λύων ἐκείνην; ἱκανὰ μὲν καὶ τὰ εἰρημένα· ὁ γὰρ δικαιωθεὶς ἅπαξ καὶ ἀποθανὼν τῷ νόμῳ καὶ ζωῆς ἐπιλαβόμενος ξένης, πῶς ἂν ὑπεύθυνος εἴη τῇ ἀρᾷ; πλὴν ἀλλ' οὐκ ἀρκεῖται τούτοις· ἀλλὰ καὶ ἑτέρως ἀγωνίζεται γράφων οὕτως.

13 Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ὑμῶν κατάρα· γέγραπται γὰρ, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου.

Καὶ μὴν ἑτέρᾳ κατάρᾳ ὁ λαὸς ὑπεύθυνος ἦν τῇ λεγούσῃ, "ἐπικατάρατος πᾶς ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν "τῷ βιβλίῳ τοῦ νόμου." οὐ γὰρ ἦν τίς ὁ πεπληρωκὼς τὸν νόμον ἅπαντα· ὁ δὲ Χριστὸς ἑτέραν κατάραν ταύτης ἠλλάξατο τὴν λέγουσαν, "ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου·" ἐπεὶ οὖν ὁ κρεμάμενος ἐπὶ ξύλου ἐπικατάρατος, καὶ ὁ τὸν νόμον παραβαίνων ἐπικατάρατος· μέλλοντα δὲ ἐκείνην τὴν κατάραν λύειν, ὑπεύθυνον οὐκ ἔδει γενέσθαι αὐτῇ, ἔδει δὲ δέξασθαι κατάραν, ἀντ' ἐκείνης ταύτην ἐδέξατο καὶ διὰ ταύτης ἐκείνην ἔλυσε. Καὶ καθάπερ τινός καταδικασθέντος ἀποθανεῖν, ἕτερος ἀνεύθυνος ἑλόμενος ἀποθανεῖν ἀπὲρ ἐκείνου, ἐξαρπάζει τῆς τιμωρίας αὐτὸν, οὕτω καὶ ὁ Χριστὸς . . . . ὑπέκειτο κατάρᾳ τῆς παραβάσεως, ἀνεδέξατο ὁ Χριστὸς ἀντ' ἐκείνης ταύτην, ἵνα λύσῃ τὴν ἐκείνων· "ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι "αὐτοῦ." ὥσπερ οὖν ἀποθανὼν τοὺς ἀποθνήσκειν μέλλοντας ἐξείλετο θανάτου, οὕτως καὶ κατάραν δεξάμενος, τῆς κατάρας ἀπήλλαξεν.

14 Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται.

Πῶς εἰς τὰ ἔθνη; "ἐν τῷ σπέρματί σου," φησὶν, "ἐνευλο-"γηθήσονται τὰ ἔθνη·" τουτέστιν ἐν τῷ Χριστῷ. εἰ δὲ περὶ Ἰουδαίων τοῦτο ἐλέγετο, πῶς ἂν ἔχοι λόγον τοὺς ὑπευθύνους ὄντας τῇ κατάρᾳ διὰ τὴν παράβασιν, τούτους ἑτέροις εὐλογίας αἰτίους

γενέσθαι; οὐδεὶς γὰρ τῶν κατηραμένων ἑτέρῳ μεταδίδωσιν εὐλογίας, ἧς αὐτὸς ἀπεστέρηται· ὅθεν δῆλον ὅτι περὶ τοῦ Χριστοῦ τὸ πᾶν εἴρηται· αὐτὸς γὰρ σπέρμα ἦν τοῦ Ἀβραάμ, καὶ δι᾽ αὐτοῦ τὰ ἔθνη εὐλόγηνται καὶ οὕτω πρόεισιν ἡ τοῦ Πνεύματος ἐπαγγελία· ὅπερ καὶ αὐτὸ δηλῶν ἔλεγεν, "ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος "λάβωμεν διὰ τῆς πίστεως·" ἐπειδὴ γὰρ οὐκ ἦν τὴν χάριν τοῦ Πνεύματος εἰς ἀκάθαρτον καὶ προσκεκρουκότα ἐλθεῖν, εὐλογοῦνται πρῶτον, τῆς κατάρας ἀφαιρεθείσης· εἶτα διὰ τῆς πίστεως δικαιωθέντες, ἐπισπῶνται τοῦ Πνεύματος τὴν χάριν· ὥστε ὁ μὲν σταυρὸς τὴν κατάραν ἔλυσεν· ἡ δὲ πίστις, τὴν δικαιοσύνην εἰσήγαγεν· ἡ δὲ δικαιοσύνη, τὴν χάριν τοῦ Πνεύματος ἐπεσπάσατο.

Ἄλλος δέ φησι, ἄλλωστε καὶ περιττὴ λοιπὸν ἡμῖν ἡ τοῦ νόμου τήρησις, φησίν· ὃ γὰρ ὠφείλετο τῷ νόμῳ χρέος τῆς φυλακῆς παρὰ τῶν ἀνθρώπων, τοῦτο ὁ Χριστὸς κατέβαλεν ὑπὲρ ἡμῶν· μετὰ γὰρ πάσης αὐτὸν τῆς ἀκριβείας πληρώσας, καὶ ὥσπέρ τινα λύτρα καταβαλὼν ὑπὲρ ἡμῶν, ἐξηγόρασέ τε ἡμᾶς τῆς ἐκεῖθεν δουλείας, καὶ τῆς ἀπὸ τοῦ νόμου κατάρας ἀπήλλαξε· πῶς καὶ τινί τρόπῳ; γενόμενος ὑπὲρ ἡμῶν κατάρα.

Τέλος τόμου τῶν εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν ἐξηγητικῶν ἐκλογῶν.

ΚΕΦ. Ζ.

Ὅτι οὐκ ἐκ νόμου, ἀλλ᾽ ἐξ ἐπαγγελίας τὰ ἀγαθά· ὁ δὲ νόμος παρασκευαστὴς δι᾽ ἐλέγχου.

15 Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω· ὅμως ἀνθρώπου προκεκυρωμένην διαθήκην, οὐδεὶς ἀθετεῖ ἢ ἐπιδιατάσσεται.

Τί ἐστι "κατ᾽ ἄνθρωπον λέγω;" ἐξ ἀνθρωπίνων παραδειγμάτων. ἐπειδὴ γὰρ καὶ ἀπὸ γραφῶν, καὶ ἀπὸ τῶν παρ᾽ αὐτοῖς γινομένων θαυμάτων, καὶ ἀφ᾽ ὧν ὁ Χριστὸς ἔπαθε, τὸν λόγον συνέστησε, καὶ ἀπὸ τοῦ πατριάρχου, καὶ εἰς τὴν κοινὴν λοιπὸν ἐμβαίνει συνήθειαν· ἔθος γὰρ αὐτῷ ἀεὶ τοῦτο ποιεῖν, ὥστε καταγλυκαίνειν τὸν λόγον καὶ εὐπαράδεκτον καὶ εὐμαθέστερον τοῖς παχυτέροις ποιεῖν. οὕτω καὶ Κορινθίοις διαλεγόμενος φησί, "Τίς

"ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; τίς "φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;" καὶ Ἑβραίοις πάλιν, "διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μήποτε "ἰσχύει ὅτε ζῇ ὁ διατιθέμενος." καὶ ὁ Θεὸς ἐν τῇ παλαιᾷ, συνεχῶς αὐτὸ ποιεῖ, οὕτω λέγων· "μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου "αὐτῆς; καὶ πάλιν, "μὴ ἐρεῖ τὸ πλάσμα τῷ κεραμεῖ τί "ποιεῖς;" τί οὖν αὐτῷ τὸ ὑπόδειγμα βούλεται; ὅτι ἡ πίστις ἀρχαιοτέρα ἦν, ὁ δὲ νόμος, νεώτερός τε καὶ πρόσκαιρος, καὶ διὰ τοῦτο δεδομένος, ἵνα προοδοποιήσῃ τῇ πίστει·" διό φησιν· "ἀδελφοὶ κατὰ ἄνθρωπον λέγω·" ἀνωτέρω ἀνοήτους εἰπὼν, ἐνταῦθα ἀδελφοὺς καλεῖ, ἐπιστύφων τε ὁμοῦ καὶ παραμυθούμενος.

Ὅμως ἀνθρώπου προκεκυρωμένην διαθήκην.

Ἐὰν ἄνθρωπος, φησὶ, διάθηται, μὴ τόλμᾳ τις ἀνατρέψαι μετὰ ταῦτα ἐλθὼν, ἢ προσθεῖναί τι· τοῦτο γάρ ἐστιν "ἐπιδιατάσσεται." οὐκοῦν πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ· καὶ πρὸς τινὰ διέθετο ὁ Θεός;

16 Τῷ Ἀβραὰμ ἐρρήθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρ-
ματι αὐτοῦ· οὐ λέγει καὶ τοῖς σπέρμασιν ὡς ἐπὶ πολλῶν,
ἀλλ' ὡς ἐφ' ἑνός· καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χρι-
17 στός· τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ
Θεοῦ εἰς Χριστόν· ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη
γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγ-
18 γελίαν. εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγε-
λίας· τῷ γὰρ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός.

Ἰδοὺ τοίνυν καὶ ὁ Θεὸς διέθετο τῷ Ἀβραὰμ διαλεγόμενος, εἰς τὰ ἔθνη ἐν τῷ σπέρματι αὐτοῦ ἥξειν τὰς εὐλογίας· πῶς οὖν ὁ νόμος ἀνατρέψαι δύναται ταύτας; ἐπειδὴ δὲ τὸ παράδειγμα ἅπαν οὐκ ἴσχυσεν ἑλκύσαι πρὸς τὸ ὑποκείμενον, καὶ διὰ τοῦτο προεῖπε, "κατὰ ἄνθρωπον λέγω," μηδὲν ἀπὸ τοῦ παραδείγματος εἰς τὴν τοῦ Θεοῦ μεγαλοπρέπειαν παραβλαβείς. σκόπει δὲ ἄνωθεν τὸ ὑπόδειγμα. ἐπηγγείλατο τῷ Ἀβραὰμ διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογεῖσθαι τὰ ἔθνη· σπέρμα δὲ αὐτοῦ κατὰ σάρκα ἐστὶν ὁ Χριστός· ἦλθε μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ὁ νόμος. εἰ τοίνυν ὁ νόμος χαρίζεται τὰς εὐλογίας καὶ τὴν ζωὴν καὶ τὴν δικαιοσύνην, ἡ ἐπαγγελία ἐκείνη ἄκυρός ἐστιν· εἶτα ἀνθρώπου μὲν

οὐδεὶς ἀκυροῖ διαθήκην, τοῦ δὲ Θεοῦ μετὰ τετρακόσια τριάκοντα ἔτη ἀκυροῦται ἡ διαθήκη; εἰ γὰρ ἐπηγγείλατο ἐκείνη, οὐκ ἐκείνη δὲ δίδωσιν, ἀλλ' ἕτερος ἀντ' ἐκείνης, ἐκβέβληται ἐκείνη· καὶ πῶς ἂν ἔχοι λόγον ταῦτα; τίνος οὖν ἕνεκεν τὸν νόμον ἔδωκε; φησὶ, τῶν παραβάσεων χάριν· οὐδὲ γὰρ οὗτός ἐστι περιττός. ὁρᾷς πῶς πάντα συνορᾷ; πῶς μυρίους κέκτηται ὀφθαλμούς; ἐπειδὴ γὰρ τὴν πίστιν ἐπῆρε καὶ πρεσβυτέραν ἔδειξεν, ἵνα μή τις νομίσῃ περιττὸν τὸν νόμον, καὶ τοῦτο διορθοῦται τὸ μέρος, δεικνὺς ὅτι οὐκ εἰκῇ, ἀλλὰ πάνυ χρησίμως ἐδόθη τῶν παραβάσεων χάριν, τουτέστιν ἵνα μὴ ἐξῇ Ἰουδαίοις ἀδεῶς ζῆν καὶ εἰς ἔσχατον ἐξολισθαίνειν κακίας, ἀλλ' ἀντὶ χαλινοῦ ὁ νόμος αὐτοῖς ἐπικείμενος ᾖ, παιδεύων, ῥυθμίζων, κωλύων παραβαίνειν, εἰ καὶ μὴ πάσας, ἀλλ' ὅμως κἂν ἐνίας τῶν ἐντολῶν. ὥστε οὐ μικρὸν τὸ κέρδος τοῦ νόμου. ἀλλ' ἄχρι τίνος; "ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα ᾧ ἐπήγγελται," περὶ Χριστοῦ λέγων. εἰ τοίνυν μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας δέδοται, περαιτέρω καὶ παρὰ καιρὸν αὐτὸν ἕλκεις.

Ἄλλος φησὶ, μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη γέγονεν ὁ νόμος, οὐχὶ τῆς ἐξόδου τῆς ἀπ' Αἰγύπτου, ἀλλὰ τῆς καταρχῆς ταύτης τῆς ἐπαγγελίας· ὥστε οἱ δοκοῦντες φιλονεικεῖν τῇ ἐκκλησίᾳ περὶ πρωτείων, ἑκατοντάσι καὶ δεκάσιν ἐτῶν εὑρίσκονται ὕστεροι μετὰ τὴν πίστιν.

(Θεόδωρος.) Ἄλλος πάλιν φησὶν, ἡ πρὸς τὸν Ἀβραὰμ φωνὴ, ἐπαγγελίας ἐστὶ φησὶν, ὁ δὲ νόμος κατορθῶσαι ἀπαιτεῖ, καὶ τότε δίδωσι τὸν μισθόν· ὥστε εἰ μὲν ἀπὸ τοῦ νόμου ταῦτα περιμένομεν, περιττὴ ἡ ἐπαγγελία· ὁ γὰρ ἡμέτερος κάματος καὶ οὐχ ἡ τοῦ Θεοῦ ἐπαγγελία, τὸν μισθὸν ἡμῖν ἀποδίδωσιν· εἰ δὲ ἡ ἐπαγγελία γεγένηται τὴν τοῦ ὑποσχομένου χάριν ἐμφαίνουσα, οὐκ ἄρα ἡ τοῦ νόμου κατόρθωσίς ἐστιν, ἀλλ' ἡ τοῦ Θεοῦ ὑπόσχεσις ἡ τὴν κοινωνίαν ἡμῖν τῆς εὐλογίας χαριζομένη· τὸ δὲ τῷ σπέρματι αὐτοῦ εἰρημένον, οὕτως ἁπλῶς εὑρίσκομεν ἐπὶ τοῦ Χριστοῦ ἀκριβῶς πληρούμενον· οὗτος γὰρ σπέρμα μὲν αὐτοῦ κατὰ φύσιν, ὡς οὖν καὶ οἱ λοιποὶ οἱ τὸ γένος ἐκεῖθεν κατάγοντες· πιστεύομεν δὲ ἐπ' αὐτόν. εἶτα καὶ τὸν Ἀβραὰμ πατέρα ἐπιγραφόμεθα, καὶ οὕτω τῆς εὐλογίας τὴν κοινωνίαν δεχόμεθα, ὥστε τὸ εἰρημένον ὡς ἐφ' ἑνὸς, δυνάμενον δὲ κατὰ κοινοῦ ὡς ἐπὶ πολλῶν νοεῖσθαι, τῷ σπέρ-

ματι αὐτοῦ εἶναι πάντας τοὺς ἐκεῖθεν τὸ γένος κατάγοντας, ἐπὶ τοῦ Χριστοῦ κυρίως ἐπ' αὐτῶν πληρούμενον τῶν πραγμάτων εὑρίσκομεν.

19 Τί οὖν ὁ νόμος; τῶν παραβάσεων χάριν προσετέθη.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Καθ' ὑπόκρισιν ἀναγνωστέον φησὶν, ἀλλὰ τοῦτο ἐρωτᾷς, τίς ἡ τοῦ νόμου χρεία; εἴπερ δὴ τὴν ἐπαγγελίαν καὶ τὴν χάριν ἔδει κρατεῖν, "τῶν παραβάσεων χάριν προσετέθη."

Ἄχρις οὗ ἔλθη τὸ σπέρμα ᾧ ἐπήγγελται.

Τοῦτο δὲ παρέγκειται· ἡ γὰρ ἀκολουθία· τί οὖν; ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη, διαταγεὶς δι' ἀγγέλου ἐν χειρὶ μεσίτου; ἵνα ᾖ διαταγεὶς, ἐπὶ τοῦ νόμου νοούμενον.

ΣΕΥΗΡΙΑΝΟΥ. Καὶ μὴν ὡς ἄλλός φησιν, ἐβάρει πλέον ὁ νόμος, καὶ διακονία θανάτου διὰ τοῦτο ὠνόμασται. πῶς οὖν τῶν παραβάσεων χάριν προσετέθη, φησίν; ἐν συντόμῳ ῥήματι τοιοῦτόν ἐστι· πρὸ νόμου, καὶ ὁ νοῦς τῶν ἀνθρώπων μετὰ τῆς σαρκὸς ἐδούλευε τῇ ἁμαρτίᾳ, καὶ ἔστεργε τὸ κακόν· δοθέντος τοῦ νόμου, ὁ μὲν νοῦς ἐπαιδεύθη, ἡ δὲ σὰρξ ἔτι κατείχετο. ἐπεὶ οὖν ὁ μὲν ἀγνοῶν τὴν ἁμαρτίαν ὅτι ἁμαρτία ἦν, τὴν ἀσέβειαν ὡς εὐσέβειαν μετιὼν καὶ σπουδαιότερον αὐτῇ προσέχει· ὁ δὲ γνοὺς ὅτι κακὸν, τοῦτο γοῦν κερδανεῖ τὸ συνειδέναι ὅτι παραβαίνει καὶ ἐπιθυμεῖ τῷ Θεῷ ὑπακοῦσαι, διὰ τοῦτο ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ἀντὶ τοῦ εἰ ἐδόθη νόμος, οὐκ ἐδόθη φησὶ κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ, ἀλλ' οὐδὲ διὰ παντὸς κρατεῖν ἐδύνατο.

ΘΕΟΔΩΡΟΣ δέ φησιν, εἰ γὰρ τοιαύτη τις δύναμις τῷ νόμῳ προσῆν, ὥστε τοὺς ὑπ' αὐτῷ πολιτευομένους καὶ δικαιοῦσθαι καὶ τῆς αἰωνίου δύνασθαι τυγχάνειν ζωῆς, ἀναιρετικὸς ἦν τῆς ἐπαγγελίας ὁ νόμος αὐτὸς, ἀντ' ἐκείνης τὴν δικαίωσιν παρέχων· νυνὶ δὲ τὸ ἐναντίον, ἀπαγορεύων μὲν τὴν ἁμαρτίαν, ἀπαλλάττειν δὲ αὐτῆς οὐκ ἰσχύων τοὺς διὰ τὴν τῆς φύσεως ἀσθένειαν καταπίπτοντας εἰς αὐτὴν, καὶ διὰ τούτου μειζόνως ἐλέγχων ἡμῶν τὸ πρὸς δικαίωσιν ἄτονον, μᾶλλον δὲ πάντῃ ἀδύνατον, ἀναγκαίως τῆς τοῦ Χριστοῦ χάριτος δεομένους δείκνυσιν ἡμᾶς.

Διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου.

Ἢ τοὺς ἱερέας ἀγγέλους καλεῖ, ἢ καὶ αὐτοὺς τοὺς ἀγγέλους ὑπηρετήσασθαί φησι τῇ νομοθεσίᾳ· μεσίτην δὲ ἐνταῦθα τὸν Χριστὸν φησὶ, δεικνὺς ὅτι πρώην καὶ τὸν νόμον αὐτὸς ἔδωκεν.

Ἄλλος φησὶ, τοῦτο λέγει, ὅτι ἡ διαταγὴ "δι' ἀγγέλων ἐν "χειρὶ μεσίτου," τουτέστι μεσιτευσάντων τῶν ἀγγέλων πρὸς τὸ δοθῆναι τὸν νόμον, ἵνα ἀκούσωμεν τὴν μὲν ἐπαγγελίαν, αὐτὸς δι' ἑαυτοῦ· τὸν δὲ νόμον οὐ δι' ἑαυτοῦ, ἀλλὰ διέταξε δι' ἀγγέλων μεσιτευόντων.

20 *Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν, ὁ δὲ Θεὸς εἷς ἐστιν.*

Τοῦ Χρυσοστόμου. Τί ἐνταῦθα ἂν εἴποιεν οἱ αἱρετικοί; εἰ γὰρ τὸ μόνος ἀληθινὸς, οὐκ ἀφίησι τὸν Υἱὸν εἶναι Θεὸν ἀληθινὸν, οὐκ ἄρα οὐδὲ Θεὸν διὰ τὸ λέγεσθαι "ὁ δὲ Θεὸς εἷς ἐστιν·" εἰ δὲ ἑνὸς λεγομένου Θεοῦ τοῦ Πατρὸς, ἔστι Θεὸς καὶ ὁ Υἱὸς, εὔδηλον ὅτι καὶ ἀληθινοῦ μόνου λεγομένου τοῦ Πατρὸς, ἀληθινὸς καὶ ὁ Υἱός· ὁ δὲ μεσίτης φησὶ, δύο τινῶν γίνεται μεσίτης. τίνος οὖν μεσίτης ἦν ὁ Χριστός; εὔδηλον ὅτι ἀνθρώπων καὶ Θεοῦ· ὁρᾷς πῶς δείκνυσιν ὅτι καὶ τὸν νόμον αὐτὸς ἔδωκεν; εἰ τοίνυν αὐτὸς ἔδωκε, Κύριος ἂν εἴη καὶ λῦσαι πάλιν.

21 *Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ.*

Εἰ γὰρ ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ αἱ ἐπαγγελίαι καὶ αἱ εὐλογίαι δέδονται, ὁ δὲ νόμος κατάραν εἰσάγει, ἄρα κατὰ τῶν εὐπαγγελιῶν τοῦ Θεοῦ. πῶς οὖν λύει τὴν ἀντίθεσιν; πρῶτον μὲν ἀπαγορεύει εἰπὼν, "μὴ γένοιτο," ἔπειτα κατασκευάζει οὕτω λέγων,

Εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη.

Εἰ ἐν αὐτῷ φησὶ τὴν ἐλπίδα τῆς ζωῆς ἔχομεν, καὶ αὐτὸς ἦν τὸ κῦρος ἔχων τῆς ἡμετέρας σωτηρίας, ἴσως καλῶς ταῦτα ἔλεγες, εἰ δὲ ἀπὸ πίστεως σώζῃ κἂν ἐπικαταράτους ποιήσῃ· οὐδὲν ἐβλάβης ἐρχομένης ἐκείνης καὶ πάντα λυούσης· εἰ δὲ διὰ τοῦτο ἐδόθη ἵνα συγκλείσῃ πάντας, τουτέστιν ἵνα ἐλέγξῃ καὶ διδάξῃ τὰ οἰκεῖα αὐτῶν πλημμελήματα, οὐ μόνον οὐ κωλύει σε τυχεῖν τῆς ἐπαγγε-

λίας, ἀλλὰ καὶ συμπράττει πρὸς τὸ τυχεῖν· τοῦτο γοῦν ἐδήλωσε λέγων,

22 Ἀλλὰ συνέκλεισεν ἡ γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν.

Ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι οὐδὲ τῶν ἁμαρτημάτων ᾐσθάνοντο τῶν οἰκείων, οἱ δὲ μὴ αἰσθανόμενοι οὐδὲ ἀφέσεως ἐπεθύμουν, ἔδωκε νόμον ἐλέγχοντα τὰ τραύματα, ἵνα ποθήσωσι τὸν ἰατρόν. εἶδες ὅτι οὐ μόνον κατὰ τῶν ἐπαγγελιῶν ἐδόθη; εἰ γὰρ μὴ νόμος ἐδόθη, πάντες ἂν εἰς κακίαν ἐξώκειλαν, καὶ οὐδεὶς ἔμελλεν Ἰουδαίων ἔσεσθαι ὁ ἀκουσόμενος τοῦ Χριστοῦ· νυνὶ δὲ δοθεὶς, ἀρετήν τε σύμμετρον παιδεύσας τοὺς προσέχοντας, καὶ πείσας εἰδέναι τὰ οἰκεῖα ἁμαρτήματα, προθυμοτέρους ἐποίησε πρὸς τὸ ζητεῖν τὸν Χριστόν. οἱ γοῦν μὴ πιστεύσαντες αὐτῷ, ἐκ τοῦ μὴ καταγνῶναι τῶν οἰκείων ἁμαρτημάτων οὐκ ἐπίστευσαν, καὶ τοῦτο δηλῶν, ἔλεγεν· "ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν "δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ "ὑπετάγησαν."

23 Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

Εἶδες πῶς σαφῶς ἅπερ εἰρήκαμεν παρέστησε; τὸ γὰρ "ἐφρουρούμεθα" καὶ "συγκεκλεισμένοι," οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ τὴν ἐκ τῶν ἐντολῶν τοῦ νόμου γενομένην ἀσφάλειαν.

(Εὐσεβίου.) *Ἕτερος δέ φησι, τὸ προηγεῖσθαι νῦν λέγω, οὐχὶ ἐπιλαθόμενος τῆς ἐπαγγελίας πρωτευούσης, ἀλλ' ὅτι καὶ Γαλάταις χρήσιμον ἐν καιρῷ, καὶ οὐ χρήσιμον εἰς τὰ ἑξῆς· τὸ οὖν πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα, τοῦ νόμου παρεντεθέντος μεταξὺ τῆς ἐπαγγελίας καὶ αὐτῆς τῆς παρουσίας τῆς πίστεως.*

Θεοδώρου. *Ἐπισημαντέον ἐκεῖνο, ὅτι τῶν κατὰ Χριστὸν ποιεῖται μὲν ἀπὸ τῶν μελλόντων ὡς εἰκὸς τὴν ἀπόδειξιν, ἐπειδὴ πᾶσα τῶν παρ' αὐτοῦ κατορθωμάτων ἡμῖν ἡ φανέρωσις ἐπὶ τῶν πραγμάτων γίνεται τότε. κάλει δὲ πίστιν μὲν, ἐπειδὴ μηδέπω*

γεγονότες ἐπὶ τῶν πραγμάτων, πιστεύομεν τέως περὶ αὐτῶν. ἐπαγγελίαν δὲ, ὡς ἂν τὴν περὶ αὐτῶν ὑπόσχεσιν ἤδη κεκομισμένων ἡμῶν· καὶ χάριν δὲ εἰκότως αὐτὰ ὀνομάζει μάλιστα, ἐπειδὴ δωρεὰ σαφής τις τοῦ Θεοῦ ἐστι τὰ διδόμενα· οὐκ ἀπὸ τῆς ἡμετέρας ἀξίας, ἀλλ' ἀπὸ τῆς αὐτοῦ φιλοτιμίας ἔχοντα τὴν ἀρχήν· ἀντιπαρεξετάζει δὲ τὸν νόμον πᾶσιν εἰκότως.

(Σευηριανου.) *Ἄλλος δέ φησι, εἰ καὶ μηδὲν ἕτερον κατώρθου ὁ νόμος, ἀλλὰ τὸ τὸν Θεὸν εἰδέναι παρεῖχε· τὸ δὲ τὸν Θεὸν εἰδέναι, ἕτοιμον ἐποίει πρὸς τὴν τῆς χάριτος ὑποδοχήν.*

24 *Ὥστε ὁ μὲν νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν.*

Τοῦ Χρυσοστόμου. *Ὁ δὲ "παιδαγωγὸς," οὐκ ἐναντιοῦται τῷ διδασκάλῳ, ἀλλὰ καὶ συμπράττει· πάσης κακίας ἀπαλλάττων τὸν νέον, καὶ μετὰ πάσης σχολῆς τὰ μαθήματα παρὰ τοῦ διδασκάλου δέχεσθαι παρασκευάζων· ἀλλ' ὅταν ἐν ἕξει γένηται, ἀφίσταται λοιπὸν ὁ παιδαγωγός· διὰ τοῦτό φησι,*

25 *Ἐλθούσης δὲ τῆς πίστεως.*

Τῆς εἰς τὸν τέλειον ἄνδρα ἀγούσης.

26 *Οὐκ ἔτι ὑπὸ παιδαγωγὸν ἐσμὲν, πάντες γὰρ υἱοὶ Θεοῦ ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ.*

Θεοδώρου. *Ἀντὶ τοῦ εἰπεῖν τέλειοι· τοῦτο γὰρ ἀκόλουθον πρὸς τὸ ὑπὸ παιδαγωγὸν τὸ υἱοὶ Θεοῦ εἰπεῖν· τῷ γὰρ Υἱῷ τοῦ Θεοῦ οὐδὲν λείπει πρὸς τελειότητα. Βαβαὶ*[g] *πόση τῆς πίστεως ἡ δύναμις; καὶ πῶς αὐτὴν ἐκκαλύπτει προϊών; πρότερον μὲν γὰρ ἔδειξεν, ὅτι υἱοὺς ἐποίει τοῦ πατριάρχου· γινώσκετε γάρ φησιν, ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοὶ Ἀβραάμ· νυνὶ δὲ ἀποφαίνει ὅτι καὶ τοῦ Θεοῦ· εἶτα λέγει καὶ τὸν τρόπον τῆς υἱοθεσίας· "Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε." καὶ τίνος ἕνεκεν οὐκ εἶπεν ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε ἐκ τοῦ Θεοῦ ἐγεννήθητε; τὸ γὰρ ἀκόλουθον τοῦ δεῖξαι υἱοὺς τοῦτο ἦν· ὅτι πολὺ φρικωδέστερον αὐτὸ τίθησιν· εἰ γὰρ ὁ Χριστὸς Υἱὸς*

[g] Hæc Chrysostomi sunt.

Θεοῦ, σὺ δὲ αὐτὸν ἐνδέδυσαι· τὸν υἱὸν ἔχων ἐν ἑαυτῷ καὶ πρὸς αὐτὸν ἀφομοιωθεὶς, εἰς μίαν συγγένειαν καὶ μίαν ἰδέαν ἤχθης.

28 Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· ἅπαντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ.

Εἰπὼν, ὅτι αὐτὸν ἐνεδύσασθε τὸν Χριστὸν, οὐδὲ ταύτῃ ἀρκεῖται τῇ λέξει· ἀλλ' ἑρμηνεύων αὐτὴν ἐνδοτέρῳ πρόεισι τῆς τοιαύτης συναφείας, καὶ φησὶν, ὅτι "πάντες εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ." τουτέστι, μίαν μορφὴν, ἕνα τύπον ἔχετε πάντες τοῦ Χριστοῦ. τί τούτων γένοιτο φρικωδέστερον τῶν ῥημάτων; ὁ Ἕλλην, καὶ Ἰουδαῖος, καὶ δοῦλος πρώην, οὐκ ἀγγέλου οὐδὲ ἀρχαγγέλου, ἀλλ' αὐτοῦ τοῦ πάντων δεσπότου τὴν μορφὴν ἔχων περιέρχεται, καὶ ἐν ἑαυτῷ δείκνυσι τὸν Χριστόν.

(Σευηριανοῦ.) Ἄλλος, οὐχ ἡ τοῦ νόμου τήρησις, φησὶ, βελτίονας ποιεῖ τοὺς πιστεύσαντας τῶν ἀπὸ τῶν ἐθνῶν τοὺς Ἰουδαίους, ἀλλ' ἡ δύναμις τοῦ βαπτίσματος τὸ Χριστὸν ἐνδύσασθαι παρέχουσα, κοινὴν ποίει τὴν χάριν πάντων ὁμοῦ, βαρβάρων, Ἑλλήνων, Ἰουδαίων, θήλεος, ἄρρενος· οὐχ ἁπλῶς δὲ παρέμιξε τὸ θῆλυ καὶ τὸ ἄρρεν· ὅσον γὰρ εἰς τὸ ῥήματι ἐζήτει πρὸς τὸ προκείμενον· ἀλλ' εἰ τὸ ἄρρεν καὶ τὸ θῆλυ διαφέρον εἰς μίαν χάριν συνάγει τὸ βάπτισμα, πόσῳ μᾶλλον Ἕλληνα καὶ Ἰουδαῖον;

(Θεόδωρος.) Ἄλλος τίς τὸ αὐτὸ ῥητὸν ὧδε λέγει· τῆς παρούσης ζωῆς ἀρχὴ μὲν τοῖς πᾶσιν ὁ Ἀδὰμ, εἷς δὲ ἄνθρωπος οἱ πάντες ἐσμὲν, τῷ λόγῳ τῆς φύσεως· πρὸς γὰρ δὴ τὸ κοινὸν ὡσπερεὶ μέλους τάξιν ὁ μαθεὶς ἡμῶν ἐπέχει· οὕτω δὴ καὶ ἐπὶ τῆς μελλούσης ζωῆς ἀρχὴ μὲν ὁ Χριστός· πάντες δὲ οἱ κοινωνοῦντες αὐτῷ τῆς ἀναστάσεως καὶ τῆς μετὰ τὴν ἀνάστασιν ἀθανασίας, ὥσπερ εἷς γινόμεθα πρὸς αὐτὸν, τῇ ὁμοιότητι τοῦ πράγματος μέλους τάξιν πρὸς τὸ κοινὸν τοῦ καθ' ἕνα ἡμῶν ἐπέχοντες· τότε τοίνυν οὔτε ἄρσεν, οὔτε θῆλυ θεωρεῖται· οὐ γάρ ἐστι γαμῆσαι ἢ γαμηθῆναι· οὔτε Ἰουδαῖος οὔτε Ἕλλην· οὐδὲ γὰρ περιτομὴ ἐν ἀθανάτῳ φύσει χώραν ἔχει, ὥστε διακριθῆναι περιτετμημένον, ἀκρόβυστον· οὔτε δοῦλος, οὔτε ἐλεύθερος· πᾶσα γὰρ ἀνωμαλία

πραγμάτων ἀνῄρηται· ἐπειδὴ τοίνυν κατὰ τύπον διὰ τοῦ βαπτίσματος ἐν ἐκείνοις γινόμεθα, τοῦτο λέγει,

Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, κατ' ἐπαγγελίαν κληρονόμοι.

Εἰ γὰρ ὑμεῖς τοῦ Χριστοῦ σῶμα διὰ τὴν ἐπὶ τοῦ βαπτίσματος ἀναγέννησιν τύπον ἔχουσαν τῆς τότε παρεσομένης ὑμῖν πρὸς αὐτὸν ὁμοιότητος, ὁ δὲ Χριστὸς τοῦ Ἀβραὰμ σπέρμα, ἀνάγκη καὶ ὑμᾶς τὸ ἐκείνου σῶμα, τούτου εἶναι σπέρμα οὗπερ δὴ κἀκεῖνος· ὅθεν εἰκότως καὶ τῆς ἐπαγγελίας κληρονόμοι. εἶδες πῶς, ὅπερ ἔμπροσθεν ἔλεγεν, ἀπέδειξε νῦν τὸ περὶ τοῦ σπέρματος, ὅτι αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ αἱ εὐλογίαι εἰσὶ δεδόμεναι.

ΚΕΦ. Η.

Ὅτι ὑπὸ κτίσιν ἦσαν οἱ ἐν νόμῳ.

1 Λέγω δὲ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν,
2 οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλ' ὑπὸ
ἐπιτρόπους καὶ οἰκονόμους ἐστὶν, ἄχρι τῆς προθεσμίας
3 τοῦ πατρός. οὕτως καὶ ἡμεῖς, ὅτι ἦμεν νήπιοι, ὑπὸ τὰ
στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλώμενοι.

Νήπιον ἐνταῦθα, οὐ τὴν ἡλικίαν φησὶν, ἀλλὰ τὴν γνώμην· δεικνὺς ὅτι ὁ Θεὸς μὲν ἐβούλετο ἐξ ἀρχῆς ταῦτα χαρίσασθαι· ἐπειδὴ δὲ ἔτι νηπιωδέστερον διεκείμεθα, ἀφῆκεν ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου εἶναι, τουτέστι, νουμηνίας καὶ σάββατα· αἱ γὰρ ἡμέραι ἀπὸ δρόμου ἡλίου καὶ σελήνης γίγνονται· εἰ τοίνυν καὶ νῦν ὑμᾶς ὑπὸ νόμον ἄγουσιν, οὐδὲν ἕτερον ποιοῦσιν, ἀλλ' ἢ καὶ ἐν τῷ χρόνῳ τῆς τελείας ἡλικίας, εἰς τοὐπίσω πάλιν ὑμᾶς ἀπάγουσιν. ὁρᾷς ὅσον ἐστὶ παρατήρησις ἡμερῶν; τὸν κύριον, τὸν οἰκοδεσπότην, τὸν πάντων κρατοῦντα, ἐν ὑπηρέτου καθίστησι τάξει.

(Θεόδωρος.) *Ἄλλος φησὶ, οὐσίᾳ μὲν ὑπέθετο τὴν ἀρετὴν ὁ Ἀπόστολος, τῇ περὶ τὸν Θεὸν ἀγάπῃ καὶ τῇ περὶ τὸν πλησίον γνωριζομένῃ· χρῆσιν δὲ αὐτῆς οὐκ εἰς δέον, τῷ τἀναντία διαπραττομένους ἀφανίζειν αὐτῆς τὴν ὑπόστασιν· ὑπὸ ἐπιτρόπους τοίνυν*

καὶ οἰκονόμους γεγόναμεν, ἵνα ἡ συνεχὴς τούτων παρατήρησις εἰς ὑπόμνησιν ἄγῃ πάντοτε ἡμᾶς τοῦ δεδωκότος Θεοῦ τοὺς νόμους· καὶ οὕτω σωφρονέστερον βιοῦντες, μὴ τὴν παραδοθεῖσαν ἡμῖν παραφανίζωμεν οὐσίαν· ἄχρις ἂν ἡ τότε ἐπιστᾶσα τελειότης, βεβαίαν καὶ ὁλοτελῆ τῆς οὐσίας παράσχῃ τὴν ἀπόλαυσιν· ἅτε δὴ καὶ φυλάττειν τότε ἀκέραιον τὴν πατρῴαν δυναμένοις κληρονομίαν.

4 Ὅτε δὲ καὶ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Τοῦ Χρυσοστόμου. *Δύο τίθησιν ἐνταῦθα αἰτίας καὶ κατορθώματα τῆς σαρκώσεως· κακῶν ἀπαλλαγὴν, καὶ ἀγαθῶν χορηγίαν· ἅπερ οὐδενὶ δυνατὸν ἦν ἢ αὐτῷ κατορθώσειν μόνῳ. τίνα δὲ ταῦτα ἦν; ἀπαλλαγῆναι τῆς ἀρᾶς τοῦ νόμου, καὶ εἰς υἱοθεσίαν ἀχθῆναι· ἵνα γὰρ τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ φησὶ, καὶ "ἵνα τὴν υἱοθεσίαν "ἀπολάβωμεν·" καλῶς εἶπεν "ἀπολάβωμεν·" δεικνὺς ὀφειλομένην· ἄνωθεν γὰρ ταῦτα ἐπήγγελτο, καθὼς καὶ αὐτὸς διὰ πολλῶν ἔδειξε, τὰς πρὸς τὸν Ἀβραὰμ ὑπὲρ τούτων ἐπαγγελίας γεγενημένας· καὶ πόθεν δῆλον ὅτι γεγόναμεν υἱοὶ φησί; εἶπε τρόπον ἕνα, ὅτι τὸν Χριστὸν ἐνεδυσάμεθα τὸν ὄντα Υἱόν· λέγει καὶ δεύτερον, ὅτι τὸ Πνεῦμα τῆς υἱοθεσίας ἐλάβομεν· οὐ γὰρ ἂν ἐδυνήθημεν καλέσαι πατέρα, εἰ μὴ πρότερον υἱοὶ κατέστημεν· εἰ τοίνυν ἀντὶ δούλων ἐλευθέρους, ἀντὶ νηπίων τελείους, ἀντὶ ἀλλοτρίων κληρονόμους ἐποίησε καὶ υἱοὺς ἡ χάρις, πῶς οὐκ ἄτοπον καὶ ἐσχάτης ἀγνωμοσύνης, ἀφεῖναι μὲν ταύτην, ὑποστρέψαι δὲ εἰς τὰ ὀπίσω;*

(Θεόδωρος.) *Ἄλλος φησὶ, ἠκολουθεῖ τότε τῇ δόσει τοῦ Πνεύματος τὰ γινόμενα θαύματα· ὅπερ ἀναμφίβολον αὐτοῖς τὴν δόσιν ὡς εἰκὸς ἐποίει τοῦ Πνεύματος· ἐντεῦθεν δὲ καὶ τὸ τῆς υἱοθεσίας μετειληφέναι ἐπίστευον· ὅθεν καὶ αὐτὸς θαρρήσας τῷ ἰσχυρῷ τῆς ἀποδείξεως, ὡς ἅτε δὴ ἀπὸ τῶν πραγμάτων εἰλημμένων τῶν καὶ παρ' αὐτοῖς ἀναμφιβόλων ἐπάγει,*

7 Ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱὸς, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ.

Οὕτως οὐδὲ μία σοι, φησὶ, πρὸς τοὺς ὑπὸ νόμον ζῶντας κοινωνία λοιπόν.

8 Ἀλλὰ τότε οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς φύσει
9 μὴ οὖσι θεοῖς· νῦν δὲ γνόντες Θεὸν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε,

Ἐνταῦθα πρὸς τοὺς ἐξ ἐθνῶν πιστεύσαντας ἀποτεινόμενος φησὶ, ὅτι καὶ εἰδωλολατρεία τὸ τοιοῦτόν ἐστιν, ἡ τῆς τῶν ἡμερῶν παρατηρήσεως φυλακή· καὶ ὅτι μείζονα φέρει τὴν κόλασιν. νῦν δὲ καὶ Θεοὺς οὐ φύσει τὰ στοιχεῖα ἐκάλεσε, ταῦτα αὐτὰ κατασκευάσαι βουλόμενος καὶ εἰς μείζονα ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τότε μὲν ἐσκοτισμένοι καὶ ἐν πλάνῃ διάγοντες χαμαὶ ἐσύρεσθε· νῦν δὲ ὅτε ἔγνωτε Θεὸν, μᾶλλον δὲ ὅτε ἐγνώσθητε παρ' αὐτοῦ, πῶς οὐ μείζονα καὶ χαλεπωτέραν ἐπισπάσεσθε κόλασιν, μετὰ τοσαύτην ἐπιμέλειαν τὰ αὐτὰ νοσοῦντες πάλιν; Οὐδὲ γὰρ ὑμεῖς καμόντες εὕρετε τὸν Θεὸν, ἀλλ' ὑμεῖς μὲν ἐν τῇ πλάνῃ διετρίβετε, αὐτὸς δὲ ὑμᾶς ἐπεσπάσατο· ἀσθενῆ δὲ στοιχεῖα καλεῖ καὶ πτωχὰ, τῷ μὴ δὲ μίαν δυνάμιν ἔχειν εἰς τὰ προκείμενα ἀγαθά.

(Σευηριανοῦ.) *Ἄλλος φησὶ, νῦν βούλεται δεῖξαι, ὅτι μετὰ τὸ τὴν χάριν ἐλθεῖν, κἂν δοκῇ τις κατὰ νόμον σάββατον τηρεῖν καὶ νεομηνίας καὶ ἑορτὰς, ὥσπερ εἰδωλολατρεῖ ταῖς στοιχείοις οἷς ἐθρήσκευεν ἐθνικὸς ὢν, ἄλλως δουλεύων· καὶ οὐ νόμον τηρεῖ, πέπαυται γάρ. πτωχὰ δὲ στοιχεῖα εἰπὼν, οὐ κατηγόρησεν ὡς πονηρῶν, ἀλλ' ὡς πλουτίζειν μὴ δυναμένων καὶ ἀρκεῖν πρὸς εὐσέβειαν.*

(Εὐσέβιος.) *Ἄλλος πάλιν ὧδε φησὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, τὸ γνήσιον τηρῶν· μετ' ἄρθρου εἶπε τὸν υἱὸν αὐτοῦ· τὸν ὄντα υἱὸν, γενόμενον ἐκ γυναικός. ἐπειδὴ γὰρ γυνὴ προεξένηκεν ἁμαρτίαν, ἐκ γυναικὸς ὁ σώζων· ἐπειδὴ δὲ ὁ νόμος οὐκ ἐδόθη δυνάμενος καὶ ζωοποιῆσαι, γέγονε καὶ ὑπὸ νόμον ὁ ἐλθὼν ἰάσασθαι· στοιχεῖα δέ φησι, τὰ νόμιμα. εἰ δὲ ζητεῖς ἑρμηνείαν παρ' αὐτοῦ, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ· ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν,*

τὴν ἀποκειμένην ἤδη ταῖς ἐπαγγελίαις· κατεχομένην δὲ, ἐν τῷ μεταξὺ εἰσαχθέντος τοῦ νόμου καὶ τῶν χρόνων μὴ ἀποπληρωθέντων· πληρωθέντος δὲ τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, ᾧ ἀπέκειτο ταῦτα· εἰ οὖν καλεῖς ὁ Πατὴρ, δηλονότι γέγονας υἱὸς, καὶ μαρτυρεῖ σοι τὸ Πνεῦμα· "εἰ δὲ υἱὸς, καὶ κληρονόμος Θεοῦ διὰ Χριστοῦ." τουτέστιν, ἐκ χαρίσματος οὐκ ἐκ φύσεως.

Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ὦ Γαλάται, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς.

Τοῖς εἰδώλοις· πῶς πάλιν ἐπεστρέψατε ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα; πῶς δυνατόν ἐστι τὸν Ἕλληνα ὄντα, τὸν Γαλάτην ἐπιστρέψαι ἐπὶ τὰ στοιχεῖα τοῦ νόμου ἐξ ὧν οὐδὲ ἐξῆλθεν; πρῶτον μάθωμεν τίνα λέγει πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε· ἐάν τις προσχῇ ἄνωθεν τῷ λέγοντι, "ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν, ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσι θεοῖς," δηλονότι περὶ Ἑλληνισμοῦ ἀκούει· "μᾶλλον δὲ γνωσθέντες ὑπ' αὐτοῦ, πῶς πάλιν ἐπιστρέφετε ἐπὶ τὰ ἀσθενῆ;" πάλιν νομίζει τις, ὅτι εἰς εἰδωλολατρείαν ἐγκαλεῖται. τὸ γὰρ πάλιν ἐπιστρέψαι, ἀναδραμεῖν ἐστιν ἐπ' ἐκεῖνα ἀφ' ὧν τις ἐξῆλθεν· οὐκοῦν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ, στοιχεῖα, κατὰ ταύτην τὴν ἀκολουθίαν, Ἑλληνικοῦ νομίζεται· εἴδωμεν τί λέγει τὰ ἑξῆς· "οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε·" ἑρμήνευσε τί ἐστι τὸ "ἐπιστρέφετε·" τὸ "οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε."

10 **Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς· φόβουμαι ὑμᾶς μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς.**

Εἰ ἀπὸ Ἑλληνισμοῦ ἤρξαντο, πῶς ἔρχονται ἐπὶ Ἰουδαϊσμόν; ἀλλὰ τὰ δύο ταῦτα γέγονεν εἰς τοὺς Γαλάτας· καὶ πρὸς τὰ δύο ταῦτα μεταχειρίζεται τὰ φάρμακα· ἔστω φησίν· ἦτε ἀγνοοῦντες Θεόν· νῦν δὲ γνόντες αὐτὸν, μᾶλλον δὲ γνωθέντες ὑπ' αὐτοῦ, πῶς πάλιν ἐπιστρέφετε ἐπὶ νόμον, ὃν οὔτε ἔσχον ὅσοι ἔσχον; καὶ συνίστατο λοιπὸν ὁ νόμος· οὕτως καθὼς λέγει καὶ περὶ Ἑλληνισμοῦ αὐτῶν τοῦ ποτὲ, καὶ περὶ ἀναδρομῆς τῶν Ἰουδαϊζόντων ἐπὶ τὸν νόμον.

(Χρυσοστόμου.) Ἄλλος φησὶ, ἐκ τούτων δῆλον, ὅτι οὐ μόνον αὐτοῖς περιτομὴν ἐκήρυττον ἐκεῖνοι, ἀλλὰ καὶ τὰς ἑορτὰς καὶ νουμηνίας· "φόβουμαι ὑμᾶς, μήπως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς·" ὡσανεὶ ἔλεγεν, ἀναμνήσθητέ μου τῶν κόπων, τῶν πόνων τῶν εἰς ὑμᾶς· μὴ κενώσητέ μου τοὺς τοσούτους ἱδρῶτας· εἰπὼν δὲ "φό- "βουμαι" καὶ τὸ "μήπως" προσθεὶς, καὶ εἰς ἀγωνίαν αὐτοὺς ἐνέκαλε, καὶ εἰς ἐλπίδας χρηστάς· οὐ γὰρ εἶπεν εἰκῇ ἐκοπίασα, ἀλλὰ μήπως· κύριοι γὰρ ὑμεῖς τὸ πᾶν διορθῶσαι, καὶ εἰς τὴν προτέραν ἐπανελθεῖν γαλήνην· εἶτα ὥσπερ χειμαζομένοις χεῖρα ὀρέγων, ἑαυτὸν εἰς μέσον ἄγει λέγων,

12 Γίνεσθε ὡς ἐγώ· ὅτι κἀγὼ ὡς ὑμεῖς.

Ταῦτα πρὸς τοὺς ἐξ Ἰουδαίων· κἀντεῦθεν πείθων αὐτοὺς ἀποστῆναι τῶν παλαιῶν· εἰ γὰρ καὶ μηδένα ἕτερον ἔχετε ὑπόδειγμα, ἤρκει εἰς ἐμὲ μόνον ἰδεῖν ταύτης ἕνεκεν τῆς μεταβολῆς, καὶ θαρρῆσαι ῥᾳδίως· ἴστε γὰρ σαφῶς φησὶ, πῶς μεθ' ὑπερβολῆς πολλῆς ἀντειχόμην τοῦ Ἰουδαϊσμοῦ, καὶ πῶς μετὰ μείζονος σφοδρότητος αὐτὸν εἴασα μετὰ ταῦτα· καὶ καλῶς αὐτὸ τέθεικεν ὕστερον. οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων, κἂν μυρίους εὕρωσι λογισμοὺς καὶ δικαίους, ἀπὸ τοῦ ὁμογενοῦς μᾶλλον ἐφέλκονται· καὶ ὅταν ἕτερον ἴδωσι τὰ αὐτὰ πράττοντα, μᾶλλον ἔχονται τῶν αὐτῶν.

(Εὐσέβιος.) Ἄλλος φησὶ, καὶ μὴν οὔτε σὺ ἦς Ἕλλην, οὔτε οὗτοι Ἰουδαῖοι· ἀλλὰ ἐπειδὴ Ἰουδάϊζον, καὶ αὐτὸς ἀπὸ Ἰουδαϊσμοῦ μετῆλθε, λέγει,

Ἀδελφοὶ δέομαι ὑμῶν.

Ὁ ἀλγῶν δέεται, καὶ ὁ πονῶν παρακαλεῖ· ἀδελφοὺς δὲ καλεῖ, τῇ οἰκειότητι τῆς προσηγορίας ἐκβάλλων τὴν ὑπόνοιαν τὴν κατὰ τὴν ἐπιβουλήν· εἰ γὰρ ἄλλα μὲν ἐφρόνει, ἄλλα δὲ παρ' αὐτοῖς ἔλεγεν, ἐπίβουλος ἦν καὶ ἐχθρός.

Σευηριανός. Μὴ γὰρ ἄλλην τινὰ ἔσχον λύπην πρὸς ὑμᾶς καὶ διὰ τοῦτο ἐπιπλήττω.

Χρυσοστόμου. Καὶ δηλῶν, ὅτι οὐ μίσους οὐδὲ ἔχθρας ἦν τὰ εἰρημένα, ἀναμιμνήσκει τῆς ἀγάπης αὐτοὺς, ἣν ἐνεδείξατο περὶ αὐτὸν, καὶ μετ' ἐγκωμίων τὴν ἀπολογίαν τίθησι· διὸ φησὶ,

13 Δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε· οἴδατε δὲ, ὅτι δι'

14 *ἀσθένειαν τῆς σαρκός μου, εὐαγγελισάμην ὑμῖν καὶ τὸν*
πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε.

Οὐ μόνον οὐκ ἠδικήσατέ με φησὶν, ἀλλὰ καὶ πολλὴν καὶ ἄφατον ἐπεδείξασθε περὶ ἐμὲ εὔνοιαν· καὶ οὐχ οἷόν τε τὸν τοσαύτης ἀπολαύσαντα θεραπείας ἐκ κακονοίας ταῦτα λέγειν· εἰ τοίνυν μὴ δι' ἐπάχθειαν ταῦτα λέγω, λείπεται διὰ φιλοσοφίαν καὶ κηδεμονίαν· ἠλαυνόμην γάρ φησιν· ἐμαστιγούμην· μυρίους θανάτους ὑπέμενον κηρύττων ὑμῖν, καὶ οὐδὲ οὕτω κατεφρονήσατέ μου· τοῦτο γάρ ἐστι "τὸ πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενή- "σατε οὐδὲ διεπτύσατε·" ἀλλ' ὅμως, οὐδὲν ὑμᾶς τούτων ἐσκανδάλισε φησίν· οὐδὲ διεπτύσατε τὰ πάθη καὶ τοὺς διωγμούς· ἀσθένειαν γὰρ καὶ πειρασ . . . . καλεῖ.

Ἄλλην γραφὴν παρέθετο Εὐσέβιος ὁ Ἐμίσης, ἔχουσαν οὕτως, "Καὶ τὸν πειρασμὸν ὑμῶν τὸν ἐν τῇ σαρκί μου, οὐκ ἐξουθενή- "σατε·" καὶ φησίν· ἐγὼ ταῦτα ὑπέμενον, καὶ ὑμεῖς ἐπειράζεσθε δοκιμαζόμενοι, εἴγε προσίεσθέ με καὶ τὸν δι' ἐμοῦ κηρυττόμενον λόγον, ἐν τούτοις με θεωροῦντες τοῖς κινδύνοις· τὰ οὖν ἐμὰ πάθη, καὶ οἱ διωγμοὶ, ὦ Γαλάται, ὑμέτερος ἦν πειρασμός.

Ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με.

Χρυσοστόμου. Πῶς οὖν οὐκ ἄτοπον, διωκόμενον μὲν καὶ ἐλαυνόμενον ὡς ἄγγελον Θεοῦ δέχεσθαι, παραινοῦντα δὲ τὰ δέοντα μὴ δέχεσθαι;

15 *Τίς οὖν ὁ μακαρισμὸς ὑμῶν; μαρτυρῶ γὰρ ὑμῖν, ὅτι*
εἰ δυνατὸν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν, ἐδώ-
16 *κατέ μοι· ὥστε ἐχθρὸς ὑμῶν γέγονα, ἀληθεύων ὑμῖν.*

Τίς ὑμᾶς φησὶν, ἐξαπάτησε καὶ ἔπεισεν ἑτέρως διατεθῆναι πρὸς ὑμᾶς; οὐχ ὑμεῖς ἐστὲ οἱ περιέποντες καὶ θεραπεύοντες, καὶ τῶν ὀφθαλμῶν τιμιώτερον ἄγοντες; τί τοίνυν γέγονε; πόθεν ἡ ἔχθρα; πόθεν ἡ ὑποψία; ὅτι τἀληθῆ πρὸς ὑμᾶς εἶπον; διὰ τοῦτο μὲν οὖν μειζόνως ἐχρῆν τιμᾶν καὶ θεραπεύειν· ἐγὼ γάρ φησι, οὐκ οἶδα ἄλλην αἰτίαν, ἢ τὸ τἀληθῆ λέγειν ὑμῖν. καὶ ὅρα μεθ' ὅσης ἀπολογεῖται ταπεινοφροσύνης· οὐ γὰρ ἀφ' ὧν περὶ αὐτοὺς ἐπεδείξατο, ἀλλ' ἀφ' ὧν αὐτοὶ περὶ αὐτὸν, δείκνυσιν ἀδύνατον εἶναι ἐκ κακονοίας ταῦτα λέγεσθαι· οὐδὲ γὰρ εἶπεν οὕτως· καὶ πῶς

ἐγχωρεῖ τὸν μαστιζόμενον, τὸν ἐλαυνόμενον, τὸν μυρία πάσχοντα δι' ὑμᾶς, νῦν ἐπιβουλεύειν ὑμῖν; ἀλλ' ἀφ' ὧν εἶχον ἐναβρύνεσθαι ἐκεῖνοι, ἀπὸ τούτων συλλογίζεται λέγων, πῶς ἐγχωρεῖ τὸν τιμηθέντα παρ' ὑμῶν, τὸν ὡς ἄγγελον δεχθέντα, τοῖς ἐναντίοις ἀμείψασθαι;

Θεόδωρος. Τὸ οὖν "τίς" ἐνταῦθα, ἀντὶ τοῦ ποῦ ὁ μακαρισμός; οἴχεται, ἀπώλετο· καλῶς οὐκ ἀποφηνάμενος, ἀλλὰ δι' ἐρωτήσεως ἐνδειξάμενος.

17 Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε.

Τοῦ Χρυσοστόμου. Ἔστι ζῆλος καλὸς, ὅταν τις οὕτως ζηλοῖ, ὥστε μιμήσασθαι τὴν ἀρετήν· ἔστι καὶ ζῆλος πονηρὸς, ὅταν τις οὕτως ζηλοῖ, ὥστε ἐκκαλεῖν τῆς ἀρετῆς τὸν κατορθοῦντα· ὃ δὴ καὶ οὗτοι νῦν ἐπιχειροῦσι· τῆς μὲν τελείας γνώσεως ἐκκαλεῖν θέλοντες, εἰς δὲ τὴν ἠκρωτηριασμένην καὶ νόθον ἀγαγεῖν· δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα αὐτοὶ μὲν ἐν τάξει κάθηνται διδασκάλων, ὑμᾶς δὲ τοὺς ὑψηλοτέρους αὐτῶν ὄντας, ἐν τάξει καταστήσωσι μαθητῶν· τοῦτο γὰρ ἐδήλωσεν εἰπὼν, "ἵνα αὐτοὺς ζηλοῦτε·" ἐγὼ δὲ, τοὐναντίον βούλομαι φησὶν, ὑμᾶς αὐτῶν κανόνα καὶ ὑπόδειγμα γίνεσθαι τῶν τελειοτέρων· ὃ δὴ καὶ ἐγένετο, ὅτε πρὸς ὑμᾶς ἤμην· διὸ καὶ ἐπάγει λέγων,

18 Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς.

Ἐνταῦθα γὰρ αἰνίττεται, ὅτι ἡ . . . . τοῦτό ἐστι, τὸ μὴ πάροντος τοῦ διδασκάλου μόνον, τοὺς μαθητὰς τὴν δέουσαν γνώμην ἔχειν, ἀλλὰ καὶ ἀπόντος.

Ἐπειδὴ δὲ ἐκεῖνοι, οὐδέπω πρὸς τοῦτο ἦσαν τελειότητος ἀφιγμένοι, πάντα ποιεῖ ὥστε εἰς τοῦτο αὐτοὺς ἐμβιβάσαι.

(Σευηριανός) .Ἄλλος δέ φησι εἰς τὸ "τίς οὖν ὁ μακαρισμός;" ἀντὶ τοῦ οὐδείς· ἢ οὕτως· τὸ τηρεῖν νόμον, ἢ τὸ πίστει ζῆν· καὶ ἐπειδὴ εἶπεν ὅτι ἐκεῖνοι θέλουσιν οὐχὶ ὑμᾶς ζηλοῦν, ἵνα τὸ τέλειον αὐτοὶ ἔχωσι τῆς πίστεως, μὴ τηροῦντες νόμον, ἀλλ' αὐτοὺς ὑμᾶς ζηλοῦν, ἐπήγαγεν, ὅτι ταῦτα λέγω οὐ φθονῶν αὐτοῖς, ὄφελον γὰρ κακεῖνοι τέλειοι ἦσαν τῇ πίστει κεχρημένοι, καὶ ἀκώλυτον ἦν

αὐτοὺς ζηλοῦσθαι καὶ μιμεῖσθαι ἡμᾶς· καὶ ὑμεῖς οὖν τοιαῦτα πράττετε, ἃ καὶ ζηλωτοὺς ὑμᾶς ποιεῖ· ἵνα πάντες ὑμᾶς μιμῶνται, καὶ μὴ ὅταν ἔλθω αἰδεσθέντες με, τοιοῦτοι γίνεσθε, ἀλλὰ καὶ ἐμοῦ μὴ παρόντος ἑαυτοὺς διορθοῦσθε.

19 Παιδία μου οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν.

Τοῦ Χρυσοστόμου. *Μητέρα μιμεῖται περιτρέμουσαν τοῖς παιδίοις· εἶδες ἀθυμίαν Ἀποστόλῳ πρέπουσαν; διεφθείρατε φησὶ, τὴν εἰκόνα· ἀπωλέσατε τὴν συγγένειαν· τὴν μορφὴν ἠλλοιώσατε· ἀναγεννήσεως ἑτέρας ὑμῖν δεῖ καὶ διαπλάσεως· ἀλλ' ὅμως ἐπεὶ τέκνα καλῶ τὰ ἀμβλωθρίδια, τὰ ἐκτρώματα· καὶ τοῦτο μὲν οὐ λέγει, ἑτέρως δέ· φείδεται γὰρ καὶ οὐ βούλεται πλῆξαι, οὐδὲ τραύματα ἐπιθεῖναι τραύμασιν· ἀλλ' ὥσπερ οἱ σοφοὶ τῶν ἰατρῶν τοὺς εἰς μακρὰν καταπεσόντας νόσον οὐχ ὑφ' ἓν θεραπεύουσιν, ἀλλὰ διαλιμπάνουσιν, ὥστε μὴ ὀλιγοψυχοῦντας ἀπολέσθαι, οὕτως καὶ ὁ μακάριος οὗτος· καὶ γὰρ αἱ ὠδῖνες αὗται τῶν σωματικῶν δριμύτεραι· ὅσῳ καὶ φιλοστοργία μείζων· καὶ τὸ ἁμαρτηθὲν, οὐ τὸ τυχὸν ἦν.*

Θεόδωρος. *Τὸ δὲ πάλιν, ὥστε τῶν παλαιῶν ὠδίνων ἀγαγεῖν εἰς μνήμην· τὸ δὲ "ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν," ἐπίτασιν ἔχει τοῦ πάθους, οὐδὲ γὰρ εἰδότος ἐστι ποῦ ποτε στήσεται αὐτῷ τὰ τῶν ὠδινῶν.*

20 Ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου.

Χρυσοστόμου. *Οὐκ ἀρκεῖται τοῖς ῥήμασιν, ἀλλ' ἐπιζητεῖ καὶ τὴν παρουσίαν· τοιοῦτον γὰρ ἡ ἀγάπη· τίνος δὲ ἕνεκεν ζητεῖ τὴν παρουσίαν; ὥστε "ἀλλάξαι τὴν φωνήν μου" φησίν· ὀλοφυρμὸν κινῆσαι καὶ δάκρυα, καὶ πάντας εἰς θρῆνον ἐπισπάσασθαι· διὰ γὰρ ἐπιστολῆς, οὐκ ἦν δάκρυα δεῖξαι οὐδὲ ὀλολυγμόν· διὸ καίεται τὴν παρουσίαν ζητῶν.*

(Εὐσέβιος.) *Ἄλλος φησὶν, ἐπειδὴ ἐτύγχανε δεδεμένος καὶ κατεχόμενος, φησὶ, τὸ "ἤθελον ἐλθεῖν πρὸς ὑμᾶς καὶ ἀλλάξαι "τὴν φωνήν μου·" αὐτὰ ταῦτα νῦν ὑμῖν κηρύττειν, ἃ οἱ ταράττοντες λέγουσί με κηρύττειν ἀλλαχοῦ· καὶ ὅτι δεῖ περιτέμνεσθαι*

καὶ τὰ νόμιμα τηρεῖν· ἆρα οὐκ ἂν αὐτοὶ ὑμεῖς οἱ τότε μὲν παρ' ἐμοῦ ἐκεῖνα δεξάμενοι, νῦν δὲ τὰ ἐναντία ἀκούοντες σκηνὴν καὶ παίγνιον ἐνομίσατε τὰ κατ' ἐμέ· θαυμάζω γὰρ εἰ ἐκεῖνα ἀκούσαντες παρ' ἐμοῦ, ὑποπτεύετέ με ἄλλα ἔχειν ἐν τῇ διανοίᾳ, ἄλλα δὲ τοῖς οὕτω με τιμήσασι κεκηρυχέναι.

Ὅτι ἀποροῦμαι ἐν ὑμῖν.

Οὐκ ἔχω γάρ φησι, τί εἴπω· οὐκ ἔχω τί λογίσομαι πόθεν οἱ πρὸς αὐτὴν ἀναβάντες τοῦ οὐρανοῦ τὴν κορυφὴν, καὶ διὰ τῶν κινδύνων οὓς ὑπεμείνατε ὑπὲρ τῆς πίστεως, καὶ διὰ τῶν σημείων ὧν ἐπεδείξασθε διὰ τῆς πίστεως, νῦν ἄθροον οὕτως εἰς τοσαύτην εὐτέλειαν κατηνέχθητε ὡς εἰς περιτομὴν καὶ σάββατα σύρεσθαι, καὶ τῶν Ἰουδαΐζειν ἀναγκαζόντων ἐκκρέμασθαι. ἐπειδὴ οὖν ὠλοφύρατο, καὶ ἐμάλαξεν αὐτῶν τὴν διάνοιαν, καὶ ἐπεσπάσατο μειζόνως, πάλιν εἰς τοὺς ἀγῶνας ἐμβαίνει, κεφάλαιον τιθεὶς μεῖζον· καὶ δεικνὺς ὅτι αὐτὸς ὁ νόμος οὐ βούλεται ἑαυτὸν φυλάττεσθαι· τότε μὲν οὖν ἀπὸ τοῦ Ἀβραὰμ τὸ παράδειγμα εἰσήγαγε· νῦν δὲ αὐτὸν εἰσάγει τὸν νόμον παραινοῦντα μὴ φυλάττειν αὐτὸν ἀλλ' ἀναχωρεῖν· ὅπερ ἦν ἰσχυρότατον.

Θεόδωρος. Καλὴ δὲ καὶ ἡ πρὸς ἐκείνους ἀποστροφὴ τῶν λόγων· διὰ γὰρ πάντων φαίνεται ὁ Ἀπόστολος ὑπὸ τῆς τῶν γεγονότων ὀργῆς συνεχεῖς τὰς μεταβολὰς δεχόμενος, καὶ τὰ μὲν πρὸς τούτους ἀγανακτῶν, τὰ δὲ πρὸς ἐκείνους, τὸ δὲ καὶ ἀλγῶν ὡς ἐπὶ τέκνοις ἀπολωλόσι· καὶ ὅλως ἀκριβῶς τίς σκοπούμενος, πολλὴν ἴδοι ἂν ἐν τοῖς γεγραμμένοις τῶν παθῶν τὴν ἐναλλαγήν.

ΚΕΦ. Θ.

Ὅτι ἐν τῇ ἐλευθέρᾳ γυναικὶ τοῦ Ἀβραὰμ καὶ τῷ γνησίῳ παιδὶ ὑποτυπωθέντας, οὐ χρὴ δουλοῦσθαι νόμῳ.

21 Λέγετέ μοι ὑμεῖς οἱ ὑπὸ νόμου θέλοντες εἶναι.

Χρυσοστόμου. Καλῶς εἶπεν "οἱ θέλοντες·" οὐ γὰρ τῆς τῶν πραγμάτων ἀκολουθίας, ἀλλὰ τῆς ἐκείνων ἀκαίρου φιλονεικίας τὸ πρᾶγμα ἦν· νόμον δὲ ἐνταῦθα, τὸ βιβλίον τῆς κτίσεως καλεῖ· ὅπερ πολλάκις ποιεῖ, τὴν παλαιὰν πᾶσαν οὕτως ὀνομάζων. "ὅτι "Ἀβραὰμ, δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ

"τῆς ἐλευθέρας·" πάλιν ἐπὶ τὸν Ἀβραὰμ ἄνεισιν, ἐπειδὴ πολλὴ παρὰ τοῖς Ἰουδαίοις τοῦ πατριάρχου ἦν ἡ δόξα· ἣν δείκνυσιν, ὅτι ἐκεῖθεν οἱ τύποι τὴν ἀρχὴν ἔλαβον, καὶ τὰ παρόντα ἐν αὐτῷ προεζωγραφεῖτο· καὶ πρῶτον δείξας υἱοὺς ὄντας τοῦ Ἀβραάμ· ἐπειδὴ οὐ τῆς αὐτῆς ἀξίας ἦσαν υἱοὶ τοῦ πατριάρχου· ἀλλ' ὁ μὲν ἐκ τῆς δούλης, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, δείκνυσιν ὅτι οὐ μόνον υἱοὶ, ἀλλὰ καὶ οὕτως υἱοὶ, ὡς ὁ ἐλεύθερος καὶ εὐγενής· τοσαύτη τῆς πίστεως ἡ δύναμις.

23 Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, κατ' ἐπαγγελίαν.

Ἐπειδὴ ἔλεγεν ὅτι ἡ πίστις ἡμᾶς συνάπτει τῷ Ἀβραὰμ, καὶ ἐδόκει τοῖς ἀκούουσιν ἀπίθανον εἶναι, εἰ τοὺς μὴ γενομένους ἐξ ἐκείνου τούτους φησὶ υἱοὺς εἶναι ἐκείνου, δείκνυσιν ὅτι τὸ παράδοξον τοῦτο, ἄνωθεν γέγονεν.

Ὁ γὰρ Ἰσαὰκ οὐ κατὰ φύσεως ἀκολουθίαν, οὐδὲ κατὰ σαρκὸς δύναμιν γενόμενος, καὶ υἱὸς καὶ γνήσιος ἦν· ἀπὸ νεκρῶν σωμάτων φὺς καὶ ἀπὸ τῆς μήτρας ἐκείνης· οὐ γὰρ ἡ σὰρξ τὴν κύησιν, οὐδὲ τὸ σπέρμα τὸν τόκον εἰργάσατο, ἀλλ' ὁ τοῦ Θεοῦ λόγος αὐτὸν ἔπλασεν· ἐπὶ δὲ τοῦ δούλου οὐχ οὕτως, ἀλλ' ἐκεῖνος τοῖς τῆς φύσεως θεσμοῖς καὶ τῇ τοῦ γάμου συνηθείᾳ τίκτεται· ἀλλ' ὅμως ὁ μὴ κατὰ σάρκα, τοῦ κατὰ σάρκα γεννηθέντος τιμιώτερος ἦν. μὴ θορυβείτω τοίνυν ὑμᾶς τὸ κατὰ σάρκα γεγεννῆσθαι· διὰ γὰρ τοῦτο μάλιστα αὐτοῦ συγγενεῖς ὑμεῖς, ὅτι οὐ κατὰ σάρκα ἐγεννήθητε· θαυμαστότερος γὰρ ὁ τόκος ὁ μὴ κατὰ σάρκα, καὶ πνευματικώτερος· καὶ δῆλον ἐκ τῶν ἄνωθεν τεχθέντων· ἐτέχθη κατὰ σάρκα ὁ Ἰσμαὴλ, ἀλλὰ δοῦλος ἦν· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐξεβάλλετο τῆς πατρῴας οἰκίας· ὁ δὲ κατ' ἐπαγγελίαν τεχθεὶς ὁ Ἰσαὰκ, ἅτε υἱὸς ὢν γνήσιος καὶ ἐλεύθερος, κύριος πάντων ἦν.

24 Ἅτινά ἐστιν ἀλληγορούμενα.

Καταχρηστικῶς τὸν τύπον ἀλληγορίαν ἐκάλεσεν· ὃ δὲ λέγει τοῦτό ἐστιν· ἡ μὲν ἱστορία αὕτη· οὐ τοῦτο δὲ μόνον παραδηλοῖ ὅπερ φαίνεται, ἀλλὰ καὶ ἄλλα τινὰ ἀναγορεύει, διὸ καὶ ἀλληγορία κέκληται· τί δὲ ἀνηγόρευεν ἕτερον ἢ τὰ παρόντα πάντα;

(Θεόδωρος.) Καὶ ἄλλος δὲ ἀλληγορίαν, φησὶν, ἐκάλεσε, τὴν ἐκ παραθέσεως τῶν ἤδη γεγονότων πρὸς τὰ παρόντα σύγκρισιν· ὥσπερ γάρ, φησιν, ὁ Ἰσμαὴλ κατὰ σάρκα γεγέννηται, οὕτως καὶ ἐνταῦθα ὁ νόμος τοὺς ὑπ' αὐτὸν ἐβούλετο πολιτεύεσθαι καὶ τὴν ἐκεῖθεν δικαίωσιν δέχεσθαι· καὶ ὥσπερ ὁ Ἰσαὰκ κατὰ χάριν γεγέννηται· τοῦτο γὰρ ἡ ἐπαγγελία τῆς ἀκολουθίας τοῦτο μὴ βουλομένης, οὕτως καὶ τῶν κατὰ Χριστὸν ὁ σκοπὸς οὗτος ἦν καὶ τὸ τέλος· λυθῆναι μὲν τὸν θάνατον, ἀναστάντας δὲ ἅπαντας τοὺς πώποτε γεγονότας ἀνθρώπους, ἐν ἀθανάτῳ διάγειν τῇ φύσει, μηδαμῶς ἁμαρτεῖν ἐπιδεχομένους ἔτι, διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἔτι τότε χάριν τοῦ πνεύματος. ἔστι δὲ ἀκολουθία μὲν γινομένη φύσεως, ἡ εἰς τόνδε τὸν βίον τῶν τικτομένων πάροδος· ἐφ' οὗ τὴν κατὰ νόμον πολιτείαν χώραν ἔχειν συμβέβηκε· χάριτος δὲ ἡ γέννησις ἐκείνη, καθ' ἣν ἀνιστάμενοι πάντες, εἰς τὴν μέλλουσαν ζωὴν ἀποτίκτονται.

(Σετηριανός.) Καὶ ἄλλος δὲ ὧδε φησὶ, νῦν τῷ ὀνόματι κατεχρήσατο, οὐ τῇ δυνάμει τῆς ἀλληγορίας. ἡ γὰρ ἀλληγορία, οὐ στοιχεῖ τοῖς ῥητοῖς, ἄλλα δέ τινα ἐμφαινόμενα ἀπὸ τῆς κατὰ τὴν ὑφὴν τῶν νοημάτων ἀκολουθίας εἰσάγει· οἷόν ἐστι, τὸ "φιλησάτω με ἀπὸ φιλημάτων στόματος αὐτοῦ," τοῦ ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων. ἐκεῖ γὰρ οὔτε φίλημα οὔτε θρὶξ οὔτε κοιλία οὐδὲ μηροὶ οὐδὲ ἕτερόν τι, ἀλλὰ ἄλλα δι' ἄλλων εἰσάγεται· καὶ τοῦτό ἐστι ἀλληγορίας εἶδος κύριον· ἐνταῦθα δὲ καὶ ἡ ἱστορία ὡμολόγηται, καὶ ὅτι τύπος ἐστὶ τοῦ μέλλοντος ἀποδέδεικται· ἡ οὖν δι' . . . προφητεία, ἀλληγορία νῦν ὠνόμασται· τῶν γὰρ προφητειῶν, αἱ μὲν εἰσὶ διὰ λόγων μόνον, ὡς τὸ "ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται·" ἡ δὲ δι' ἔργων μόνον, ὡς Μωϋσῆς ὕψωσε τὸν ὄφιν ἐν τῇ ἐρήμῳ· ἡ δὲ καὶ δι' ἔργων καὶ διαλόγων, ὡς τὸ πρὸς Ἱερεμίαν ῥηθὲν, τὸ "λάβε περίζωμα καινὸν, καὶ περιθοῦ, εἶτα θάψον αὐτὸ παρὰ τὸν "Εὐφράτην· καὶ ὡς διερρύη τῷ χρόνῳ καὶ διεβρώθη, λάβε αὐτὸ" φησιν "ἐκεῖθεν." Ἕως γὰρ τούτου, δι' ἔργων ἡ προφητεία· τὸ δὲ ἑξῆς, καὶ διὰ λόγων· "ὅτι οὕτως κἀγὼ τοὺς υἱοὺς Ἰσραὴλ "περιεθέμην, καὶ οὕτως αὐτοῖς ἐβοήθησα, καὶ οὕτως αὐτοὺς εἰς Βαβυλῶνα ἀπάγω αἰχμαλώτους, καὶ σαθρωθέντας καὶ φθαρέντας "ἐκεῖθεν ἀναγάγω καὶ ἀποκαθιστῶ·" νῦν οὖν τὴν δι' ἔργων προφητείαν, ἀλληγορίαν ὠνόμασεν.

Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ.

Χρυσοστόμου. Αὗται τίνες; αἱ μητέρες τῶν παιδίων ἐκείνων, ἡ Σάρρα καὶ ἡ Ἄγαρ. τί εἰσι δύο διαθῆκαι; δύο νόμοι· ἀλλ' ἐπειδὴ γυναικῶν ὀνόματα ἦν ἐν τῇ ἱστορίᾳ, ἐνέμεινε τῇ προσηγορίᾳ τοῦ γένους· καὶ ἀπὸ τῶν ὀνομάτων πολλὴν δεικνὺς τὴν ἀκολουθίαν· πῶς ἀπὸ τῶν ὀνομάτων;

25 Τὸ γὰρ Ἄγαρ Σινὰ ὄρος ἐστὶ ἐν τῇ Ἀραβίᾳ.

Ἄγαρ ἐλέγετο ἡ δούλη· τὸ δὲ Σινὰ ὄρος οὕτω μεθερμηνεύεται τῇ ἐπιχωρίῳ αὐτῶν γλώττῃ, ὥστε τοὺς ἀπὸ παλαιᾶς τικτομένους πάντας, ἀνάγκη δούλους εἶναι· τὸ γὰρ ὄρος ἐκεῖνο ἔνθα ἡ παλαιὰ διαθήκη ἐδόθη ὁμώνυμον τῇ δούλῃ, περιλαμβάνει καὶ τὴν Ἱερουσαλήμ· τοῦτο γάρ ἐστι "συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ·" τουτέστι, γειτνιάζει, ἅπτεται· τί οὖν ἐκ τούτου; ὅτι οὐ μόνον ἐκείνη δούλη ἦν καὶ δούλους ἔτικτεν, ἀλλὰ καὶ αὕτη, τουτέστιν ἡ διαθήκη, ἧς τύπος ἡ δούλη· καὶ γὰρ Ἱερουσαλὴμ ἐκ γειτόνων κεῖται τῷ ὄρει τῷ ὁμωνύμῳ τῇ δούλῃ· ἐν τούτῳ οὖν τῷ ὄρει, καὶ ἡ διαθήκη δέδοται. ποῦ οὖν καὶ τῆς Σάρρας τύπος;

26 Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μητὴρ ἡμῶν.

Ἡ ἄνω ποία; ἡ ἐν τῷ οὐρανῷ· αὐτὴ γὰρ οὐχ ὑπόκειται νόμῳ, τοῦτο γάρ ἐστιν ἐλευθέρα ἐστίν. οὐκοῦν καὶ οἱ ἐξ αὐτῆς τικτόμενοι, οὐ δοῦλοι.

(Θεόδωρος.) Καὶ ἄλλος δέ φησιν, Ἀραβία τὸ παλαιὸν, οὐχ ἡ νῦν οὕτως ὀνομαζομένη μόνον ἐλέγετο, ἀλλ' Ἄγαρ ἦτε ἔρημος πᾶσα καὶ τὰ περὶ αὐτὴν οἰκούμενα μέρη· καὶ μὴν καὶ τῆς Αἰγύπτου μέρος οὐκ ἐλάχιστον· τοῦτο οὖν θέλει εἰπεῖν περὶ τῆς Ἄγαρ, ὅτι τῇ παρ' ἡμῖν Ἱερουσαλὴμ, τουτέστι τῇ κατὰ τὸν βίον τοῦτον θεωρουμένῃ ἰσοδυναμεῖ ἡ Ἄγαρ· ταύτην ἡμῖν τὴν τάξιν ἐπεχούσης τῆς νῦν Ἱερουσαλὴμ, ἐφ' ἧς τὰ τῆς διαθήκης ἐκείνης νόμιμα πληροῦται πρὸς τὰ προσδοκώμενα· ὧν δεῖ καὶ τεύξεσθαι ἐπὶ τοῦ μέλλοντος ἐλπίζομεν αἰῶνος, ἣν ἐπεῖχεν ἡ Ἄγαρ πρὸς τὴν Σάρραν κρινομένη· τὸ μέντοι "δουλεύει μετὰ τῶν τέκνων αὐτῆς" οὐ περὶ τῆς Ἄγαρ λέγει, ἀλλὰ περὶ τῆς ἐν τῷ Σινᾶ δοθείσης θιαθήκης.

Καὶ ἄλλοι δὲ πάλιν φησὶν, οὐχ ἁπλῶς ἐμνημόνευσε τοῦ Σινᾶ ὄρους, ἀλλ' ἐπειδὴ οἱ Σαρακηνοὶ οἱ ἀπὸ τοῦ Ἰσμαὴλ τὴν ἔρημον ἔχουσι τὴν παρατείνουσαν ἕως τοῦ Σινᾶ ὄρους. Ἐν δὲ τῷ Σινᾷ ὁ νόμος ἐδόθη εἰς δουλείαν γεννῶν. ἀπὸ δὲ τοῦ Σινὰ ὄρους αἱ πλάκες δοθεῖσαι ἐκομίσθησαν ἐν τῷ Ἰσραὴλ, καὶ πολλάκις μετενεχθεῖσαι ἀπὸ τόπου εἰς τόπον τελευταῖον ἱδρύθησαν ἐν Ἱεροσολύμοις. Διὰ τοῦτο ἐπήγαγεν "συστοιχεῖ τῇ νῦν Ἱερουσαλὴμ" "δουλεύει δὲ "μετὰ τῶν τέκνων αὐτῆς," ὅπου γῆς ἐπαγγελία καὶ κτῆσις καὶ γάμος, καὶ τὰ ἀνθρώπινα, καὶ δουλεία ἀκολουθεῖ. Ὅπου δὲ ἀπαλλαγὴ τῶν ἐπὶ γῆς φροντίδων καὶ τῶν δεσμῶν, καὶ ἐν οὐρανοῖς ἡ πολιτεία, ἐξ αὐτῆς τῆς πολιτείας ἡ ἐλευθερία. Οὐ γὰρ[h] ἄρ κεῖται τοῖς τύποις. Ἀλλὰ καὶ τὸν Ἡσαίαν προστίθησι μαρτυροῦντα τοῖς εἰρημένοις. Εἰπὼν γὰρ ὅτι ἡ ἄνω Ἱερουσαλὴμ μήτηρ ἡμῶν ἐστι, καὶ τὴν ἐκκλησίαν οὕτω καλέσας, παρίστησι τὸν προφήτην τὰ αὐτὰ αὐτῷ ψηφιζόμενον. "Εὐφράνθητι γὰρ, στεῖρα," φησιν, ἡ "οὐ τίκτουσα ῥῆξον, καὶ βόησον ἡ οὐκ ὠδινοῦσα, ὅτι πολλὰ τὰ "τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα." Τίς οὖν ἡ στεῖρα, καὶ τίς ἡ ἔρημος πρὸ τούτου; οὐκ ἄδηλον ὅτι ἡ τῶν ἐθνῶν ἐκκλησία τῆς τοῦ Θεοῦ γνώσεως ἀπεστερημένη. Τίς δὲ ἡ τὸν ἄνδρα ἔχουσα; οὐκ εὔδηλον ὅτι ἡ συναγωγή; ἀλλ' ὅμως ἐνίκησεν αὐτὴν τῇ πολυπαιδίᾳ ἡ στεῖρα· ἐκείνη μὲν γὰρ, ἓν ἔθνος ἔχει· τὰ δὲ τῆς ἐκκλησίας τέκνα τὴν Ἑλλάδα, τὴν βάρβαρον, τὴν γῆν, τὴν θάλατταν, τὴν οἰκουμένην ἐνέπλησεν ἅπασαν. εἶδες πῶς διὰ μὲν πραγμάτων ἡ Σάρρα, διὰ δὲ ῥημάτων ὁ προφήτης τὰ μέλλοντα ὑμῖν ὑπέγραψε; σκόπει δέ· στεῖραν ἐκάλεσεν ὁ Ἡσαΐας, καὶ ταύτην ἔδειξε πολύπαιδα γενομένην· ταῦτα τυπικῶς ἐπὶ τῆς Σάρρας συνέβη· καὶ γὰρ καὶ αὕτη στεῖρα οὖσα, πλήθους ἐκγόνων ἐγένετο μητήρ· τῷ Παύλῳ δὲ οὐδὲ ταῦτα ἀπόχρη· ἀλλὰ καὶ πῶς ἐγένετο μητὴρ ἡ στεῖρα περιεργάζεται, ἵνα καὶ ἐντεῦθεν προσαγάγῃ τῇ ἀληθείᾳ τὸν τύπον. διὸ καὶ ἐπάγει λέγων,

28 Ἡμεῖς δὲ ἀδελφοὶ, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν.

Οὐ γὰρ μόνον στεῖρα ἦν ἡ ἐκκλησία ὥσπερ ἡ Σάρρα· οὐδὲ μόνον πολύπαις ἐγένετο ὥσπερ ἐκείνη, ἀλλὰ καὶ οὕτως ἐγέννησεν

[h] Cod. οὐ γὰρ κεῖται δεῖ corr. ex Edd.

ὥσπερ ἡ Σάρρα· καθάπερ γὰρ ἐκείνην μητέρα οὐχ ἡ φύσις, ἀλλ' ἡ ἐπαγγελία τοῦ Θεοῦ πεποίηκεν· ὁ γὰρ λόγος τοῦ Θεοῦ ὁ εἰρηκὼς "κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι καὶ ἔσται τῇ Σάρρα "υἱός," οὗτος εἰσελθὼν εἰς τὴν νηδὺν, τὸ βρέφος διέπλασεν, οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναγεννήσεως τῆς ἡμετέρας· φύσις μὲν οὐδεμία, τὰ δὲ ῥήματα τοῦ Θεοῦ τὰ διὰ τοῦ ἱερέως λεγόμενα, ἅπερ ἴσασιν οἱ πιστοὶ, ταῦτα ἐν τῇ κολυμβήθρᾳ τῶν ὑδάτων καθάπερ ἐν νηδύϊ τινὶ διαπλάττει καὶ ἀναγεννᾷ τὸν βαπτιζόμενον· οὐκοῦν εἰ τῆς στείρας ἐσμὲν παῖδες, καὶ ἐλεύθεροί ἐσμεν· καὶ ποία αὕτη ἐλευθερία ἴσως εἴποι τις ἂν, ὅταν οἱ μὲν Ἰουδαῖοι κατέχωσι καὶ μαστίζωσι τοὺς πιστούς· οἱ δὲ δοκοῦντες ἐλεύθεροι εἶναι διώκωνται· ταῦτα γὰρ τότε συνέβαινε τῶν πιστῶν διωκομένων· ἀλλὰ μὴ δὲ τοῦτο ὑμᾶς θορυβείτω, φησί· καὶ γὰρ καὶ τοῦτο προέλαβεν ἐν τῷ τύπῳ· ὁ γὰρ Ἰσαὰκ ἐλεύθερος ὢν, ὑπὸ τοῦ δούλου Ἰσμαὴλ ἐδιώκετο· διὸ καὶ ἐπάγει λέγων,

29 Ἀλλ' *ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς, ἐδίωκε τὸν*
30 *κατὰ* Πνεῦμα, *οὕτω καὶ νῦν· ἀλλὰ τί λέγει ἡ γραφή;*
ἔκβαλε τὴν παιδίσκην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας.

Τί οὖν· αὕτη ἡ παράκλησις πᾶσα, τὸ δειχθῆναι ὅτι δεῖ τοὺς ἐλευθέρους ὑπὸ τῶν δούλων διώκεσθαι; οὐχί φησι· ἄκουσον γὰρ τῶν ἑξῆς, καὶ τότε λήψῃ παραμυθίαν ἱκανήν· οὐ μικροψυχῶν τοῖς διωγμοῖς ἔκβαλε τὸν υἱὸν τῆς παιδίσκης· "οὐ γὰρ μὴ κληρονομήσῃ "μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας·" εἶδες τὰ ἐπίχειρα τῆς προκαίρου τυραννίδος, καὶ τῆς ἀπονοίας τῆς ἀκαίρου; ἐκπίπτει τῶν πατρῴων ὁ παῖς, καὶ γίνεται φυγὰς καὶ πλάνος μετὰ τῆς μητρός· σὺ δέ μοι σκόπει τὴν σοφίαν τῶν εἰρημένων· οὐ γὰρ εἶπεν ἐπειδὴ ἐδίωκε, διὰ τοῦτο ἐξεβάλλετο μόνον, ἀλλ' ἵνα μὴ κληρονομήσῃ· δεικνὺς ὅτι καὶ τοῦ διωγμοῦ χωρὶς, τοῦτο ἄνωθεν τετυπώμενον ἦν· ὁρᾷς διὰ πάντων τὸν τύπον τηρούμενον; ὥσπερ γὰρ ἐν ὀλίγοις τοῖς ἔμπροσθεν ἔτεσι μὴ τίκτουσα ἡ Σάρρα, ἐν ἐσχάτῳ γήρᾳ γίνεται μητὴρ, οὕτω καὶ αὕτη ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου τίκτει.

(Θεόδωρος.) *Ἄλλος δέ φησι, οὐ τὸ τῆς πίστεως καὶ τῆς*

ἐπαγγελίας μόνον ἐντίθησιν ὄνομα, ἀλλὰ γὰρ καὶ τὸ τοῦ Πνεύματος· ἅτε δὴ προσδοκώντων ἡμῶν τῇ μετουσίᾳ τοῦ Πνεύματος τὴν ἀπόλαυσιν δέξασθαι τῶν μελλόντων· οὑτωσὶ δὲ καὶ ἐπὶ τῶν κατὰ νόμον τὸ τῆς σαρκὸς, ἅτε δὴ κατὰ τὸν παρόντα τουτονὶ υἱὸν χρησιμεύειν τοῦ νόμου δυναμένου· σάρκα γὰρ τὸ πρόσκαιρον καὶ εὐδιάλυτον λέγει, ὅταν μὴ τὴν ἡμετέραν ὀνομάζῃ φύσιν. οἱ τοίνυν τοῦ νόμου προεστάναι δῆθεν βουλόμενοι, τὰ τῆς χάριτος ἀπελαύνουσιν, ὥσπερ καὶ ὁ Ἰσμαὴλ τὸν Ἰσαάκ· "ἀλλὰ τί λέγει ἡ "γραφή;" καὶ τὰ ἑξῆς· οὐδὲ γάρ ἐστι τίς κοινωνία τῶν παρόντων καὶ τῶν μελλόντων· οὐδ' ἔχει χώραν τὰ νόμιμα ἐπὶ τῆς καθ' ἡμᾶς διαίτης, ἣν κατὰ τύπον πληροῦμεν τῆς ἀναστάσεως· καὶ λοιπὸν ὡς ἀπὸ τῶν προκειμένων ἐπισυλλογίζεται,

31 Ἄρα ἀδελφοὶ, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ταῦτα πάντα κινεῖ καὶ στρέφει, δεῖξαι βουλόμενος, ὅτι τὸ γενόμενον οὐ πρόσφατον ἦν ἀλλ' ἄνωθεν καὶ πρὸ πολλῶν διετυποῦτο χρόνων· πῶς οὖν οὐκ ἄτοπον τοὺς πρὸ τοσούτων ἐτῶν ἀφορισθέντας, καὶ ἐλευθερίας τυχόντας, ἑαυτοὺς εἰς τὸν τῆς δουλείας ὑπάγειν ζυγόν; εἶτα καὶ ἄλλην αἰτίαν τίθησι, τὴν πείθουσαν αὐτοὺς μένειν ἐπὶ τῶν δογμάτων.

1 Τῇ ἐλευθερίᾳ οὖν ᾗ Χριστὸς ἡμᾶς ἠλευθέρωσε, στήκετε.

Μὴ γὰρ ἑαυτοὺς ἠλευθερώσατε ὅτι πάλιν ἐπὶ τὴν προτέραν τρέχετε δεσποτείαν; ἄλλος ἐστὶν ὑμᾶς ὁ ἠγορακὼς, ὁ τὴν τιμὴν δοὺς ὑπὲρ ὑμῶν· ὁρᾷς δι' ὅσων αὐτοὺς ἀπάγει τῆς Ἰουδαϊκῆς πλάνης; πρῶτον δεικνὺς, ὅτι ἐσχάτης ἀνοίας ἐλευθέρους ἀντὶ δούλων γενομένους, δούλους ἀντ' ἐλευθέρων ἐπιθυμεῖν εἶναι· δεύτερον, ὅτι περὶ τὸν εὐεργέτην ἀχάριστοι καὶ ἀγνώμονες δειχθήσονται· τοῦ μὲν ἐλευθερώσαντος καταφρονοῦντες, τὸν δὲ δουλωσάμενον στέργοντες· τρίτον, ὅτι οὐδὲ δυνατὸν τοῦτο· οὐ γὰρ ἔχει τὴν δεσποτείαν ὑμῶν ὁ νόμος ἅπαξ, ἑτέρου παρ' αὐτοῦ πάντας ὑμᾶς πριαμένου· "στήκετε" δὲ εἰπὼν, τὸν σάλον ἔδειξεν.

Καὶ μὴ ζυγῷ δουλείας πάλιν ἐνέχεσθε.

Τῷ μὲν τοῦ ζυγοῦ ὀνόματι, τὸ βαρὺ τοῦ πράγματος αὐτοῖς

ἐνδείκνυται· τῷ δὲ “πάλιν” εἰπεῖν, πολλὴν αὐτῶν δείκνυσιν ἀναισθησίαν· εἰ μὲν γὰρ ἄπειροι νῦν ἦτε τοῦ βάρους ἐκείνου, οὐ τοσούτων ἦτε ἐγκλημάτων ἄξιοι· εἰ δὲ τῇ πείρᾳ μαθόντες τὸ φορτίον τοῦ ζυγοῦ, εἶτα ὑποτίθετε ἑαυτοὺς ἐκείνῳ πάλιν, ποίας ἂν ἦτε δίκαιοι συγγνώμης τυχεῖν;

ΚΕΦ. Ι.

Ὅτι ἡ κλῆσις ἡμῶν οὐχ ὑπόκειται περιτομῇ καὶ νόμῳ διὰ τὸ Χριστοῦ πάθος.

2 Ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει.

Πῶς Χριστὸς αὐτοὺς οὐδὲν ὠφελήσει; αὐτὸς μὲν τοῦτο οὐ κατεσκεύασεν, ἀλλ᾽ ἀπεφήνατο, ὡς τῆς τοῦ προσώπου ἀξιοπιστίας ἀρκούσης ἀντὶ πάσης ἀποδείξεως λοιπόν· διὰ τοῦτο γὰρ προλαβὼν εἶπεν, “ἴδε ἐγὼ Παῦλος λέγω ὑμῖν·” ὅπερ ἦν θαρροῦντος οἷς λέγει· ὑμεῖς δὲ ὅσον οἷόν τε ᾖ, τὰ παρ᾽ ἑαυτῶν προσθήσετε.

Πῶς οὖν οὐδὲν ὠφελεῖ τὸν περιτεμνόμενον ὁ Χριστός; ὁ περιτεμνόμενος ὡς νόμον δεδοικὼς περιτέμνεται· ὁ δεδοικὼς ἀπιστεῖ τῇ δυνάμει τῆς χάριτος· ὁ δὲ ἀπιστῶν οὐδὲν κερδαίνει παρὰ τῆς ἀπιστουμένης· πάλιν ἑτέρως· ὁ περιτεμνόμενος τὸν νόμον κύριον ποιεῖ· κύριον δὲ εἶναι νομίζων, καὶ ἐκ τοῦ μείζονος αὐτὸν παραβαίνων μέρους, ἐκ δὲ τοῦ ἐλάττονος τηρῶν, πάλιν ὑπὸ τὴν ἀρὰν ἑαυτὸν τίθησιν· ὑποβάλλων δὲ ἑαυτὸν τῇ ἀρᾷ, καὶ διακρουόμενος τὴν ἀπὸ τῆς πίστεως ἐλευθερίαν, πῶς δύναται σωθῆναι;

Εἶτα εἰπὼν “οὐδὲν ὠφελήσει·” αἰνιγματωδῶς καὶ διὰ βραχέων, καὶ τὴν ἀπόδειξιν τίθησιν οὕτω λέγων,

3 Μαρτύρομαι δὲ πάλιν παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι.

Ἵνα γὰρ μὴ νομίσῃς κατ᾽ ἔχθραν ταῦτα λέγεσθαι, οὐχ ὑμῖν μόνον λέγω φησὶν, ἀλλὰ καὶ “παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι “ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι·” ἀλλήλων γὰρ ἔχονται τὰ νόμιμα· καὶ καθάπερ τις ἀπογραψάμενος εἶναι δοῦλος ἐξ ἐλευθέρων, οὐκέτι κύριός ἐστι τὸ ἢ τὸ ποιεῖν· ἀλλὰ πᾶσι τοῖς τῆς δουλείας κατέχεται νόμοις, οὕτω καὶ ἐπὶ τοῦ νόμου· ἂν δέξῃ μι-

κρὸν τοῦ νόμου· καὶ ὑπαγάγῃ ἑαυτὸν τῷ ζυγῷ, ὅλην ἐφειλκύσω τὴν δεσποτείαν.

4 Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε.

Ὅταν γὰρ ὁ τῷ νόμῳ προστρέχων μήτε ἐκεῖθεν δύνηται σώζεσθαι, καὶ τῆς χάριτος ἐκπίπτῃ, τί τὸ λειπόμενον λοιπὸν, ἀλλ' ἡ κόλασις ἀπαραίτητος· τοῦ μὲν ἀτονοῦντος, τῆς δὲ οὐ προσιεμένης αὐτόν; κατασείσας τοίνυν αὐτῶν τῷ φόβῳ τὴν διάνοιαν, καὶ δείξας τὸ ναυάγιον ὃ μέλλουσιν ὑπομένειν, ἐγγύθεν ἀνοίγνυσιν αὐτοῖς τῆς χάριτος τὸν λιμένα· διὸ καὶ ἐπάγει λέγων,

5 Ἡμεῖς γὰρ διὰ πίστεως ἐν Πνεύματι, ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα.

Οὐδενὸς ἐκείνων δεόμεθα τῶν νομίμων φησίν· ἀρκεῖ γὰρ ἡ πίστις ἡμῖν Πνεῦμα παρασχεῖν, καὶ δι' αὐτοῦ δικαιοσύνην καὶ τὰ πολλὰ καὶ μεγάλα ἀγαθά.

6 Ἐν γὰρ Χριστῷ Ἰησοῦ, οὔτε περιτομὴ τί ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη.

Ὅρα πῶς λοιπὸν μετὰ πλείονος ἀποδύεται παρρησίας· ὁ γὰρ τὸν Χριστὸν ἐνδυσάμενος, μηκέτι ταῦτα περιεργαζέσθω φησίν· ὅρα δὲ ποῦ τὴν περιτομὴν ἐξέβαλε, μετὰ ἀκροβυστίας στήσας αὐτήν· τὸ γὰρ ποιοῦν τὴν διαφορὰν ἡ πίστις ἐστί· τὸν γὰρ μέλλοντα ἀπογράφεσθαι εἰς τὴν καινὴν διαθήκην, οὐδὲν βλάπτει τὰ σωματικὰ, ὥσπερ οὖν οὔτε ὀνίνησι. τί δέ ἐστι "δι' ἀγάπης ἐνεργουμένη;" μεγάλην ἐνταῦθα πληγὴν αὐτοὺς ἔπληξεν· ἐμφήνας, ὅτι ἐκ τοῦ τὴν πρὸς τὸν Χριστὸν ἀγάπην μὴ ῥιζωθῆναι, αὕτη ἡ παρείσδυσις γέγονεν· οὐ γὰρ τὸ πιστεῦσαι ἐστὶ τὸ ζητούμενον, ἀλλὰ καὶ τὸ μεῖναι ἀγαπῶντας· ὡσανεὶ ἔλεγεν· εἰ ἠγαπᾶτε τὸν Χριστὸν ὡς ἐχρῆν, οὐκ ἂν ηὐτομολήσατε πρὸς τὴν δουλείαν· οὐκ ἂν τὸν ἐξαγοράσαντα ὑμᾶς ἀφήκατε· οὐκ ἂν ὑβρίσατε τὸν ἐλευθερώσαντα.

7 Ἐτρέχετε καλῶς, τίς ὑμᾶς ἐνέκοψεν τῇ ἀληθείᾳ μὴ πείθεσθαι;

Οὐκ ἐρωτῶντός ἐστι τοῦτο, ἀλλ' ἀποροῦντος καὶ ὀλοφυρομένου· πῶς ὁ τοσοῦτος ἐνεκόπη δρόμος; τίς τοσοῦτον ἴσχυσεν, ὥστε

ὑμᾶς ἀπατῆσαι τῇ ἀληθείᾳ μὴ πείθεσθαι, ἀλλὰ τοῖς τύποις ἐμμένειν; ταῦτα ἀνακαλοῦντός ἐστι καὶ θρηνοῦντος μᾶλλον, ὥσπερ καὶ ἔμπροσθεν ἔλεγε, "τίς ὑμᾶς ἐβάσκηνεν;" "ἡ πεισμόνη, οὐκ "ἐκ τοῦ καλοῦντος ὑμᾶς·" οὐκέτι τούτοις ἐκάλεσεν ὑμᾶς ὁ καλῶν ὥστε οὕτως σαλεύεσθαι· οὐ ταῦτα ἐνομοθέτησεν ὥστε Ἰουδαΐζειν.

(Θεόδωρος.) Ἄλλος δέ φησι, τῆς χάριτος Θεοῦ ἦν τὸ καλέσαι, τὸ δοῦναι τοῦ Πνεύματος τὴν χάριν, ὑποσχέσθαι τὰ μέλλοντα· τὸ μέντοι μένειν βεβαίους ἐπὶ τῆς πίστεως, οὐκ ἦν ἐκείνου ἀλλ' ὑμέτερον· εἶτα ἵνα μήτις λέγῃ, τί τὸ πρᾶγμα ἐπαίρεις; μίαν ἐντολὴν τοῦ νόμου ἐφυλάξαμεν μόνον καὶ τοσαῦτα θορυβεῖς· ἄκουσον πῶς φοβεῖ· οὐκ ἀπὸ τῶν παρόντων, ἀλλ' ἀπὸ τῶν μελλόντων, λέγων οὕτως,

9 Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ.

Οὕτως καὶ ὑμᾶς ἰσχύει, φησὶ, τὸ μικρὸν τοῦτο κακὸν μὴ διορθωθὲν, καὶ εἰς τέλειον Ἰουδαϊσμὸν ἀγαγεῖν, ὥσπερ ἡ ζύμη τὸ φύραμα.

10 Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ, ὅτι οὐδὲν ἄλλο φρονήσετε.

Τουτέστι, ὅτι διορθωθήσεσθε, πιστεύω τῷ Θεῷ, καὶ τῇ ἐκείνου συμμαχίᾳ πρὸς τὴν ὑμετέραν διόρθωσιν θαρρῶ· καὶ οὐχ ἁπλῶς εἶπε πέποιθα τῷ Κυρίῳ, ἀλλὰ "πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ·" πανταχοῦ γὰρ μετ' ἐγκωμίων πλέκει τὰς κατηγορίας· ὡσανεὶ ἔλεγε· τοὺς ἐμοὺς μαθητὰς οἶδα· οἶδα ὑμῶν τὸ εὐδιόρθωτον· θαρρῶ, τοῦτο μὲν διὰ τὸν Κύριον τὸν οὐκ ἐῶντα ἀπολύεσθαι οὐδὲ τὸ τυχόν· τοῦτο δὲ δι' ὑμᾶς, τοὺς δυναμένους ἑαυτοὺς ταχέως ἀνακτήσασθαι.

Ὁ δὲ ταράσσων ὑμᾶς βαστάσει τὸ κρίμα, ὅστις ἂν ᾖ.

Ἑκατέρωθεν αὐτοὺς ἀλείφει, καὶ ἐξ ὧν παρεθάρρυνε, καὶ ἐξ ὧν ἐκείνους ἢ ἐπαράσατο, ἢ προεφήτευσε· σὺ δέ μοι σκόπει, πῶς οὐδαμοῦ ὄνομα τίθησι τῶν ἐπιβουλευόντων, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. καὶ οὐχ ἁπλῶς εἶπεν οἱ ταράσσοντες, ἀλλὰ καὶ ἐπῆρε τὸν λόγον, εἰπὼν, "ὅστις ἂν ᾖ," οὐ γὰρ αἰδεῖται πρόσωπον, ὅταν ἡ ἀλήθεια κρίνηται.

11 Ἐγὼ δὲ ἀδελφοὶ εἰ περιτομὴν κηρύσσω, τί ἔτι διώκομαι;

Θεοδωρου. Ἐπειδὴ γὰρ διέβαλλον αὐτὸν ὡς πολλαχοῦ Ἰουδαΐζοντα ὑποκρινόμενον τὸ κήρυγμα, ὅρα πῶς καθαρῶς ἀπεδύσατο, μάρτυρας αὐτοὺς καλῶν· οἴδατε γάρ, φησὶν, καὶ ὑμεῖς, ὅτι διωγμοῦ μοι πρόφασις τοῦτό ἐστιν, ὅτι κελεύω ἀπέχεσθαι νόμου· εἰ δὲ περιτομὴν κηρύσσω, τί δίωκομαι; οὐδὲν γὰρ ἕτερον ἐγκαλεῖν μοι ἔχουσιν οἱ ἐξ Ἰουδαίων, ἢ τοῦτο· τί οὖν οὐκ ἐκήρυξε περιτομήν; οὐ περιέτεμε τὸν Τιμόθεον; οὐκ εἶπεν, ὅτι περιτομὴν οὐκ ἐργάζομαι, ἀλλ' οὐ κηρύσσω· τουτέστιν, οὐχ οὕτως κελεύω πιστεύειν· μὴ γάρ μοι τὴν πρόσκαιρον οἰκονομίαν εἰς δογμάτων λάβῃς βεβαίωσιν· περιέτεμον μὲν γὰρ, οὐκ ἐκήρυξα δὲ περιτομήν.

Ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ,

Τουτέστι τὸ ἐμπόδιον· τὸ κώλυμα ἀνῄρηται εἰ τοῦτό ἐστιν ὅ φατε· οὐδὲ γὰρ οὕτως ὁ σταυρὸς ἦν ὁ σκανδαλίζων τοὺς Ἰουδαίους ὡς τὸ μηδὲν πείθεσθαι τοῖς πατρῴοις νόμοις. καὶ γὰρ Στέφανον προενεγκόντες, οὐκ εἶπον ὅτι οὗτος ἐσταυρωμένον προσκυνεῖ, ἀλλ' ὅτι κατὰ τοῦ νόμου καὶ τοῦ τόπου λέγει τοῦ ἁγίου· καὶ τῷ Ἰησοῦ τὸ αὐτὸ ἐνεκάλουν, ὅτι τὸν νόμον παραλύει· διό φησιν ὁ Παῦλος, εἰ συγκεχώρηται περιτέμνεσθαι, λέλυται ἡ φιλονεικία ἡ πρὸς ἡμᾶς, οὐδεμία λοιπὸν ἔχθρα μένει πρὸς τὸν σταυρὸν καὶ τὸ κήρυγμα. εἰ δὲ καθ' ἑκάστην ἡμέραν φονῶσι καθ' ἡμῶν, πῶς τοῦτο ἐγκαλοῦσιν; ἐμοὶ γοῦν διὰ τοῦτο ἐπέθεντο, ὅτι εἰσήνεγκα ἀκρόβυστον εἰς τὸν ναόν. Ἆρ' οὖν οὕτως ἀνόητός εἰμι, φησὶν, ὡς συγκεχωρημένης περιτομῆς, εἰκῇ καὶ μάτην τοσαύτην ἀναδείξασθαι βλάβην, τοσοῦτον σκάνδαλον θεῖναι τῷ σταυρῷ; ὁρᾶτε γοῦν ὅτι δι' οὐδὲν ἡμῖν πολεμοῦσιν οὕτως ὡς διὰ τὴν περιτομήν· οὕτως ἀνόητος ἤμην ὡς ὑπὲρ τοῦ μηδενὸς θλίβεσθαι καὶ σκανδαλίζειν ἑτέρους; σταυροῦ δὲ σκάνδαλον ἐκάλεσεν, ἐπειδὴ καὶ ὁ τοῦ σταυροῦ λόγος τοῦτο ἐπέταττε. καὶ τοῦτο ἦν μάλιστα τὸ σκανδαλίζον Ἰουδαίους καὶ κωλύον τὸν σταυρὸν καταδέξασθαι, τὸ κελεύεσθαι τῶν πατρῴων ἐξίστασθαι ἐθῶν.

12 Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς.

Ἐπειδὴ καλῶς ἐπαίδευσε τοὺς ἠπατημένους καὶ διώρθωσε,

πρὸς τοὺς ἠπατηκότας τρέπεται λοιπόν. δεῖ δὲ ἡμᾶς συνιδεῖν αὐτοῦ καὶ ἐντεῦθεν τὴν σοφίαν· πῶς τοὺς μὲν ὡς παῖδας οἰκείους καὶ δυναμένους λαβεῖν διόρθωσιν νουθετεῖ καὶ σωφρονίζει· τοὺς δὲ ἠπατηκότας, ὡς ἀλλοτρίους καὶ ἀνίατα νοσοῦντας ἐκκόπτει, ἐπαρώμενος αὐτούς· καὶ καλῶς εἶπεν "οἱ ἀναστατοῦντες ὑμᾶς." τὴν γὰρ πατρίδα καὶ τὴν ἐλευθερίαν καὶ τὴν συγγένειαν ἀφέντας τὴν ἄνω, τὴν ἀλλοτρίαν καὶ ξένην μεταδιώκειν ἠνάγκασαν, καθάπερ αἰχμαλώτους καὶ μετανάστας. εἰ βούλονται τοίνυν, μὴ περιτεμνέσθωσαν μόνον, ἀλλὰ καὶ ἀποκοπτέσθωσαν. Ποῦ νῦν εἰσὶν οἱ τολμῶντες ἀποκόπτειν ἑαυτοὺς, καὶ τὴν ἀρὰν ἐπισπώμενοι ταύτην, καὶ τὴν τοῦ Θεοῦ δημιουργίαν διαβάλλοντες, καὶ τοῖς Μανιχαίοις συμπράττοντες; ἐκεῖνοι μὲν γὰρ τὸ σῶμα φασὶν, ἐπίβουλον εἶναι καὶ ὕλης τῆς πονηρᾶς· οὗτοι δὲ διὰ ἔργων τοῖς χαλεποῖς δόγμασι τούτοις διδόασιν ἀφορμήν. Ὡς γὰρ ἐχθρὸν καὶ ἐπίβουλον ἀποκόπτουσι τὸ μέρος· οὐκοῦν πολλῷ μᾶλλον τοὺς ὀφθαλμοὺς πηρῶσαι ἐχρῆν; Διὰ γὰρ τῶν ὀφθαλμῶν εἰς τὴν ψύχην κάτεισιν ἡ ἐπιθυμία· ἀλλ' οὔτε ὀφθαλμὸς οὔτε ἄλλο μέλος αἴτιον, ἀλλ' ἡ πονηρὰ προαίρεσις μόνον.

ΚΕΦ. ΙΑ.

Ὑπογραφὴ τῆς κατὰ Πνεῦμα ἐλευθερίας.

13 Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί.

Ἐνταῦθα εἰς τὸν ἠθικὸν ἐμπεσὼν λόγον, πάλιν μίγνυσι τὸν δογματικὸν, ὅπερ ἐν οὐδεμιᾷ τῶν ἄλλων ἐπιστολῶν πεποίηκε. καὶ γὰρ οὗτος ἐκείνου πάλιν ἔχεται ἐν τῇ πρὸς Μανιχαίους μάχῃ. τί δέ ἐστιν, ὅ φησιν; ἀπήλλαξεν, ὑμᾶς ὁ Χριστὸς τοῦ ζυγοῦ τῆς δουλείας· κυρίους ἀφῆκε τοῦ πράττειν ὅ, τι βούλεσθε· οὐχ ἵνα τῇ ἐξουσίᾳ πρὸς κακίαν χρησώμεθα, ἀλλ' ἵνα μείζονος λάβωμεν μισθοῦ πρόφασιν, ἐπὶ φιλοσοφίαν μείζονα ἀνιόντες. ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ζυγὸν δουλείας καλεῖ τὸν νόμον καὶ κατάρας ἀπαλλαγὴν, ἵνα μή τις ὑποπτεύσῃ, ὅτι διὰ τοῦτο κελεύει τοῦ νόμου ἀποστῆναι, ἵνα ἐξῇ παρανόμως ζῆν, διορθοῦται τὴν ὑπόνοιαν λέγων, οὐχ ἵνα παράνομος γένηται ἡ πολιτεία, ἀλλ' ἵνα ὑπὲρ νόμον ἡ

φιλοσοφία· ἐλύθη γὰρ τοῦ νόμου τὰ δεσμὰ, ἵνα χωρὶς ζυγοῦ βαδίζητε εὔρυθμα. εἶτα καὶ δείκνυσι τρόπον, δι' οὗ ῥᾳδίως ἂν τὸ τοιοῦτο κατορθωθείη. τίς οὖν ὁ τρόπος;

Ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις.

Πάλιν ἐνταῦθα αἰνίττεται, ὅτι φιλονεικία καὶ στάσις καὶ φιλαρχία καὶ ἀπόνοια ταύτης αἰτία τῆς πλάνης αὐτοῖς ἐγένετο. ἡ γὰρ τῶν αἱρέσεων μητὴρ, ἡ τῆς φιλαρχίας ἐστὶν ἐπιθυμία. εἰπὼν γὰρ δουλεύετε ἀλλήλοις, ἔδειξεν ὅτι ἐξ ἀπονοίας καὶ τύφου, τοῦτο ἔλαβεν ἡ ἀρχὴ τὸ κακόν· ἀλλὰ φανερῶς μὲν οὐ λέγει τὸ ἁμάρτημα· φανερῶς δὲ τίθησι τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς κακεῖνο μάθωσιν· ὁ γὰρ ἀγαπῶν ὡς χρὴ, τὸν πλησίον, οὐ παραιτεῖται δουλεύειν αὐτῷ, παντὸς δούλου ταπεινότερον. Διὰ τοῦτο οὐκ εἶπεν· ἀγαπᾶτε ἀλλήλους ἁπλῶς, ἀλλὰ, "δουλεύετε," τὴν ἐπιτεταμένην δηλῶν φιλίαν. Ἐπειδὴ χὰρ τὸν τοῦ νόμου ζυγὸν ἀνεῖλεν, ἵνα μὴ ἀποσκιρτήσωσιν, ἕτερον αὐτοῖς ἐπιτίθησι ζυγὸν τῆς ἀγάπης· ἰσχυρότερον μὲν ἐκείνου, κουφότερον δὲ καὶ ἡδίω πολλῷ. Εἶτα δεικνὺς αὐτοῦ τὸ κατόρθωμα φησὶν,

14 Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.

Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τὸν νόμον ἔστρεφον, εἰ βούλει αὐτὸν, φησὶ, πληροῦν, μὴ περιτέμνου· οὐ γὰρ ἐν τῇ περιτομῇ, ἀλλ' ἐν τῇ ἀγάπῃ πληροῦται.

15 Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε.

Οὐκ ἀποφαίνεται ἵνα μὴ βαρήσῃ· οὐ γὰρ εἶπεν, ἐπειδὴ ἀλλήλους δάκνετε, ἀλλ', "εἰ ἀλλήλους δάκνετε·" καὶ τὸ ἑξῆς ὁμοίως οὐκ ἀπεφήνατο, ὅτι ὑπὸ ἀλλήλων ἀναλωθήσεσθε, ἀλλὰ "βλέπετε "μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε." ὅπερ ἐστι φοβοῦντος καὶ ἀσφαλιζομένου, οὐ καταδικάζοντος· καὶ ταῖς λέξεσι δὲ ἐμφαντικῶς ἐχρήσατο· οὐ γὰρ εἶπε, δάκνετε μόνον, ὅπερ ἐστι θυμουμένου, ἀλλὰ καὶ, κατεσθίετε, ὅπερ ἐστιν ἐμμένοντος τῇ πονηρίᾳ. δήγματα δὲ καὶ βρώσεις, εὐ τὰς σωματικάς φησιν, ἀλλὰ τὰς πολὺ χαλεπωτέρας· οὐ γὰρ οὕτως ὁ ἀνθρωπίνης ἀπογευσάμενος σαρκὸς

ἔβλαψεν, ὡς ὁ δήγματα εἰς τὴν ψυχὴν πηγνύς· ὅσῳ γὰρ τιμιωτέρα ψυχὴ σώματος, τοσούτῳ χαλεπωτέρα ἡ ταύτης βλάβη.

Βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε.

Ἡ γὰρ διάστασις καὶ ἡ μάχη φθοροποιὸν καὶ ἀναλωτικὸν, καὶ τῶν δεχομένων αὐτὴν καὶ τῶν εἰσαγόντων.

(ΘΕΟΔΩΡΟΣ.) *Ἄλλος δέ φησιν, εἰ μέλλετε, φησὶν, πρὸς ἀλλήλους οὕτω φιλονεικεῖν ἀνενδότως, οὐ μόνον οὐδὲν ὠφελεῖτε τοὺς ἁμαρτάνοντας, ἀλλὰ γὰρ τοὐναντίον ἔξω παντελῶς γενέσθαι αὐτοὺς τῆς εὐσεβείας παρασκευάζετε, ὃ καὶ καλῶς ἀναλίσκεσθαι ἐκάλεσεν· ἅτε δὴ μείωσιν ἐργαζομένων τῷ κοινῷ τῶν τῆς εὐσεβείας ἀποχωρούντων.*

16 Λέγω δὲ Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε.

Ἐπειδὴ εἶπε τὸ ποιοῦν τὴν νόσον, λέγει καὶ τὸ τὴν ὑγίειαν χαριζόμενον φάρμακον. ποῖον δὲ τοῦτό ἐστι; καὶ τίς ἡ λύσις τῶν εἰρημένων κακῶν; τὸ Πνεύματι ζῆν· οὐ νόμῳ τῷ ἀπειλοῦντι δούλοις, Πνεύματι δὲ τῷ ἄγοντι τέκνα Θεοῦ.

17 Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος· τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀλλήλοις ἀντίκειται, ἵνα μὴ, ἃ ἂν θέλητε, ταῦτα ποιῆτε.

Σάρκα ἐνταῦθα οὐ τὸ σῶμα λέγει· εἰ γὰρ τοῦτο φησὶ, πῶς ἔχει λόγον τὸ ἑξῆς εἰρημένον; ἐπιθυμεῖ γάρ, φησι, κατὰ τοῦ Πνεύματος, καὶ μὴν τοῦτο οὐ τῶν κινούντων, ἀλλὰ τῶν κινουμένων ἐστὶν, οὐ τῶν ἐνεργούντων, ἀλλὰ τῶν ἐνεργουμένων. ἡ γὰρ ἐπιθυμία, οὐ σαρκὸς ἀλλὰ ψυχῆς· καὶ γὰρ ἀλλαχοῦ ποῦ φησι "κατεπίθυ-" "μός ἐστιν ἡ ψυχή μου" καὶ "τί ἐπιθυμεῖ ἡ ψυχή σου καὶ ποιήσω" "σοι·" καὶ "πορεύου κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου·" καὶ πάλιν "οὕτως ἐπιθυμεῖ ἡ ψυχή μου." οἶδεν οὖν σάρκα καλεῖν οὐ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ καὶ τὴν πονηρὰν προαίρεσιν, ὡς ὅταν λέγῃ, "ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ᾽ ἐν Πνεύματι." καὶ πάλιν, "οἱ" "δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται," ἀλλὰ καὶ αὐτὸ τοῦτό φησι κατηγορία τοῦ σώματος τὸ τὰ ἁμαρτήματα τῆς ψυχῆς σαρκὸς ὀνόματι καλεῖσθαι. ἐγὼ δὲ ὁμολογῶ μὲν ἐλάττονα

εἶναι τῆς ψυχῆς τὴν σάρκα καὶ αὐτὴν δὲ καλήν· τὸ γὰρ ἔλαττον τοῦ καλοῦ καὶ αὐτὸ καλόν· τὸ δὲ κακὸν οὐκ ἔλαττον τοῦ καλοῦ, ἀλλ' ἐναντίον· σὺ δὲ εἰ μὲν ἔχεις δεῖξαι ἀπὸ τοῦ σώματος μόνον κατασκευαζομένην τὴν κακίαν, κατηγόρει τῆς σαρκός· εἰ δὲ ἀπὸ τῆς προσηγορίας διαβάλλειν ἐπιχειρεῖς, ὥρα σε καὶ τῆς ψυχῆς κατηγορεῖν. Καὶ γὰρ ψυχικὸς ἄνθρωπος λέγεται ὁ τῆς ἀληθείας ἐστερημένος, καὶ πνευματικὰ πονηρίας λέγεται τὰ τῶν δαιμόνων πλήθη. τῷ δὲ τῆς σαρκὸς ὀνόματι πάλιν καὶ τὰ μυστήρια καλεῖν εἴωθεν ἡ γραφὴ, καὶ τὴν ἐκκλησίαν πᾶσαν σῶμα λέγουσιν εἶναι τοῦ Χριστοῦ. Εἰ δὲ βούλει καὶ κατορθώματα μαθεῖν τὰ δι' αὐτῆς γινόμενα, σβέσον τῷ λόγῳ τὰς αἰσθήσεις καὶ ἔρημον ὄψει τὴν ψυχὴν γνώσεως ἁπάσης καὶ οὐδὲν εἰδυῖαν ὧν οἶδεν. Εἰ δὲ λέγει, "ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος," περὶ δύο φησὶ λογισμῶν. Οὗτοι γὰρ ἀλλήλοις ἀντίκεινται, ἡ ἀρετὴ καὶ ἡ κακία, οὐχ ἡ ψυχὴ καὶ τὸ σῶμα, εἰ γὰρ ταῦτα ἀλλήλοις ἀντίκεινται, ἀλλήλων ἐστὶν ἀναιρετικὰ, ὡς τὸ πῦρ τοῦ ὕδατος, καὶ τὸ φῶς τοῦ σκότους· εἰ δὲ ἐπιμελεῖται σώματος ψυχὴ, καὶ πολλὴν αὐτοῦ ποιεῖται πρόνοιαν, καὶ μυρία πάσχει ὥστε αὐτὸ μὴ καταλιπεῖν, πῶς ἂν ἐναντία ταῦτα εἴη; οὐ τοίνυν περὶ τούτων φησὶν, ἀλλὰ λογισμῶν πονηρῶν καὶ ἀγαθῶν μάχην εἰσάγει· τὸ γὰρ θέλειν καὶ μὴ θέλειν, τῆς ψυχῆς. Διὰ τοῦτό φησι· "ταῦτα δὲ ἀλλήλοις "ἀντίκειται," ἵνα μὴ συγχωρήσῃς τῇ ψυχῇ πορεύεσθαι ἐν ταῖς ἐπιθυμίαις αὐτῆς ταῖς πονηραῖς.

(Θεόδωρος.) Ἄλλος δέ φησιν, ἀναιρετικὸν μὲν θνητότητος ἀθανασία, ἀθανασία δὲ θνητότητος· οὐδὲ γὰρ συμφωνεῖ ταῦτα ἀλλήλοις· ὅθεν οὐδὲ ἡμῖν ἔξεστι ποιεῖν ἅπερ βουλόμεθα, ἐπεὶ μηδὲ δυνατὸν ἐν ἐκείνοις ὄντας τὰ τῆς θνητότητος πράττειν· τὸ γὰρ ἵνα οὐκ ἐπὶ αἰτίας εἶπεν, ἀλλ' ὡς ἀκόλουθον κατὰ τὸ οἰκεῖον ἰδίωμα.

(Σετηριανός.) Ἄλλος πάλιν ὧδε λέγει, ζητεῖται διατί νόμον ἀποσπῶν μέμνηται τῆς ἁμαρτίας· ἐπειδὴ τρυφᾶν ἐκέλευεν ὁ νόμος· διὰ δὲ τούτου διερεθίζεται ἡ ἐπιθυμία, καὶ ἀκατάσχετος οὖσα πρὸς ἁμαρτίαν ἄγει, τούτου ἕνεκεν ὅτε νόμου ἦν μνήμη, ταῦτα λέγει· καὶ γὰρ ἐν τῇ πρὸς Ῥωμαίους τοῦ νόμου μνημονεύων, καὶ τῆς διὰ τοῦ Κυρίου διορθώσεως, εἰσήγαγε τὸ "οἱ γὰρ

"κατὰ σάρκα ζῶντες, Θεῷ ἀρέσαι οὐ δύνανται·" διατί δὲ συνεχωρήθη τὸ τρυφᾶν καὶ ἐσθίειν; ὅτι ἡ τῶν ὡμολογημένων κακῶν ἀποχὴ, οὐκ ἂν προεχώρησεν, εἰ μὴ ἐνεδόθη αὐτοῖς τὸ ἐσθίειν καὶ πίνειν· ᾔδει μὲν γὰρ ὁ νομοθέτης, ὅτι ἀδύνατον τρυφῶντας κρατεῖν ἡδονῶν· τέως δὲ ἠθέλησε τὸν νοῦν παιδεῦσαι, ἵνα γνῷ τί καλὸν καὶ τί κακὸν, καὶ τί τὸ εὐσεβές· προεώρα γὰρ ὅτι ἔμελλεν ἔρχεσθαι ὁ τὸ λεῖπον τῷ νόμῳ προστιθεὶς, λέγω δὴ τὸ μὴ κατὰ σάρκι περιπατεῖν, ὡς λέγει ὁ Παῦλος

18 Εἰ δὲ Πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

Χρυσοστόμου. Ὁ Πνεῦμα ἔχων ὡς χρὴ, σβέννυσι διὰ τούτου πονηρὰν ἐπιθυμίαν ἅπασαν· ὁ δὲ τούτων ἀπαλλαγεὶς, οὐ δεῖται τῆς ἀπὸ τοῦ νόμου βοηθείας, ὑψηλότερος πολλῷ τῆς ἐκείνου παραγγελίας γενόμενος· ὁ γὰρ μὴ ὀργιζόμενος, πῶς δεῖται ἀκούειν, "οὐ φονεύσεις;" ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς, πῶς χρήζει τοῦ παιδεύοντος μὴ μοιχεύειν; τίς γὰρ διαλέξεται περὶ τοῦ καρποῦ τῆς κακίας τῷ τὴν ῥίζων αὐτὴν ἀνασπάσαντι; ἐνταῦθα δέ μοι δοκεῖ καὶ ἐγκώμιον τοῦ νόμου μέγα εἰρηκέναι καὶ θαυμαστὸν, εἴγε ἐν τάξει τοῦ Πνεύματος ὁ νόμος ἦν, κατὰ δύναμιν τὴν ἑαυτοῦ πρὸ τῆς τοῦ Πνεύματος ἐπιφοιτήσεως· οὐ μὴν διὰ τοῦτο ἐναπομένειν χρὴ τῷ παιδαγωγῷ· τίς γὰρ χρεία νόμου, τῷ οἴκοθεν κατορθοῦντι τὰ μείζω;

21 Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, φαρμακεία, εἰδωλολατρεία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐρίθειαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι τὰ τοιαῦτα πράσσοντες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν.

Τί λέγεις ἐνταῦθα λοιπὸν, ὁ τῆς σαρκός σου κατηγορῶν, καὶ νομίζων ὡς περὶ ἐχθρᾶς καὶ πολεμίας ταῦτα εἰρῆσθαι; ἔστω γὰρ ἡ μοιχεία καὶ ἡ πορνεία σαρκὸς καθ' ἡμᾶς· αἱ ἔχθραι καὶ αἱ ἔρεις καὶ οἱ ζῆλοι, καὶ οἱ ἐρέθειαι, καὶ αἱ φορμακεῖαι, τίνος ἂν εἶεν; προαιρέσεως γὰρ ταῦτα διεφθαρμένης μόνον· ὥσπερ οὖν καὶ τὰ ἄλλα, πῶς ἂν εἶεν σαρκός; ὁρᾷς ὅτι οὐ τὴν σάρκα λέγει

ἐνταῦθα, ἄλλα τὸν γεώδη λογισμόν; διὸ καὶ φοβεῖ λέγων, ὅτι "οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν." εἰ δὲ φύσεως ταῦτα πονηρᾶς καὶ οὐ προαιρέσεως πονηρᾶς, περιττῶς εἶπε "πράσσουσιν," οὐ γὰρ πράσσουσιν, ἀλλὰ πάσχουσι. τίνος δὲ ἕνεκεν βασιλείας ἐκπιπτεύουσιν; οὐδὲ γὰρ τῶν φύσει, ἀλλὰ τῶν ἐν προαιρέσει καὶ οἱ στέφανοι καὶ αἱ κολάσεις· διὸ καὶ ταῦτα ἠπείλησεν ὁ Παῦλος.

22 Ὁ γὰρ καρπὸς τοῦ Πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη.

Καὶ οὐκ εἶπε τὸ ἔργον τοῦ Πνεύματος, ἀλλ' "ὁ καρπός·" οὐκοῦν ἡ ψυχὴ περιττή· εἰ γὰρ περὶ σαρκὸς καὶ Πνεύματος ὁ λόγος, ποῦ ἡ ψυχή; οὐδαμῶς περιττὴ ἡ ψυχὴ, καὶ γὰρ ἡ ἐγκράτεια τῶν παθῶν ταύτης, καὶ περὶ αὐτήν· καὶ ἐν μέσῳ κειμένη κακίας καὶ ἀρετῆς, ἂν μὲν εἰς δέον χρήσηται τῷ σώματι, πνευματικὸν αὐτὸ κατειργάσατο· ἂν δὲ καὶ ἀποστῇ μὲν τοῦ Πνεύματος, ἐκδῷ δὲ ἑαυτὴν τοῖς πονηραῖς ἐπιθυμίαις, γεωδέστεραν αὐτὴν κατεσκεύασεν· ὁρᾷς πανταχόθεν πῶς οὐ περὶ οὐσίας ὁ λόγος αὐτῷ νῦν σαρκὸς, ἀλλὰ περὶ προαιρέσεως μοχθηρᾶς καὶ οὐ τοιαύτης; διατί δὲ καρπὸν καλεῖ τοῦ Πνεύματος; ὅτι τὰ μὲν πονηρὰ ἔργα ἐξ ἡμῶν γίνεται μόνον· διὸ καὶ ἔργα καλεῖ· τὰ δὲ καλὰ οὐ τῆς ἡμετέρας ἐπιμελείας δεῖται μόνον ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας· εἶτα μέλλων αὐτὰ διηγεῖσθαι, τὴν ῥίζαν τίθησι πρῶτον τῶν ἀγαθῶν οὕτω λέγων,

Ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγα-
23 θωσύνη, πίστις, πραότης, ἐγκράτεια· κατὰ τῶν τοιού-
των, οὐκ ἔστι νόμος.

Τί γὰρ ἄν τις ἐπιτάξειε τῷ πάντα ἔχοντι παρ' ἑαυτῷ, καὶ διδάσκαλον καλὸν ἀπηρτισμένον κεκτημένῳ τῆς φιλοσοφίας τὴν ἀγάπην; ὥσπερ γὰρ οἱ τῶν ἵππων εὐήνιοι καὶ ἀφ' ἑαυτῶν ἅπαντα πράττοντες οὐκ ἂν δεηθεῖεν μάστιγος, οὕτω καὶ ψυχὴ κατορθοῦσα τὴν ἀρετὴν ἀπὸ Πνεύματος, οὐ δεῖται τοῦ νουθετοῦντος νόμου· πάνυ δὲ καὶ ἐνταῦθα θαυμαστῶς τὸν νόμον ἐξέβαλεν· οὐχ ὡς φαῦλον, ἀλλ' ὡς ἐλάττονα τῆς δεδομένης παρὰ τοῦ Πνεύματος φιλοσοφίας.

24 Οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις.

Ἵνα γὰρ μὴ λέγωσι, καὶ τίς ἐστι τοιοῦτος; δείκνυσιν ἐπὶ τῶν ἔργων τοὺς τὰ τοιαῦτα κατορθοῦντας· σάρκας πάλιν ἐνταῦθα τὰς πονηρὰς πράξεις καλῶν· οὐ γὰρ δὴ τὴν σάρκα ἀνεῖλεν· ἐπεὶ πῶς ἔμελλον ζῇν; τὸ γὰρ ἐσταυρωμένον, νεκρόν ἐστι καὶ ἀνενέργητον· ἀλλὰ τὴν ἀκριβῆ φιλοσοφίαν δηλῶν· ἐπεὶ οὖν τοῦ Πνεύματος τοσαύτη ἡ ἰσχὺς, ἐκείνῳ ζῶμεν, ἐκείνῳ ἀρκούμεθα· διὸ καὶ αὐτὸς ἐπάγει λέγων,

25 Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν.

Κατὰ τοὺς ἐκείνου νόμους πολιτευόμενοι· τοῦτο γάρ ἐστι τὸ "στοιχῶμεν" τουτέστιν, ἀρκεσθῶμεν τῇ τοῦ Πνεύματος δυνάμει, καὶ μὴ ἐπιζήτωμεν τὴν ἀπὸ τοῦ νόμου προσθήκην· εἶτα δεικνὺς ἐκείνους τοὺς ἐπεισάγοντας τὴν περιτομὴν διὰ φιλοτιμίαν τοῦτο ποιοῦντας, φησὶ,

26 Μὴ γινώμεθα κενόδοξοι· ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

Εἰς φιλονεικίαν δηλονότι καὶ ἔρεις ἀλλήλοις φθονοῦντες· ἀπὸ γὰρ κενοδοξίας φθόνος, καὶ ἀπὸ φθόνου, τὰ μυρία ταῦτα κακά.

1 Ἀδελφοὶ ἐὰν καὶ προλήφθῃ ἄνθρωπος ἔν τινι παραπτώματι.

Ἐπειδὴ γὰρ ἐπιτιμήσεως προσχήματι τὰ αὐτῶν ἐξεδίκουν πάθη, καὶ ἐδόκουν μὲν ἁμαρτημάτων ἕνεκεν τοῦτο ποιεῖν· τὴν δὲ αὐτῶν φιλαρχίαν στῆσαι ἐβούλοντο, φησὶν, "ἀδελφοὶ, ἐὰν καὶ "προληφθῇ·" οὐκ εἶπεν ἐὰν πράξῃ, ἀλλ' "ἐὰν καὶ προληφθῇ·" τουτέστιν, ἐὰν συναρπαγῇ.

Ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον.

Οὐκ εἶπε μὴ καταδικάζητε, ἀλλὰ διορθοῦτε· καὶ οὐδὲ ἐνταῦθα ἔστη· ἀλλὰ δεικνὺς ὅτι σφόδρα αὐτοὺς ἡμέρους εἶναι δεῖ τοῖς ὑποσκελιζομένοις, οὕτως ἐπήγαγεν.

Ἐν Πνεύματι πραΰτητος.

Οὐκ εἶπεν ἐν πραότητι, ἀλλ' "ἐν Πνεύματι πραότητος," δηλῶν, ὅτι καὶ τῷ Πνεύματι τοῦτο δοκεῖ· καὶ τὸ δύνασθαι μετὰ

ἐπιεικείας διορθοῦν τοὺς ἁμαρτάνοντας, χαρίσματός ἐστι πνευματικοῦ· εἶτα ἵνα μὴ ἐπαρθῇ ὁ διορθῶν ἕτερον, καὶ αὐτὸν ὑπὸ τὸν αὐτὸν φόβον ἔθηκεν οὕτως εἰπών,

Σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς.

Ὥσπερ γὰρ οἱ πλουτοῦντες ἐράνους τοῖς δεομένοις εἰσφέρουσιν· ἵνα εἴποτε καὶ αὐτοὶ περιπέσοιεν πενίᾳ, τῶν αὐτῶν ἐπιτύχωσιν, οὕτω καὶ ἡμᾶς ποιεῖν χρή· διὸ καὶ τὴν αἰτίαν ἀναγκαίαν τίθησι λέγων, "σκοπῶν σεαυτὸν, μὴ καὶ σὺ πειρασθῇς·" καὶ ἀπολογεῖται ὑπὲρ τοῦ ἡμαρτηκότος· πρῶτον μὲν εἰπὼν, "ἐὰν καὶ προληφθῇ·" δεύτερον, "καὶ ἄνθρωπος·" τὸ τῆς πολλῆς ἀσθενείας ὄνομα· εἶτα "μὴ καὶ σὺ πειρασθῇς·" δαίμονος ἐπήρειαν μᾶλλον, ἢ ψυχῆς ῥαθυμίαν αἰτιώμενος.

2 Ἀλλήλων τὰ βάρη βαστάζετε.

Ἐπειδὴ γὰρ οὐκ ἔστιν ἄνθρωπον χωρὶς ἁμαρτήματος εἶναι, παραινεῖ μὴ ἀκριβεῖς ἐξεταστὰς γίνεσθαι τῶν ἑτέροις πεπλημμελημένων, ἀλλὰ καὶ φέρειν τὰ τῶν πλησίον ἐλαττώματα, ἵνα καὶ τὰ αὐτοῦ φέρηται παρ᾽ ἑτέρων· ὁ γὰρ ἐκ τοῦ κοινοῦ γινόμενος ἔρανος καὶ σῶμα καὶ οἰκοδομὴν συνίστησιν.

Καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Τουτέστι, κοινῇ πάντες πληρώσατε δι᾽ ὧν ἀλλήλους φέρετε· οὕτως γὰρ ἀλλήλοις χεῖρα ὀρέγοντες, ἐν οἷς μέλλετε καταπίπτειν, δι᾽ ἀλλήλων κοινῇ πληρώσατε τὸν νόμον· τὸ λεῖπον τῷ πλησίον ἀναπληρῶν ἕκαστος διὰ τῆς οἰκείας ὑπομονῆς· ὥσπερ γὰρ ἐν τῷ σώματι, εἰ τὴν αὐτὴν τίς ἀπαιτοίη παρὰ πάντων χρείαν, οὐδέποτε τὸ σῶμα στήσεται, οὕτως καὶ ἐπὶ τῶν ἀδελφῶν πολὺς ἔσται πόλεμος, εἰ παρὰ πάντων πάντα ἐπιζητοίημεν.

(Θεόδωρος.) *Ἄλλος δέ φησι, νόμον Χριστοῦ τὴν ἀγάπην φησίν· ἀλλὰ καὶ κοινωνῆσαι αὐτῷ τοῦ φορτίου ὀφείλεις· τοῦτο δὲ γίνεται, ὅταν διὰ παραινέσεως καὶ χρηστότητος ἐπικουφίζῃς αὐτῷ τὴν ψυχὴν, ὑπὸ τῆς τοῦ ἁμαρτήματος συνειδήσεως βεβαρημένην.*

3 Εἰ γάρ τις δοκεῖ εἶναί τι, μηδὲν ὢν, ἑαυτὸν φρεναπατᾷ.

Πάνυ ἐνταῦθα τὴν ἀπόνοιαν κατακόπτει· ὁ γὰρ δοκῶν εἶναί τι,

οὐδέν ἐστι· πρῶτον τῆς εὐτελείας αὐτοῦ δεῖγμα φέρων τὴν τοιαύτην ὑπόνοιαν.

4 Τὸ δὲ ἔργον δοκιμαζέτω ἕκαστος.

Ἐνταῦθα δείκνυσιν ὅτι δεῖ βίου ἐξεταστὰς εἶναι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀκριβείας δοκιμάζειν τὰ πεπραγμένα ἡμῖν· καθάπερ γὰρ τὸ χρυσίον δοκεῖ μὲν εἶναι λαμπρὸν πρὸ τοῦ χωνευτηρίου· ὅταν δὲ αὐτὸ παραδῷς τῷ πυρὶ, τότε ἀκριβῶς διαδείκνυται, τοῦ νόθου παντὸς ἀπὸ τοῦ γνησίου χωριζομένου, οὕτω καὶ τὰ ἡμέτερα ἔργα, ὅταν μετὰ ἀκριβείας ἐξετάζωμεν, τότε σαφῶς ἐκκαλυφθήσεται, καὶ πολλῶν ὀψόμεθα ἑαυτοὺς ὑπευθύνους ὄντας ἐγκλήμάτων, καὶ τότε εἰς ἑαυτὸν τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον· ταῦτα οὐ νομοθετῶν φησὶν, ἀλλὰ συγκαταβαίνων· ὡσανεὶ ἔλεγεν, ἄτοπον μὲν τὸ καυχᾶσθαι· εἰδ' ἄρα βούλει, μὴ κατὰ τοῦ πλησίον ὡς ὁ Φαρισαῖος· ὁ γὰρ τοῦτο παιδευθεὶς, καὶ ἐκείνου ἀποστήσεται ταχέως· διὸ καὶ τοῦτο συνεχώρησεν, ἵνα τὸ περιττὸν κατὰ μικρὸν ἐξέλῃ· ὁ γὰρ συνεθισθεὶς εἰς ἑαυτὸν μόνον καυχᾶσθαι καὶ μὴ κατὰ ἄλλων, ταχέως καὶ τοῦτο διορθώσεται τὸ ἐλάττωμα· ὅταν γὰρ μὴ νομίσῃ τῶν ἄλλων ἑαυτὸν εἶναι βελτίονα· τοῦτο γάρ ἐστιν οὐκ εἰς τὸν ἕτερον· ἀλλ' ἑαυτὸν καθ' ἑαυτὸν ἐξετάζων ἁβρύνηται, παύσεται ὕστερον καὶ τοῦτο ποιῶν· καὶ ἵνα μάθῃς ὅτι τοῦτο βούλεται κατασκευάσαι, ὅρα πῶς αὐτὸν συστέλλει τῷ φόβῳ· ἀνωτέρω μὲν εἰπὼν "δοκιμαζέτω τὸ ἔργον αὐτοῦ," ἐνταῦθα δὲ ἐπάγων,

5 Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει.

Δοκεῖ μὲν γὰρ τιθέναι λογισμὸν κωλύοντα καθ' ἑτέρου καυχᾶσθαι, διορθοῦται δὲ τὸν καυχώμενον, ὥστε μηδὲ αὐτὸν μέγα φρονεῖν· εἰς ἐννόησιν ἄγων αὐτὸν τῶν οἰκείων ἁμαρτημάτων, καὶ τοῖς ὀνόμασι τοῦ φορτίου καὶ τῆς ἀχθοφορίας πιέζων αὐτοῦ τὸ συνειδός.

6 Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς.

Ἐνταῦθα περὶ τῶν διδασκάλων λοιπὸν ὁ λόγος αὐτῷ, ὥστε πολλῆς ἀπολαύειν παρὰ τῶν μαθητευομένων θεραπείας· καὶ τίνος ἕνεκεν οὕτως ἐνομοθέτησεν ὁ Χριστός; καὶ γὰρ ἐν τῇ καινῇ οὕτος

κεῖται ὁ νόμος, ὥστε τοὺς εὐαγγελίου καταγγέλλοντας, ἐκ τοῦ εὐαγγελίου ζῆν· καὶ ἐν τῇ παλαιᾷ δὲ ὁμοίως πολλαὶ τοῖς Λευΐταις παρὰ τῶν ἀρχομένων ἦσαν αἱ πρόσοδοι· τίνος οὖν ἕνεκεν ταῦτα διεπράξατο; ταπεινοφροσύνης καὶ ἀγάπης ὑπόθεσιν προαποτιθέμενος· ἐπειδὴ γὰρ τὸ διδασκαλικὸν ἀξίωμα πολλάκις φυσᾷ τοὺς ἔχοντας, καταστέλλων αὐτῶν τὸ φρόνημα, εἰς ἀνάγκην κατέστησε τοῦ δεῖσθαι τῶν μαθητευομένων· κἀκείνους πάλιν εἰς ἀφορμὴν ἤγαγε τοῦ πρὸς εὐποιΐαν εὐκολωτέρους γίνεσθαι· γυμνάζων αὐτοὺς ἐν τῇ περὶ τοὺς διδασκάλους εὐνοίᾳ, καὶ περὶ τοὺς ἄλλους ἡμέρους εἶναι, ὅπερ καὶ ἀγάπην οὐ μικρὸν εἰργάζετο ἑκατέρῳ τῷ μέρει· διὰ τοῦτο δὲ καὶ κοινωνίαν τὸ πρᾶγμα καλεῖ, δεικνὺς ἀντίδοσιν γινομένην· ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγεν, "εἰ "ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, μέγα εἰ ἡμεῖς ὑμῶν "τὰ σαρκικὰ θερίσωμεν;" μείζονα γὰρ ὁ μαθητὴς λαμβάνει ἢ δίδωσι· καὶ τοσούτῳ μεῖζον, ὅσῳ τῶν γηΐνων τὰ ἐπουράνια ἀμείνω. εἶτα, ἵνα μὴ πονηρία διδασκάλου ὀκνηρότερον περὶ ταῦτα ποιῇ τὸν μαθητὴν, καὶ πένητα ὄντα παρατρέχῃ πολλάκις διὰ τὸν τρόπον, προϊὼν μέν φησι· "τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκάκωμεν·" ἐνταῦθα δὲ τὸ μέσον τῆς τοιαύτης καὶ τῆς ἐν τοῖς βιωτικοῖς φιλοτιμίας δείκνυσιν οὕτω λέγων,

7 Μὴ πλανᾶσθε, Θεὸς οὐ μυκτηρίζεται· ὃ γὰρ ἐὰν
8 σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· ὅτι ὁ σπείρων εἰς
τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς θερίσει φθοράν· ὁ δὲ
σπείρων εἰς τὸ Πνεῦμα, ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν
αἰώνιον.

Ὥσπερ γὰρ ἐπὶ τῶν σπερμάτων, δεῖ τοῦ αὐτοῦ γένους εἶναι καὶ τὸν σπόρον καὶ τὸν ἄμητον, οὕτως καὶ ἐν τοῖς ἔργοις ὁ καταβάλλων εἰς τὴν σάρκα, τρυφὴν, μέθην, ἐπιθυμίαν ἄτοπον, τὰ ἐκ ταύτης ἀμήσει· τίνα δέ ἐστι ταῦτα; κόλασις, τιμωρία, αἰσχύνη, γέλως, φθορά· τῶν γὰρ πολυτελῶν τραπεζῶν οὐδὲν ἕτερον τὸ τέλος, ἢ φθορά· καὶ γὰρ αὐτὸ φθείρεται καὶ συμφθείρει τὸ σῶμα· τὰ δὲ τοῦ Πνεύματος, οὐ τοιαῦτα· ἀλλ' ἀπεναντίας ἅπαντα τούτοις.

(Σετηριανός.) Ἄλλος δέ φησι, ἐδήλωσεν ἐκ τούτου, ὅτι πολλοὶ

ἀκαίρως μὲν ἀνήλισκον, παρέχοντες τοῖς τηρεῖν νόμον παρακελευομένοις, τοῖς δὲ τὴν Παύλου διδασκαλίαν κηρύττουσιν, οὐδὲν παρεῖχον· διὸ φησίν, "ὁ σπείρων εἰς τὴν σάρκα αὐτοῦ·" ὁ γὰρ νόμῳ ὑποκείμενος, ἐν τοῖς σαρκικοῖς ζῇ· ὁ τοίνυν τῷ ταῦτα διδάσκοντι παρέχων, εἰς τὴν σάρκα σπείρει μόνον.

9 Τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκάκωμεν· καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι. ἄρ' οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ καλὸν πρὸς πάντας μέν, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως.

Ἵνα γὰρ μηδεὶς νομίσῃ, ὅτι διδασκάλων μὲν ἐπιμελεῖσθαι δεῖ, καὶ τρέφειν αὐτούς, τῶν δὲ ἄλλων ἀμελεῖν, εἰς κοινὸν ἐξάγει τὸν λόγον, καὶ πᾶσιν αὐτοῖς τὴν θύραν τῆς τοιαύτης ἀνοίγνυσι φιλοτιμίας· καὶ τοσαύτην ποιεῖται τὴν ὑπερβολήν, ὡς καὶ Ἰουδαίους καὶ Ἕλληνας κελεύειν ἐλεεῖν· μετὰ προσηκούσης μὲν τάξεως, ἐλεεῖν δ' οὖν ὅμως. τίς δὲ ἡ τάξις; τὰ πλείονα περὶ τοὺς πιστοὺς ἐπιδείκνυσθαι τὴν πρόνοιαν φιλοτίμως καὶ διηνεκῶς· καὶ γὰρ τοῦ καιροῦ τὸ ὄνομα, καὶ τὸ μὴ δεῖν ἐκκακεῖν, τοῦτο αἰνίττεται· εἶτα ἐπειδὴ μέγα ἀπήτησε, καὶ τὸ ἔπαθλον ἐπὶ θύραις τίθησιν ἀμήτου μεμνημένος καινοῦ τινὸς καὶ παραδόξου. ἐπὶ μὲν γὰρ τῶν γηπόνων, οὐχ ὁ σπείρων μόνον, ἀλλὰ καὶ ὁ θερίζων πολὺν ὑπομένει τὸν πόνον, αὐχμῷ καὶ κονιορτῷ καὶ πολλῇ μαχόμενος ταλαιπωρίᾳ· τότε δὲ, οὐδὲν τούτων ἔνι φησίν· ὃ καὶ παραδηλῶν ἔλεγε· "καιρῷ "γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι." καὶ ἐντεῦθεν μὲν αὐτοὺς προτρέπει καὶ ἐφέλκεται, ἑτέρωθεν δὲ κατεπείγει καὶ συνωθεῖ λέγων, "ἄρα οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθόν." ὥσπερ γὰρ οὐκ ἀεὶ τοῦ σπείρειν ἐσμὲν κύριοι· οὕτως οὐδὲ τοῦ ἐλεεῖν· ὅταν γὰρ ἐντεῦθεν ἀπενεχθῶμεν, κἂν μυριάκις βουλήθωμεν, οὐδὲν περανοῦμεν πλέον· διό φησιν, "ὡς καιρὸν ἔχομεν, ἐργαζώ"μεθα τὸ ἀγαθόν," πρὸς πάντας, καὶ ταύτῃ μάλιστα ἀπαλλάττων τῆς Ἰουδαϊκῆς ταπεινότητος· ἐκείνοις μὲν γὰρ τὰ τῆς φιλανθρωπίας ἅπαντα πρὸς τοὺς ὁμοφύλους ἦν· ἡ δὲ τῆς χάριτος φιλοσοφία, γῆν ὁμοῦ καὶ θάλατταν ἐπὶ τὴν τῆς ἐλεημοσύνης καλεῖ τράπεζαν· εἰ καὶ πλείονα περὶ τοὺς οἰκείους τὴν σπουδὴν ἐπιδείκνυται.

ΚΕΦ. ΙΒ.

Ἀποτροπὴ ἀπὸ τῶν ἑλκόντων ἐπὶ τὴν περιτομὴν, καὶ προτροπὴ πρὸς νέαν ζωὴν τὴν ὑπὸ Πνεύματι.

11 Ἴδετε, πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί.

Εἰπὼν ὀλίγα περὶ αὐτῶν, πάλιν ἐπὶ τὰ πρότερα ἐπανέρχεται, ἃ μάλιστα αὐτοῦ τὴν ψυχὴν διετάραττεν. αἰνίττεται δὲ οὐδὲν ἕτερον, ἀλλ' ὅτι αὐτὸς ἔγραψε τὴν Ἐπιστολὴν ἅπασαν, ὃ πολλῆς γνησιότητος σημεῖον ἦν· ἐποίησε δὲ τοῦτο ἐνταῦθα, οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ διὰ τὴν τῆς πονηρᾶς ὑπονοίας ἀναίρεσιν· ἐπειδὴ γὰρ διεβάλλετο ἐπὶ πράγμασιν οἷς οὐδὲν ἐκοινώνει, καὶ ἐλέγετο περιτομὴν καταγγέλλειν καὶ ὑποκρίνεσθαι ὡς καταγγέλλων, διὰ τοῦτο ἠναγκάσθη ἰδιόγραφον ποιήσασθαι τὴν Ἐπιστολὴν, μαρτυρίαν ἔγγραφον προαποτιθέμενος· τὸ δὲ "πηλίκοις," ἐμοὶ δοκεῖ οὐ τὸ μέγεθος, ἀλλὰ τὴν ἀμορφίαν τῶν γραμμάτων ἐμφαίνων λέγειν, μονονουχὶ λέγων [h]· ὅτι οὐδὲ ἄριστα γράφειν εἰδὼς, ὅμως ἠναγκάσθην δι' ἐμαυτοῦ γράψαι, ὥστε τῶν συκοφαντῶν ἐμφράξαι τὰ στόματα.

(Θεόδωρος.) Ἄλλος δέ φησι, μέλλων καθάπτεσθαι τῶν ἐναντίων, ἄγαν μείζοσιν ἐχρήσατο γράμμασιν, ἐμφαίνων ὅτι οὔτε αὐτὸς ἐρυθριᾷ, οὔτε ἀρνεῖται τὰ λεγόμενα.

12 Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκὶ, οὗτοι ἀναγ-
κάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ
13 τοῦ Χριστοῦ διώκωνται. οὐδὲ γὰρ οἱ περιτεμνόμενοι
νόμον φυλάσσουσιν· ἀλλὰ θέλουσι περιτέμνεσθαι ὑμᾶς,
ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται.

Ἐνταῦθα δείκνυσιν, οὐχ ἑκόντας αὐτοὺς τοῦτο ὑπομένοντας, ἀλλ' ἀναγκαζόμενους· παρέχων αὐτοῖς ἀφορμὴν ἀναχωρήσεως, καὶ σχεδὸν ὑπὲρ αὐτῶν ἀπολογούμενος. τί δὲ ἐστὶν εὐπροσωπεῖν ἐν σαρκί; εὐδοκιμεῖν παρ' ἀνθρώποις. ἐπειδὴ γὰρ ὠνειδίζοντο παρὰ

[h] ὁμοίως καὶ Εὐσέβιος in marg.

τοῖς Ἰουδαίοις, ὡς τῶν πατρῴων ἀποστάντες ἐθῶν, ἵνα μὴ ταῦτα ἐγκαλῶνται, φησὶ, βούλονται ὑμῖν λυμήνασθαι διὰ τῆς ὑμετέρας σαρκὸς, ἐκείνοις ἀπολογούμενοι· ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ διὰ Θεὸν ταῦτα ἔπραττον· εἶτα δεικνὺς ὅτι καὶ ἑτέρωθεν συγγνώμης εἰσὶν ἀπεστερημένοι, διελέγχει πάλιν αὐτοὺς, οὐ διὰ τὴν εἰς ἑτέρους ἀρέσκειαν μόνον, ἀλλὰ καὶ δι' οἰκείαν κενοδοξίαν ταῦτα ἐπιτάττοντας· διὸ καὶ ἐπήγαγεν, "ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυ- "χήσωνται," ὡς μαθητὰς ἔχοντες. καὶ τίς ἡ τούτων ἀπόδειξις; οὐδὲ γὰρ αὐτοί, φησι, νόμον φυλάττουσι· μάλιστα μὲν γὰρ εἰ καὶ ἐφύλαττον, καὶ οὕτως ἄξιοι κατηγορίας· νυνὶ δὲ καὶ ὁ σκοπὸς αὐτῶν διεφθαρμένος ἐστίν.

(Ετσέβιος.) *Ἄλλως δέ φησι, τοῦ νόμου ἔχοντος τὴν ἀπόφασιν, ὅτι ἐπικατάρατος ὁ μὴ ἐμμένων πᾶσιν· ὁ οὖν μὴ τηρῶν πάντα, οὐ τετήρηκεν, "ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα τῇ ὑμετέρᾳ "σαρκὶ καυχήσωνται·" τουτέστιν ὅτι τὰ ἔθνη ἡμῖν ἀκολουθεῖ, καὶ μὴ ἀναγκασθῶσιν εἰπεῖν ὅτι τοῖς ἔθνεσι συνεθέμεθα, ἐκεῖνοι μὲν τοῦτο θέλουσιν εὐπροσωπῆσαι σαρκὶ καὶ καυχᾶσθαι· ἐγὼ δὲ τῇ ἐμῇ χειρὶ γράφω.*

14 Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Καὶ μὲν τὸ πρᾶγμα ἐπονείδιστον εἶναι δοκεῖ, ἀλλ' ἐν τῷ κόσμῳ καὶ παρὰ τοῖς ἀπίστοις· ἐν δὲ οὐρανοῖς καὶ παρὰ τοῖς πιστοῖς δόξα μεγίστη· καὶ γὰρ πενία ἐπονείδιστον, ἀλλ' ἡμῖν καύχημα· καὶ τὸ ἐξευτελίζεσθαι παρὰ πολλοῖς γέλως, ἀλλ' ἡμεῖς ἀβρυνόμεθα τούτῳ· οὕτω καὶ ὁ σταυρὸς ἡμῖν καύχημα. καὶ οὐκ εἶπεν, ἐγὼ δὲ οὐ καυχῶμαι· ἢ ἐγὼ δὲ οὐ βούλομαι καυχᾶσθαι, ἀλλ' "ἐμοὶ δὲ μὴ "γένοιτο·" ὥσπερ τι τῶν ἀτόπων ἀπηύξατο, καὶ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν ἐκάλεσεν εἰς τὸ κατορθῶσαι τοῦτο. καὶ τί ἐστι τὸ καύχημα τοῦ σταυροῦ; ὅτι Χριστὸς δι' ἐμὲ δούλου μορφὴν ἀνέλαβε, καὶ ἔπαθεν ἅπερ ἔπαθεν· ἐμὲ τὸν δοῦλον, τὸν ἐχθρὸν, τὸν ἀγνώμονα· ἀλλ' οὕτω με ἠγάπησεν, ὥστε καὶ ἑαυτὸν ἐκδοῦναι ἀρᾷ· τί τούτου γένοιτ' ἂν ἴσον; πῶς οὐ καυχᾶσθαι χρὴ, ὅταν ὁ δεσπότης, ὁ ἀληθὴς Θεὸς, μὴ ἐπαισχύνηται τὸν ὑπὲρ ἡμῶν σταυρόν; μὴ τοίνυν μηδὲ ἡμεῖς ἐπαισχυνώμεθα τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν.

Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ κόσμῳ.

Κόσμον νῦν οὐ τὸν οὐρανὸν φησὶν, οὐδὲ τὴν γῆν, ἀλλὰ τὰ βιωτικὰ πράγματα, τὸν ἔπαινον τὸν παρὰ τῶν ἀνθρώπων, τὴν δορυφορίαν, τὴν δόξαν, τὸν πλοῦτον, καὶ ὅσα τοιαῦτα. ταῦτα γάρ μοι νεκρὰ γέγονεν. τοιοῦτον εἶναι χρὴ τὸν Χριστιανὸν, ταύτην ἀεὶ τὴν φωνὴν περιφέρειν· οὐδὲ γὰρ ἠρκέσθη μόνον τῷ προτέρῳ τῆς νεκρώσεως τρόπῳ, ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν εἰπὼν, "κἀγὼ κόσμῳ·" διπλῆν τὴν νέκρωσιν αἰνιττόμενος καὶ λέγων, ὅτι ἐκεῖνα ἐμοὶ νεκρὰ, κἀγὼ ἐκείνοις· οὐδὲν τῆς νεκρότητος ταύτης μακαριώτερον· αὕτη γὰρ τῆς μακαρίας ζωῆς ἐστὶν ὑπόθεσις.

15 *Οὔτε γὰρ περιτομή τί ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ*
16 *καινὴ κτίσις. καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν,*
εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ.

Εἶδες σταυροῦ δύναμιν, εἰς ὅσον αὐτὸν ὕψος ἀνήγαγεν; οὐ γὰρ μόνον τὰ τοῦ κόσμου πράγματα ἐνέκρωσεν αὐτῷ πάντα, ἀλλὰ καὶ τῆς πολιτείας τῆς παλαιᾶς ἀνωτέρω πολλῷ κατέστησε· τί ταύτης τῆς ἰσχύος ἴσον; τὸν γὰρ ὑπὲρ τῆς περιτομῆς σφαττόμενον καὶ ἑτέρους σφάττοντα, τοῦτον ἔπεισεν ὁ σταυρὸς ἐν ἴσῳ τῇ ἀκροβυστίᾳ αὐτὴν ἀφέντα, ξένα τινὰ καὶ παράδοξα καὶ τὰ ὑπὲρ τοὺς οὐρανοὺς ἐπιζητεῖν πράγματα· καινὴν γὰρ κτίσιν ταύτην καλεῖ, τὴν καθ' ἡμᾶς πολιτείαν ταύτην, διά τε τὰ γενόμενα, διά τε τὰ ἐσόμενα· τὰ γεγενημένα μὲν, ὅτι ἡ ψυχὴ ἡμῶν παλαιωθεῖσα τῷ γήρᾳ τῆς ἁμαρτίας, ἀθρόως διὰ τοῦ βαπτίσματος ἀνενεώθη· διὸ καινὴν καὶ οὐρανίαν ἀπαιτούμεθα πολιτείαν· τὰ ἐσόμενα δὲ, ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ, καὶ πᾶσα ἡ κτίσις εἰς ἀφθαρσίαν μεταστήσεται μετὰ τῶν σωμάτων τῶν ἡμετέρων. μὴ τοίνυν μοι λέγε περιτομὴν, φησὶ, λοιπὸν, τὴν οὐδὲν δυναμένην· πῶς γὰρ αὕτη φανεῖται, πάντων ἐπὶ τοσοῦτον μεταβεβλημένων; ἀλλὰ τὰ καινὰ ζήτει πράγματα τὰ τῆς χάριτος· οἱ γὰρ ταῦτα διώκοντες, οὗτοι καὶ εἰρήνης καὶ φιλανθρωπίας ἀπολαύσονται· καὶ τῷ τοῦ Ἰσραὴλ ὀνόματι κυρίως ἂν καλοῖντο· οἱ γὰρ κυρίως Ἰσραὴλ τὸ εἶναι δυνάμενοι, οἱ τὸν κανόνα τοῦτον διατηροῦντες εἰσὶν, οἱ τῶν παλαιῶν ἀπεχόμενοι καὶ τὰ τῆς χάριτος διώκοντες.

(Σετηριανός.) Ἄλλος δέ φησι, ἵνα μὴ νομισθῇ ἀκροβυστίας ἀντιποιεῖσθαι, καὶ οὐχὶ περιτομῆς καὶ διαβολῆς πρόφασιν δῷ τοῖς ἀντιλέγουσι, κάλλιστα ἐπήγαγε τὸ τελευταῖον, "ὅτι οὔτε περι- "τομή τί ἰσχύει, οὔτε ἀκροβυστία·" καινὴν δὲ κτίσιν εἶπε, περὶ ἧς ἀλλαχοῦ, "εἴ τις ἐν Χριστῷ καινὴ κτίσις·" εἰ καινή, φησι, κτίσις, μὴ γίνου ὑπὸ νόμον· ὁ γὰρ ζῶν κατὰ νόμον, ἐν κόσμῳ ζῇ· ὁ δὲ ζῶν ἐν Χριστῷ, ἐν οὐρανοῖς πολιτεύεται· ἐσταύρωται οὖν ἐμοὶ κόσμος, κἀγὼ κόσμῳ.

Ἄλλος δὲ πάλιν φησὶν, οὐ περιτέμνεται ὁ Χριστιανὸς, οὐδὲ ἔστιν ἐν τῇ ἀκροβυστίᾳ τῇ Ἑλληνικῇ· ἔχει γὰρ ἰδίαν περιτομήν. μετὰ Ἰουδαίων οὐ περιτέμνεται, ἐπειδὴ ἔχει καλλίονα· μετὰ Ἑλλήνων δὲ οὐκ ἔστιν ἐν ἀκροβυστίᾳ, ὅτι ἔχει περιτομήν. ὁ οὖν οὔτε μετὰ Ἑλλήνων οὔτε μετὰ Ἰουδαίων, "καινὴ κτίσις, καὶ "ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσι" τῷ τῆς καινῆς κτίσεως, ὅσοι οὐδὲ Ἰουδαΐζουσιν οὐδὲ Ἑλληνίζουσιν, ἀλλὰ Χριστιανίζουσιν, "εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος." ἔλεος εἰς συγχώρησιν ἁμαρτημάτων· εἰρήνη εἰς συνάφειαν τὴν πρὸς Θεὸν, "καὶ ἐπὶ τὸν Ἰσραὴλ "τοῦ Θεοῦ·" ἀνάλαβε πάντα ἐκεῖνα τὰ τοιαῦτα. ὁ πᾶς νόμος ἐν ὑμῖν, ὅτι πληροῦτε τὸν νόμον τοῦ Χριστοῦ. καὶ τίς Ἰσραὴλ τοῦ Θεοῦ; ὡς τοῦ ποτε Ἰσραὴλ κληθέντος, μηκέτι ὄντος τοῦ Θεοῦ.

Ἄλλος δὲ ὧδε λέγει· "καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχή- "σουσιν," ἵνα εἴπῃ ὅτι πάντες οἱ κατὰ ταῦτα προῃρημένοι τυγχάνουσι τῶν παρ' αὐτοῦ καλῶν· τὴν μὲν εἰρήνην εἰπὼν, ὡς ἂν τότε πάσης λυομένης διαστάσεως, τὸ δὲ "ἔλεος," ἐπειδὴ φιλανθρωπίᾳ ἅπαντα ἡμῖν τὰ παρ' αὐτοῦ προσγίνεται ἀγαθά. ὅμοιον δέ ἐστι τὸ "χάρις ὑμῖν καὶ εἰρήνη," ἐπεὶ μηδὲ διαφέρει τὸ ἔλεος τῆς χάριτος.

17 Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω.

Ὡς γὰρ εἰς πολλοὺς καμάτους ἀπὸ τῆς ἐκείνων ἐμπεπτωκὼς κακίας, ἀπαλλασσέσθωσάν, φησι, καὶ μὴ γινέσθωσαν πρόξενοι καμάτων· ἐμὲ γὰρ ἀποστῆναι τῆς τοῦ Χριστοῦ ὁμολογίας, τῶν ἀδυνάτων· ὑπὲρ ἧς πολλὰ παθὼν, μικροῦ κατέστιγμαι τὸ σῶμα.

Ἄλλος δέ φησιν· ἐνταῦθα οὐχ ὡς καμὼν, οὐδὲ ὡς περικακήσας ταῦτα φθέγγεται. ὁ γὰρ πάντα ποιεῖν καὶ πάσχειν ὑπὲρ τῶν μαθητῶν αἱρούμενος, πῶς ἂν ἐξελύθη καὶ ἀνέπεσε νῦν; τίνος οὖν

ἕνεκεν ταῦτα φησίν; ἀναστέλλων αὐτῶν τὴν ῥάθυμον γνώμην, καὶ εἰς φόβον πλείονα ἐμβάλλων, καὶ πηγνὺς τοὺς παρ' αὐτοῦ τεθέντας νόμους, καὶ οὐ συγχωρῶν ἀεὶ κινεῖν αὐτούς.

Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν τῷ σώματί μου βαστάζω.

Οὐκ εἶπεν ἔχω, ἀλλὰ "βαστάζω." καὶ καθάπερ οἱ σημειοφόροι τῶν στρατιωτῶν, οὕτω καὶ αὐτὸς ἀγάλλεται τραύματα περιφέρων· διατί δὲ τοῦτο λέγει; παντὸς λόγου, πάσης φωνῆς λαμπρότερον, διὰ τούτων ἀπολογοῦμαι, φησὶ, πρὸς τοὺς ἀντιλέγοντας, καὶ λέγοντας ὑποκρίνεσθαί με τὸ δόγμα, καὶ πρὸς ἀνθρώπων ἀρέσκειαν τί λέγειν· οὐδὲ γὰρ εἴ τις στρατιώτην εἶδεν ἐκ παρατάξεως ἐλθόντα ᾑμαγμένον καὶ μυρία τραύματα ἔχοντα, δειλίας κρίνειν καὶ προδοσίας ἠνείχετο, τὸν ἐπὶ τοῦ σώματος τῆς ἀνδραγαθίας φέροντα τὴν ἀπόδειξιν. ἀρχόμενος μὲν οὖν τῆς Ἐπιστολῆς ἀπὸ τῆς ἀθρόας αὐτοῦ μεταβολῆς, τὴν ἀνυπόκριτον αὐτοῦ σαφῶς ἔδειξε γνώμην· τελευτῶν δὲ ἀπὸ τῶν ταύτης κινδύνων. εἶτα ἀπολογησάμενος διὰ πάντων σαφῶς, καὶ δείξας ὡς οὐδὲν εἶπε τῶν εἰρημένων θυμῷ καὶ ἀπεχθείᾳ, ἀλλ' ἀκίνητον ἔχει τὴν πρὸς αὐτοὺς φιλοστοργίαν, πάλιν αὐτὸ τοῦτο κατασκευάζει, εἰς εὐχὴν μυρίων γέμουσαν ἀγαθῶν κατακλείων τὸν λόγον, καὶ οὕτω λέγων,

18 Ἡ χάρις τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ὑμῶν, ἀδελφοί. ἀμήν.

Οὐκ εἶπεν ἁπλῶς μεθ' ὑμῶν ὡς ἐπὶ τῶν ἄλλων, ἀλλὰ "μετὰ "τοῦ πνεύματος ὑμῶν," ἀπάγων αὐτοὺς τῶν σαρκικῶν, καὶ πανταχοῦ δεικνὺς τοῦ Θεοῦ τὴν εὐεργεσίαν, καὶ ἀναμιμνήσκων τῆς χάριτος ἧς ἀπήλαυσαν· δι' ἧς πάσης αὐτοὺς ἱκανὸς ἦν Ἰουδαϊκῆς ἀπαγαγεῖν πλάνης· τό τε γὰρ Πνεῦμα λαβεῖν, οὐ τῆς νομικῆς ἦν πτωχείας, ἀλλὰ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης· τό τε κατασχεῖν λαβόντας οὐκ ἀπὸ περιτομῆς, ἀλλ' ἀπὸ χάριτος ἐγένετο· πάλιν διὰ τοῦτο τὴν παραίνεσιν εὐχῇ κατέκλεισε χάριτος, καὶ Πνεύματος ἀναμνήσας ὁμοῦ καὶ ἀδελφοὺς προσειπὼν, καὶ παρακαλέσας τὸν Θεὸν, τούτων αὐτοὺς διηνεκῶς ἀπολαύειν. καὶ διπλῷ τοὺς ἀνθρώπους ἀσφαλισάμενος τρόπῳ· τὸ γὰρ αὐτὸ καὶ εὐχὴ

καὶ διδασκαλία ἦν τῶν εἰρημένων ὁλόκληρος, ἀντὶ τείχους αὐτοῖς διπλοῦ γενομένη· ἥτε γὰρ διδασκαλία ἀναμιμνήσκουσα αὐτοὺς ὅσων ἀπέλαυσαν, μᾶλλον κατεῖχεν ἐν τοῖς τῆς ἐκκλησίας δογμασιν· ἥτε εὐχὴ, καλοῦσα τὴν χάριν καὶ παραμένειν αὐτοῖς πείθουσα, οὐκ ἠφίει τὸ Πνεῦμα αὐτῶν ἀποστῆναι· τούτου δὲ ἐν αὐτοῖς ὄντος, πᾶσα ὥσπερ κόνις ἀπεσοβεῖτο τῶν τοιούτων δογμάτων ἡ ἀπάτη.

Τριὰς μονὰς ἐλέησον.

Τῶν εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν Παύλου τοῦ Ἀποστόλου ἐξηγητικῶν ἐκλογῶν τόμος β.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

(Τοῦ Χρυσοστόμου.) *Ὁ μακάριος Ἰωάννης φησὶν, ἡ Ἔφεσος, ἔστι μὲν τῆς Ἀσίας ἡ μητρόπολις, ἐτελεῖτο δὲ τῇ Ἀρτέμιδι, καὶ μάλιστα ταύτην ἐκεῖ ἔσεβον τὴν Θεόν· καὶ τοσαύτῃ δεισιδαιμονίᾳ ἐκέχρηντο, ὡς μήδε τοὔνομα τοῦ τὸν ναὸν ἐμπρήσαντος ποιῆσαι φανερόν· ἐνεπρήσθη γάρ· καὶ ὁ μακάριος δὲ Ἰωάννης ὁ εὐαγγελιστὴς, τὰ πολλὰ διέτριψεν ἐκεῖ. καὶ γὰρ καὶ ἐξωρίσθη ἐκεῖ, καὶ ἐτελεύτησε· καὶ Τιμόθεον ἐκεῖ κατέλιπεν ὁ Παῦλος, καθὼς γράφων πρὸς αὐτὸν φησὶν, "καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ·" καὶ τῶν φιλοσόφων οἱ πολλοὶ μάλιστα ἀνθήσαντες περὶ τὴν Ἀσίαν εἰσί. λέγεται μὲν γὰρ καὶ Πυθαγόρας ἐκεῖθεν εἶναι· τέως δὲ, ἡ Ἰωνικὴ πᾶσα, ἡ περὶ Παρμενίδην καὶ Ζήνωνα καὶ Δημόκριτον· καὶ πολλοὺς ἔτι καὶ νῦν εὕροι τίς ἂν φιλοσόφους ἐκεῖ. ταῦτα δὲ ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε δεῖξαι, ὅτι πολλῆς ἔδει τῷ Παύλῳ σπουδῆς πρὸς ἐκείνους γράφοντι. λέγεται δὲ καὶ τὰ βαθύτερα τῶν νοημάτων αὐτοῖς ἐμπιστεῦσαι, ἅτε ἤδη κατηχημένοις· ἔστι δὲ νοημάτων μεστὴ ἡ Ἐπιστολὴ ὑψηλῶν, καὶ δογμάτων· γράφει δὲ τὴν Ἐπιστολὴν ἀπὸ Ῥώμης δεδεμένος, καθὼς καὶ αὐτὸς φησίν· "προσεύχεσθε περὶ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ Εὐαγγελίου, ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει·" ἃ δὲ μηδαμοῦ σχεδὸν ἐφθέγξατο, ταῦτα ἐνταῦθά φησιν· ὡς ὅταν λέγῃ, "ἵνα γνωρίσθῃ νῦν ταῖς ἀρχαῖς*

“ καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας, ἡ “ πολυποίκιλος σοφία τοῦ Θεοῦ·” καὶ πάλιν· “ συνήγειρε καὶ “ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις· καὶ ὃ ἑτέραις γενεαῖς οὐκ “ ἐγνωρίσθη, ὡς νῦν ἀπεκαλύφθη τοῖς Ἀποστόλοις τοῖς ἁγίοις “ αὐτοῦ καὶ προφήταις ἐν τῷ Πνεύματι εἶναι τὰ ἔθνη συγκληρο- “ νόμα καὶ σύσσωμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας αὐτοῦ ἐν “ τῷ Χριστῷ.”

Σετηριανὸς δέ φησι, ὥσπερ τοῖς Ῥωμαίοις ἔγραφεν, ὅτε μηδέπω αὐτοὺς τεθέατο, οὕτως καὶ τοῖς Ἐφεσίοις· Ἰωάννου προλαβόντος, καὶ τὸ κήρυγμα αὐτοῖς καταβαλλομένου, εὐκαίρως παραινῶν αὐτοῖς, μὴ κρατεῖσθαι νόμῳ· ἐπειδὴ οἱ Ἀπόστολοι ἐν Ἱεροσολύμοις διάγοντες, διὰ τοὺς ἀπὸ τῆς περιτομῆς πιστεύσαντας ἐτήρουν νόμον· εἶτα ἐπειδὴ ἱκανῶς ὁ Ἰωάννης ἐθεολόγησε, καὶ οὐδὲν ἐνέλιπε τῶν εἰς θεογνωσίαν κηρυγμάτων, ὡς ἦν ἀνθρώποις χωρητὸν, ἐπὶ τὸ παραστῆσαι τῆς ἐνανθρωπήσεως τὴν οἰκονομίαν, ἔρχεται τὸ οἰκεῖον αὐτῇ μέγεθος καὶ διὰ ῥημάτων ἀξίως τῶν πραγμάτων περιτιθεὶς, καὶ τὸ δυσκολώτερον ἀναδεξάμενος· τὸ μὲν γὰρ τῆς θεότητος, εἶχεν οἰκεῖον τὸ ἀξίωμα καὶ ὡμολογημένον· τὸ δὲ τῆς ἐνανθρωπήσεως κατὰ τὸ φαινόμενον ταπεινὸν ἀξίως διηγήσασθαι, δυνάμεως ἦν πνευματικῆς.

Θεόδωρος δέ φησι, ἐπῆλθέ μοι σφόδρα θαυμάζειν ἐκεῖνα τῶν εἰρηκότων τὸν μακάριον Ἰωάννην τὸν εὐαγγελιστὴν, πρῶτον τοῖς Ἐφεσίοις παραδεδωκέναι τὸν τῆς εὐσεβείας λόγον· οὐκ ἐνενόησαν γὰρ, ὡς Ἰωάννης τοὺς ὑστέρους χρόνους παρ' Ἐφεσίοις ἐγένετο· διαγενόμενος ἄχρι τῶν Τραϊανοῦ τοῦ βασιλέως καιρῶν, ἀπὸ τῶν Νέρωνος ἀρξάμενος· ἀφ' οὗ Παῦλος ἀπετμήθη τὴν κεφαλὴν, καὶ ὁ Ἰουδαϊκὸς πόλεμος ἀρχὴν ἐδέξατο. Ἐπὶ τούτου γὰρ δὴ τοῦ πολέμου, πάντας μὲν ἀναχωρῆσαι τοὺς Ἀποστόλους τῆς Ἰουδαίας ἐγένετο· τότε δὲ καὶ Ἰωάννης εἰς τὴν Ἔφεσον γενόμενος, διετέλεσεν ἐπ' αὐτῆς, ἄχρι τῶν Τραϊανοῦ διαγεγόνως, ὡς ἔφην, καιρῶν. Παῦλος δὲ, οὐδὲ τεθεαμένος αὐτοὺς ἐπιστέλλων φαίνεται· καταλιμπάνει δὲ Τιμόθεον μετὰ τοῦτο, ἐπιστατήσοντα τῇ παρ' αὐτοῖς ἐκκλησίᾳ, γεγονὼς ἤδη παρ' αὐτοῖς ὡς εἰκός. Τίς δὲ οὕτως ἠλίθιος ὥστ' ἂν οἰηθῆναι, ὅτι παρόντος Ἰωάννου, Τιμόθεον ἐπὶ τῷ

τὴν ἐκκλησίαν οἰκονομεῖν κατελίμπανεν; ἔτι καὶ τοῦτο πρὸς τοῖς εἰρημένοις λογίζεσθαι χρή· ὡς Ἐφεσίους ἐθεάσατο πολλῷ πρότερον, ἢ ἐπὶ τὴν Ῥώμην ἀπὸ τῆς Ἰουδαίας ἀναχθῆναι ὅλως, ὡς ἐν ταῖς Πράξεσι τῶν Ἀποστόλων μάθοι ἂν τις σαφέστερον· ὥστε φαίνεσθαι αὐτὸν πανταχόθεν, πολλῷ πρότερον τῆς Ἰωάννου διατριβῆς ταῦτα γράφοντα πρὸς αὐτούς.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

α′. Περὶ τῆς ἐν Κυρίῳ ἐκλογῆς ἡμῶν καὶ εἰσαγωγῆς καὶ τελειώσεως.

β′. Εὐχὴ περὶ γνώσεως τῶν ἐν Χριστῷ εἰσαχθέντων ἀγαθῶν εἰς ἡμᾶς.

γ′. Περὶ τῆς τῶν ἐθνῶν καὶ Ἰουδαίων οἰκειώσεως πρὸς Θεὸν διὰ Χριστοῦ ἐπ᾽ ἐλπίδι κατὰ χάριν.

δ′. Περὶ τῆς δοθείσης αὐτῷ θείας σοφίας εἰς φωτισμὸν ἐθνῶν καὶ ἔλεγχον δαιμόνων.

ε′. Εὐχὴ ὑπὲρ τῆς ἐκκλησίας εἰς δύναμιν καὶ ἀγάπην Θεοῦ.

ς′. Παραίνεσις περὶ ἀγάπης ἑνωτικῆς, εἰ καὶ τὰ χαρίσματα διῄρηνται πρὸς ὠφέλειαν κοινήν.

ζ′. Περὶ σωφροσύνης καὶ δικαιοσύνης ποιούσης ἡμᾶς θεοειδεῖς.

η′. Περὶ τοῦ ζῆν ἐπαξίως τοῦ ἁγιασμοῦ, ἔργοις τὴν κακίαν ἐλέγχοντας, οὐ λόγοις, πνεύματι πληρουμένους διὰ ψαλμῶν, μὴ οἴνῳ.

θ′. Διάταξις οἰκειακῶν καθηκόντων ἀρχομένοις καὶ ἄρχουσι κατὰ Χριστόν.

ι′. Ἐν σχήματι ὁπλίσεως περὶ τῆς κατὰ Χριστὸν δυνάμεως.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

ΚΕΦ. Α.

Περὶ τῆς ἐν Κυρίῳ ἐκλογῆς ἡμῶν καὶ εἰσαγωγῆς καὶ τελειώσεως.

1 Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ.

Ἐν τούτῳ κατὰ τὸ εἰωθὸς αὐτῷ τῆς Ἐπιστολῆς τὴν προγράφην συνεπέρανε· παραπλήσιόν τι τῇ παρ᾽ ἡμῖν συνηθείᾳ ποιῶν· ὡς ὅταν ἐπιστέλλοντες λέγομεν, ὁ δεῖνα, τῷ δεῖνι χαίρειν· προσέθηκε δὲ τὸ "διὰ θελήματος Θεοῦ," ὁμοῦ τε συνδέων αὐτὰ, ὡς μηδὲν διακεκρίσθαι μηδὲ ἀπεσπάσθαι δοκεῖν τοῦ Θεοῦ τῶν διὰ τοῦ Χριστοῦ γενομένων· ὁμοῦ δὲ καὶ τὸ τῆς ἀποστολῆς ἔργον ἀναγκαιότατον ἑαυτῷ πανταχόθεν δεικνύς· πλήν γε δεῖ[a], ὅτι σύντομον τὴν προγραφὴν ἐποιήσατο· καταλλήλως καὶ τοῦτο τῇ προθέσει τοῦ λόγου ποιῶν· πρόκειται γὰρ αὐτῷ, τῆς τοῦ Χριστοῦ παρουσίας τὸ ὠφέλιμον εἰπεῖν ἐν εὐχαριστίας εἴδει συντόμως· οὐχ ὡς ἐπὶ τῆς πρὸς Ῥωμαίους ἐξεργαστικώτερον καὶ μετὰ τοῦ πρὸς τοὺς ἐναντίους λόγου.

Σετηριανὸς *δέ φησι, κἀνταῦθα τὸ "διὰ," καὶ τῷ Θεῷ προσήκειν κατὰ τὸν Παῦλον, καὶ οὐκ ἠλάττωται Πατήρ. εἰκότως δὲ λέγει τὸ "διὰ θελήματος Θεοῦ," ἵνα δείξῃ ὅτι ὡς ἠθέλησεν ὁ Θεὸς Ἰωάννην εἶναι Ἀπόστολον, οὕτως κἀμέ· τοῦτο δὲ γράφει, ἵνα ἀξιόπιστα ᾖ τὰ ὑπ᾽ αὐτοῦ λεγόμενα.*

(Χρυσοστόμου.) *Καὶ ὁ μακάριος δὲ Ἰωάννης φησιν, ἰδοὺ τὸ*

[a] Sic. *νοεῖν* aut simile verbum excidit.

"διὰ," τῷ Πατρὶ δέδωκε· τί οὖν; ἐλάττονα αὐτὸν ἐροῦμεν; μηδαμῶς. ἐπειδὴ δὲ δεῖ καὶ τῶν αἱρετικῶν μὴ ἀγνοεῖν τὴν πονηρίαν, ἀκούσωμεν τί καὶ Ὠριγένης φησι περὶ τούτου.

Ὠριγένους. Εἰ ἡ διὰ πρόθεσις τὸ ὑπηρετικὸν ἐμφαίνει, ὥσπερ ἐπὶ πλεῖον ἐζητάσαμεν, διηγούμενοι τὸ "πάντα δι' αὐτοῦ "ἐγένετο," τιθέντες καὶ τὰς φαινομένας ἡμῖν εἰς τοῦτο ἀνθυποφορὰς, ζητήτεον πῶς Ἀπόστολός ἐστι Παῦλος Χριστοῦ Ἰησοῦ· οὐκ ἐκ θελήματος Θεοῦ, ἀλλὰ "διὰ θελήματος Θεοῦ." ὁ μὲν οὖν τις ἐρεῖ, μὴ πάνυ ἀκριβοῦν πανταχοῦ τὸν Παῦλον τὰ τῶν προθέσεων ἰδιώματα, ὅπερ αὐτὸν ποιεῖν καὶ ἐπ' ἄλλων σημαινομένων. ἄλλος δὲ, διαφορὰν εἰδὼς τοῦ διὰ Θεοῦ καὶ τοῦ "διὰ θελή- "ματος Θεοῦ," ἐρεῖ, ὅτι ἄτοπον ἂν ἦν, εἰ ἐγέγραπτο Παῦλος Ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ Θεοῦ· εἰ δὲ τὸ θέλημα τοῦ Θεοῦ ὑπηρετικόν ἐστιν, ἡγουμένου ὄντος αὐτοῦ τοῦ χρωμένου αὐτῷ, οὐκ ἂν εἴη τοῦτο ἄλογον. ἐπιστήσεις δὲ καὶ περὶ "τοῦ θελήματος "τοῦ Θεοῦ," εἰ δύναται τάσσεσθαι ἐπὶ Χριστοῦ· ἵν' ὥσπερ ἐστὶ "Θεοῦ δύναμις καὶ Θεοῦ σοφία," οὕτως ᾖ καὶ θέλημα αὐτοῦ, Θεοῦ ὑπόστασιν ἔχον αὐτόν· ἐὰν δέ τινι ἀπεμφαῖνον φαίνηται οὐσιῶσθαι λέγειν τὸ τοῦ Θεοῦ θέλημα, ἐπιστησάτω, εἰ μὴ ἡ δοκοῦσα ἀπέμφασις παραπλήσιός ἐστι καὶ ἐπὶ δυνάμεως Θεοῦ, καὶ σοφίας Θεοῦ, καὶ λόγου Θεοῦ, καὶ ἀληθείας καὶ ἀναστάσεως καὶ ὁδοῦ· παραπλήσιος γάρ μοι δοκεῖ τυγχάνειν περὶ πάντων τούτων, ὡς οὐσιωμένων ἐν τῷ μονογενεῖ Λόγῳ. ταῦτα μὲν Ὠριγένης.

Ὅτι δὲ καὶ ἐπὶ Πατρὸς, τὸ δι' οὗ εἴρηται ἐν πάσῃ τῇ γραφῇ καὶ οὐ τὸ ὑπηρετικὸν ἐμφαίνει, ἄκουσον πρὸς τὸ παρὸν αὐτοῦ τοῦ Ἀποστόλου ἐν τῇ πρὸς Κορινθίους εἰπόντος· "πιστὸς ὁ Θεὸς δι' "οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ."

Τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ.

(Τοῦ Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησι, ἰδοὺ ἁγίους καλεῖ ἄνδρας ἔχοντας καὶ παιδία καὶ γυναῖκας καὶ οἰκέτας· καὶ τοῦτο δῆλον, ἀπὸ τοῦ τέλους τῆς Ἐπιστολῆς, ὡς ὅταν λέγῃ "αἱ "γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε." καὶ πάλιν "τὰ

“τέκνα ὑπακούετε τοῖς πατράσιν ὑμῶν, καὶ οἱ δοῦλοι ὑπακούετε τοῖς δεσπόταις·” ἐννοήσωμεν ὅση κατέχει νῦν ῥαθυμία, καὶ ὅση τότε ἡ διαφορὰ ἦν τῶν ἐναρέτων· ὡς καὶ τοὺς κοσμικούς, ἁγίους καὶ πιστοὺς λέγεσθαι.

Ὠριγένης δέ φησι, ἐπὶ μόνων Ἐφεσίων εὕρομεν κείμενον, τὸ “τοῖς ἁγίοις τοῖς οὖσι·” καὶ ζητοῦμεν εἰ μὴ παρέλκει προσκείμενον τὸ “τοῖς ἁγίοις τοῖς οὖσι,” τί δύναται σημαίνειν. ὅρα οὖν εἰ μὴ ὥσπερ ἐν τῇ Ἐξόδῳ ὄνομα φησιν ἑαυτοῦ ὁ χρηματίζων Μωσεῖ τὸ ὤν, οὕτως οἱ μετέχοντες τοῦ ὄντος, γίνονται ὄντες, καλούμενοι οἱονεὶ ἐκ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι· “ἐξελέξατο γὰρ ὁ Θεὸς τὰ μὴ ὄντα,” φησὶν ὁ αὐτὸς Παῦλος, “ἵνα τὰ ὄντα καταργήσῃ·” καὶ ζητήσει τίς, πῶς τὰ ὄντα καταργεῖ· ἀλλὰ ἀκούομεν ἐπιφέροντος αὐτοῦ τὸ “ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον τοῦ Θεοῦ·” ἐὰν γάρ τις μετεσχηκὼς τοῦ εἶναι, ἐπιλαθόμενος τῆς μετοχῆς, ἑαυτῷ καταχαρίσηται τὴν τοῦ εἶναι αἰτίαν, καὶ μὴ τὴν πᾶσαν εὐχαριστίαν ἀναφέρῃ ἐπὶ τὸν ἐκ τοῦ μὴ εἶναι τὸ εἶναι αὐτῷ ὅμοιον καὶ κατ᾽ εἰκόνα χαρισάμενον, τότε καταργεῖται τὸ ὄν.

3 Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ.

Ὁ μέν τις ἐρεῖ, διὰ τὰς ἐν Λευϊτικῷ καὶ Δευτερονομίῳ εὐλογίας, καὶ εἴπου ἀλλόθι τῆς γραφῆς τοιαῦται εἰσὶν ἀναγεγραμμέναι· πρὸς ἀντιδιαστολὴν ἐκείνων δὲ λέγεσθαι τὴν πνευματικὴν εὐλογίαν, ὡς τοῦ Θεοῦ καὶ Πατρὸς Ἰησοῦ Χριστοῦ ἡμᾶς εὐλογοῦντος, οὐκ ἐν σωματικῇ ὁμοίως ἐκείνοις εὐλογίᾳ, ἀλλὰ πνευματικῇ· καὶ οὕτω γε ἐκδέξονται οἱ ἑτερόδοξοι, νομίσαντες ἂν καὶ ἀφορμὴν τοῦ διακόπτειν τὴν θεότητα ἐκ τοιαύτης ἐκδοχῆς λήψεσθαι.

Ἡμεῖς δὲ παραστήσαντες ὅτι οὐδὲ ἐπὶ τῶν κατὰ νόμον δέδονται αἱ εὐλογίαι, εἰ σωματικῶς νοήθειεν τοῖς πεπιστευμένοις κατὰ τὸν νόμον καὶ ὑγιῶς βεβιωκέναι, ἐλέγξομεν τοὺς οὕτως ὑπειληφότας, ἤτοι ψεύδεσθαι τὸν τὰς εὐλογίας δεδωκότα, ἢ τὸ μὴ ἀπὸ τῆς προχείρου ἐκδοχῆς νοούμενον ἐπηγγέλθαι τοῖς βιώσασι, καθὼς προσέταξεν· ἀκόλουθον γάρ ἐστι τῷ ὁ νόμος πνευματικός ἐστι,

καὶ τὰς ἐν αὐτῷ εὐλογίας εἶναι πνευματικάς· οὐ τετεύχασι δὲ σωματικῶς τῶν εὐλογιῶν, φέρε εἰπεῖν, οἱ προφῆται· οὐ γὰρ ἐδάνεισαν ἔθνεσι πολλοῖς, ἄνθρωποι περιελθόντες "ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι· ἐν "ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς "τῆς γῆς." οὐδὲ εὐλόγηνται ἐν πόλει ἢ ἐν ἀγρῷ· ἀλλ' οὐδὲ αἱ ἀποθῆκαι αὐτῶν εὐλόγηνται, ἃς οὐδὲ ἐκτήσαντο τὴν ἀρχήν. καὶ ὅρα εἰ μὴ ἐκ τούτων ἀναγκάσομεν τοὺς ἄλλως νοοῦντας μεταθέσθαι, εἰ τήροιεν τὸ ἀξίωμα τοῦ τὰς εὐλογίας δεδωκότος Θεοῦ, πρὸς τὸ πνευματικῶς αὐτὸν δεδωκέναι αὐτὰς τοῖς μακαρίοις ἑαυτοῦ. οὐ μόνον δὲ πᾶσα εὐλογία πνευματική ἐστιν ἣν εὐλόγηνται Παῦλος καὶ οἱ παραπλήσιοι αὐτῷ, καὶ οὐδεμία αὐτῶν σωματική, ἀλλὰ καὶ ἐν τοῖς ἐπουρανίοις.

Ἔπρεπε γὰρ τούτοις, ὧν τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, θησαυρίζουσιν ἐν οὐρανῷ καὶ τὴν καρδίαν ἔχουσιν ὅπου ἐστὶν αὐτῶν ὁ θησαυρὸς, καὶ ἐν τοῖς ἐπουρανίοις τῶν πνευματικῶν τυγχάνειν εὐλογιῶν. πῶς δὲ ἤδη ἐστὶν "εὐλογήσας ὁ Θεὸς καὶ Πατὴρ τοῦ "Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ καὶ "ἐν τοῖς ἐπουρανίοις," ἄξιον ἐπισκέψασθαι· οὐ γὰρ εἴρηται ὁ εὐλογήσων ἡμᾶς. καὶ ὅρα εἰ δύνασαι τὸ ἐν τοῖς ἐπουρανίοις εἶναι, ἀντὶ τοῦ ἐν τοῖς νοητοῖς, καὶ ἔξω αἰσθήσεων. οὕτω γὰρ καὶ θησαυρίζει τίς ἐν οὐρανοῖς· καὶ τὴν καρδίαν οὐκέτι ἔχει ἐπὶ γῆς· τουτέστιν ἐν τοῖς ὑλικοῖς καὶ σωματικοῖς, ἀλλ' ἐν οὐρανῷ· τῇ νοητῇ φύσει ἀεὶ αὐτῇ ὁμιλῶν. ὑπὲρ δὲ τοῦ ἀκριβέστερον θεωρῆσαι ἡμᾶς ἀμφότερα, εἴρηται περὶ τῆς εὐλογίας, καὶ ὅτι ἔστι πνευματικὴ, καὶ ὅτι ἐν τοῖς ἐπουρανίοις, καὶ πρὸς τούτοις, ὅτι ἐν Χριστῷ, οἱονεὶ ἐν τῷ λόγῳ καὶ τῇ σοφίᾳ καὶ τῇ ἀληθείᾳ, καὶ τῇ δυνάμει·

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

(Τοῦ Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶν, εἶπε χάριν, καὶ Πατέρα τὸν Θεὸν ἐκάλεσε. τῆς χάριτος γὰρ ἐκείνης τεκμήριον τοῦτο· πῶς; ἄκουσον αὐτοῦ ἑτέρωθι λέγοντος· "ὅτι δὲ ἐστὲ "υἱοὶ, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς "καρδίας ὑμῶν κράζον, ἀββᾶ ὁ Πατήρ·" καὶ "Κύριε Ἰησοῦ "Χριστὲ," δι' ἡμᾶς γὰρ Χριστὸς γέγονε, καὶ ἐν σαρκὶ ὤφθη.

Σετηριανός δέ φησιν, εἰ ἑκάτερον καταχρηστικῶς εἴρηται καὶ τὸ Πατὴρ καὶ τὸ Κύριος, ὁμολογηθήσεται μείζων τοῦ Πατρὸς ὁ Υἱός· εἰ ὁ μὲν Πατρὸς ἔχει ὄνομα, ὁ δὲ Κυρίου· ἀλλ᾽ ὡμολόγηται τούτων τῶν ῥητῶν ἡ αἰτία· ἐπειδὴ γὰρ εἶπε, "Πατρὸς "ἡμῶν," Πατὴρ δέ ἐστι τοῦ Χριστοῦ, ἵνα μὴ τὸ αὐτὸ ὄνομα καὶ ἐπὶ τοῦ μονογενοῦς καὶ ἐπὶ τῶν πιστῶν κείμενον, ἢ τὸν υἱὸν καθελῇ παρὰ φύσιν, ἢ ἐκείνους ὑπὲρ φύσιν ἀναγάγῃ, εἰπὼν "Πατρὸς "ἡμῶν," καὶ δεικνὺς ὅτι χάριτι ἡ προσηγορία, ἐπήγαγε, "καὶ "Κυρίου Ἰησοῦ Χριστοῦ." οὐ γὰρ ἐνῆν κοινῇ φύσει τῆς προσηγορίας οὔσης κοινὸν εἶναι καὶ τὸ ἀξίωμα· διατί οὖν Κύριος μὲν τούτων ὁ Πατήρ, οὐχὶ δὲ καὶ αὐτὸς Κύριος τοῦ Υἱοῦ, εἴπερ καταχρηστικὸν ἦν τὸ τῆς προσηγορίας ἐφ᾽ ἑκατέρων;

3 Εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησί· ἰδοὺ Θεὸς τοῦ σαρκωθέντος, εἰ δὲ μὴ βούλει, ἀλλὰ τοῦ Θεοῦ Λόγου, Πατήρ.

Θεόδωρος δέ φησι, τὸ "εὐλογητὸς" ἀντὶ τοῦ ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι ἄξιος· τὸ μέντοι "ὁ Θεὸς καὶ Πατὴρ τοῦ "Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ," δύναται τὸ μὲν καὶ διῃρημένως λέγεσθαι, ἵν᾽ ᾖ τὸ μὲν "Θεός," κατὰ διαίρεσιν ἀπολύτως νοούμενον· τὸ δὲ "Πατήρ," καθ᾽ ἑαυτό· εἰ δέ τις αὐτὸ ἐπισυμπλέκειν φιλονεικοίῃ, ὡσὰν καὶ τοῦ Θεὸς καὶ τοῦ Πατὴρ ἐπὶ τοῦ προσώπου νοεῖσθαι ὀφείλοντος τοῦ Χριστοῦ, οὐδὲ πρὸς τοῦτο μαχόμεθα· ἵν᾽ ᾖ κατ᾽ οἰκονομίαν αὐτοῦ Θεός, ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ." εὐλογίαν ἐκάλεσε πνευματικήν, τοῦ Πνεύματος τὰ χαρίσματα, ἀντιδιαστέλλων ταῖς κατὰ τὸν νόμον εὐλογίαις· τὸ δὲ "ἐν τοῖς ἐπουρανίοις," ἀντὶ τοῦ περὶ τῶν ἐπουρανίων, οὐχ ἵνα γῆν κληρονομήσωμεν κατὰ νόμον, οὐδ᾽ ἵνα κατὰ γῆν πολιτευσάμεθα· καὶ οἱ λοιποὶ ὁμοίως ἐν Χριστῷ Ἰησοῦ.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶ, τουτέστι διὰ Χριστοῦ Ἰησοῦ, οὐ διὰ Μωϋσέως αὕτη ἡ εὐλογία, ὥστε οὐ μόνον τῇ παλαιότητι, ἀλλὰ καὶ τῷ μεσίτῃ διαφέρομεν ἡμεῖς, ὥσπερ καὶ ἐν τῇ πρὸς Ἑβραίους φησὶ, "καὶ Μωσῆς μὲν πιστὸς ἐν ὅλῳ

" τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων εἰς μαρτύριον τῶν λαληθησομένων. " Χριστὸς δὲ ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκος ἐσμὲν ἡμεῖς, " καθὼς καὶ ἐξελέξατο ἡμᾶς," φησὶν, " ἐν αὐτῷ, πρὸ καταβολῆς " κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ." ὃ δὲ λέγει τοιοῦτόν ἐστι· δι' οὗ ηὐλόγησεν ἡμᾶς, διὰ τούτου καὶ ἐξελέξατο. αὐτὸς τοίνυν ἡμῖν πάντα δώσει ἐκεῖνα· αὐτός ἐστιν ὁ κριτὴς, καὶ ἐρεῖ, " δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρο- " νομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς " κόσμου." καὶ ἐν πάσαις σχεδὸν ταῖς ἐπιστολαῖς, τοῦτο σπουδάζει δεικνύναι, ὅτι οὐ νεώτερα τὰ καθ' ἡμᾶς, ἀλλ' ἄνωθεν τοῦτο τετύπωτο· οὐδὲ ἐκ μεταμελείας, ἀλλ' οὕτως ᾠκονόμητο καὶ προώριστο. καὶ τοῦτο δὲ κηδεμονίας πολλῆς. τί ἐστιν " ἐν αὐτῷ ἐξε- " λέξατο;" διὰ τῆς εἰς αὐτὸν πίστεως ὁ Χριστὸς τοῦτο κατώρθωσε, πρὶν ἢ γενέσθαι ἡμᾶς, μᾶλλον δὲ πρὶν ἢ τὸν κόσμον καταβληθῆναι. καὶ καλῶς καταβολὴν εἶπεν, ὡς ἀπό τινος ὕψους μεγάλου καταβεβλημένον αὐτὸ δεικνύς· καὶ γὰρ μέγα καὶ ἄφατον τὸ ὕψος τοῦ Θεοῦ, οὐ τῷ τόπῳ, ἀλλὰ τῷ ἀνακεχωρηκότι τῆς φύσεως· τί ἐξελέξατο; ὥστε ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ γενέσθαι· ἵνα τοίνυν μὴ ἀκούσας ὅτι " ἐξελέξατο," τὴν πίστιν ἀρκεῖν νομίσῃς μόνον, καὶ τὸν βίον προστίθησι· διὰ τοῦτο ἐξελέξατο, φησὶ, καὶ ἐπὶ τοῦτο, ἵνα ἅγιοι ὦμεν καὶ ἄμωμοι· πάντως δὲ τοὺς δοκίμους ἐκλέγεται ὁ Θεός· ἐποίησεν ἡμᾶς αὐτὸς ἁγίους διὰ τῆς πίστεως· ἅγιος γάρ ἐστιν ὁ τῆς πίστεως μετέχων· ἄμωμος, ὁ ἀνεπίληπτον βίον ἔχων, ἀλλ' ἁγιότητα καὶ τὸ ἀνεπίληπτον οὐχ ἁπλῶς ζητεῖ, ἀλλὰ τὸ ἐνώπιον αὐτοῦ τοιούτους φαίνεσθαι.

Θεόδωρος δέ φησι, πρόδηλον ὡς ἀπὸ τῶν μελλόντων ἔθος αὐτῷ τῶν κατὰ Χριστὸν ποιεῖσθαι τὴν ἀπόδειξιν. ἅτε δὴ τότε φαινομένων ἐπὶ τοῦ πράγματος· νῦν γὰρ ἐν ἐπαγγελίᾳ μόνον αὐτῶν ἐσμὲν διὰ πίστεως.

4 Ἐν ἀγάπῃ προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν.

Πάλιν ἐπὶ τὴν χάριν αὐτοῦ ἄνεισιν· οὐ γὰρ ἀπὸ πόνων οὐδὲ κατορθωμάτων τοῦτο γίνεται, ἀλλ' ἀπὸ ἀγάπης· οὔτε ἀπὸ ἀγάπης

μόνον, οὔτε ἀπὸ τῆς ἡμετέρας ἀρετῆς· εἰ γὰρ δὴ ἀπὸ ἀγάπης μόνης, ἐχρῆν ἅπαντας σωθῆναι. εἰ δὲ ἀπὸ τῆς ἡμετέρας ἀρετῆς πάλιν μόνης, περιττὴ ἡ παρουσία αὐτοῦ, καὶ πάντα τὰ οἰκονομηθέντα· ἀνάγκη οὖν ἐξ ἀμφοτέρων. εἰπὲ γάρ μοι· τί Παῦλος ἂν ὠφελήθη; ποῦ δὲ ἂν ἐπεδείξατο, εἰ μὴ καὶ ἄνωθεν αὐτὸν ἐκάλεσε, καὶ ἀγαπήσας εἵλκυσε πρὸς ἑαυτόν; ἄλλως δὲ, καὶ τὸ τοσούτων ἀξιῶσαι, ἀγάπης ἦν, οὐ τῆς ἡμετέρας ἀρετῆς. τὸ γὰρ ἐναρέτους γενέσθαι καὶ πιστεῦσαι, καὶ προσελθεῖν, καὶ τοῦτο μὲν αὐτοῦ ἦν τοῦ καλέσαντος, πλὴν καὶ ἡμέτερον. τὸ δὲ προσελθόντας τοσούτων ἀξιῶσαι τιμῶν, ὥστε εὐθέως ἀπὸ ἐχθρῶν εἰς υἱοθεσίαν ἀγαγεῖν, ὑπερβαλλούσης οὕτως ἀγάπης· "ἐν ἀγάπῃ" φησὶ "προορί- "σας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν." ὁρᾷς πῶς οὐδὲν ἄνευ Χριστοῦ, πῶς οὐδὲν ἄνευ τοῦ Πατρὸς, ἐκεῖνος προώρισεν, οὗτος προσήγαγε, καὶ ταῦτα τίθησιν ἐπαίρων τὰ γεγενημένα, καθάπερ καὶ ἑτέρωθί φησιν· "οὐ μόνον δὲ, ἀλλὰ καὶ "καυχώμεθα διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ." μεγάλα μὲν γὰρ τὰ δοθέντα, πολλῷ δὲ μείζονα γίνεται, τὸ διὰ τοῦ Χριστοῦ δοθῆναι, ὅτι οὐκ ἔπεμψε τινὰ τῶν δούλων πρὸς τοὺς δούλους, ἀλλ' αὐτὸν τὸν μονογενῆ.

Σευηριανὸς *δέ φησιν, εἰ τοίνυν ἐν Χριστῷ εἰς υἱοθεσίαν ὡρίσθησαν οἱ ἅγιοι, οὐ θετὸς ὁ υἱὸς, ἀλλὰ φύσει Υἱός.*

Θεόδωρος *δέ φησι, τοῦτο ἐπίτασιν ἔχει τοῦ προκειμένου διχόθεν. ἐπείπερ ἡμῖν ἀγάπη τῆς ἐκλογῆς μείζων, καὶ τὸ τῆς υἱοθεσίας, τοῦ ἁγίους καὶ ἀμώμους· οἰκειότητος γὰρ ἀπόδειξιν ἔχει ταῦτα μεγίστην. τὸ δὲ "εἰς αὐτὸν," ἵνα αὐτοῦ υἱοὶ λεγοίμεθά τε καὶ χρηματίζωμεν.*

Ὠριγένης *φησὶ, ζητῆσαι δ' ἄν τις πρὸς τὸ "εἶναι τινὰς "ἁγίους καὶ ἀμώμους κατενώπιον τοῦ Θεοῦ," εἰ μὴ τὸ προφητικὸν ἐναντιοῦται τούτῳ, λέγον, "οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς "ζῶν." εἰ δὲ κατενώπιον τοῦ Θεοῦ πᾶς ζῶν οὐ δικαιωθήσεται, πῶς κατενώπιον αὐτοῦ ἔσονται ἅγιοι; εἰ γὰρ ἅγιοι καὶ ἄμωμοι ἔσονται καὶ δικαιωθήσονται, ἐπὶ τὴν ἀμφιβολίαν τίς καταφυγὼν τοῦ προφητικοῦ ἐρεῖ, τὸ μὴ δικαιοῦσθαι κατενώπιον τοῦ Θεοῦ πάντα ζῶντα, τοιοῦτό τι σημαίνειν. οἱονεὶ ὅλος καὶ ἐξ ὅλου τοῦ ἑαυτοῦ χρόνου, οὐ δικαιωθήσεται κατενώπιον τοῦ Θεοῦ, τῷ πάντας*

ἡμαρτηκέναι ποτέ· ὅπερ ἐὰν οὕτως ἔχῃ, οὐ κωλύει τὸ εἶναι τινὰς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ, ἐκ διορθώσεως τοιούτους γεγενημένους· ἢ καὶ τὸ μὴ πᾶς ζῶν, ἀλλ' οὖν γέ τινας δικαιοῦσθαι. "ἐν ἀγάπῃ προορίσας ἡμᾶς εἰς υἱοθεσίαν, διὰ Ἰησοῦ "Χριστοῦ εἰς αὐτόν·" ἤτοι τὸ ἐν ἀγάπῃ τῷ προορίσας συναπτέον· ἢ ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ ἐν ἀγάπῃ, πρὸ καταβολῆς κόσμου προορίσας ἡμᾶς ἐν υἱοθεσίᾳ Ἰησοῦ Χριστοῦ εἰς αὐτὸν, ὥστε ἡμᾶς εἶναι ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ. δηλοῖ δὲ τὸ ὄνομα τῆς υἱοθεσίας τὸ μὴ φύσει εἶναι υἱοὺς τοῦ Θεοῦ τοὺς προορισθέντας ὑπ' αὐτοῦ. οὐκ ἂν γοῦν ταχθείη τὸ ὄνομα τῆς υἱοθεσίας ἐπὶ τοῦ Σωτῆρος, ἀλλ' ἐπὶ τούτων, οἳ λαβόντες τὸ ὄνομα τῆς δουλείας εἰς φόβον, ἀποδόντες τὸν φόβον, ἄξιοι γίνονται ἐλευθερίας, καὶ τοῦ ἀκοῦσαι "οὐκέτι ὑμᾶς λέγω δούλους," οἳ καὶ διὰ τοῦτο λαμβάνουσι τὸ πνεῦμα τῆς υἱοθεσίας. ὅτε δέ τις τὸν Υἱὸν λαμβάνει, οὐ πρότερον ἐσχηκὼς αὐτὸν, τότε καὶ τὸ πνεῦμα κεχώρηκε τῆς υἱοθεσίας. οὕτω γὰρ διὰ Χριστοῦ ἡ υἱοθεσία ἡμῖν ἐπεισέρχεται, ἐπὶ τῷ μέντοιγε εἰς αὐτὸν καταντῆσαι "ἐξελέξατο ἡμᾶς ἐν αὐτῷ "πρὸ καταβολῆς κόσμου εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατε-"νώπιον αὐτοῦ, ἐν ἀγάπῃ προορίσας ἡμᾶς ἐν υἱοθεσίᾳ διὰ Χρι-"στοῦ·" τούτοις γὰρ ἐπιφέρεται τὸ "εἰς αὐτόν."

"Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ." τὸ τῆς εὐδοκίας ὄνομα οὐ πάνυ τι τετριμμένον ἐν τῇ τῶν Ἑλλήνων συνηθείᾳ νομίζω ὂν, ὠνοματοποιεῖσθαι δὲ ὑπὸ τῶν ἑρμηνευσάντων· ἐχρήσαντο γὰρ τῇ λέξει ἐπὶ τῶν προφητικῶν, ὡς ἐν τῷ πδ ψαλμῷ, "εὐδόκησας, "Κύριε, τὴν γῆν σου." καὶ ἐν ρε, "μνήσθητι ἡμῶν, Κύριε, ἐν "τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου." καὶ ἐν τῷ Ἀμβακοὺμ, "καὶ ἐὰν "ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ·" πλὴν ἡ εὐδοκία ἐμφαίνει, τὸ εὖ καὶ τὸ δοκεῖν· ὥστε μὴ ἂν λεχθῆναι ἐπὶ τῶν δοκούντων ἡμῖν οὐ καλῶς, ἀλλ' ἐπὶ μόνων τῶν ἐπαινετῶς δοκούντων· ζητητέον οὖν, πῶς ἐν ἀγάπῃ προορίσας εἰς υἱοθεσίαν οὓς προώρισεν ὁ Θεὸς, κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ προώρισε· καὶ ἀπόδειξιν εὑρετέον, τοῦ εὐδοκίαν εἶναι τοῦ θελήματος αὐτοῦ ἐπὶ τούτοις· καὶ γὰρ ἐπὶ τῷ ἐπαινεῖσθαι τῆς εἰς τοὺς σωζομένους χάριτος αὐτοῦ τὴν δόξαν, εὐδόκησεν αὐτοῦ τὸ θέλημα.

Θεόδωρος δέ φησιν, ἵνα εἴπῃ ὅτι σφόδρα ἤρεσεν αὐτῷ ταῦτα περὶ ἡμᾶς διαπράξασθαι· ὡς γὰρ ἐν εὐχαριστίας προσχήματι λέγων αὐτὰ, πανταχόθεν αὔξει τῶν γεγονότων τὴν χάριν τῷ μεγέθει τῶν πραγμάτων.

Σετηριανὸς δέ φησι, εἰ κατὰ τὸν νόμον ἡ θέλησις ἐνέργειά ἐστι, τίς ἡ εὐδοκία ἡ ταύτης τῆς θελήσεως; οὐ γὰρ ἂν εἶπε θέλησιν θελήματος, "εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ·" προλαβὼν ἤδη εἶπον, ὅτι κατακοσμεῖ τὸν ἑαυτοῦ λόγον, τῷ ἀξιώματι τῆς οἰκονομίας.

Θεόδωρος δὲ ὧδε λέγει· ὥστε, φησὶν, ὑπὲρ τούτων ἐπαινεῖσθαι καὶ θαυμάζεσθαι δίκαιον αὐτοῦ παρ' ἡμῶν, ἀνθ' ὧν οἰκείᾳ χάριτι τοσαύτης ἡμῖν μετέδωκε δόξης.

(Χρυσοστόμου.) Ὁ δὲ μακάριος Ἰωάννης οὕτω φησί· τουτέστι, διὰ τὸ σφοδρῶς θελῆσαι ἡ ἐπιθυμία αὐτοῦ, ὡς ἄν τις εἴποι, αὕτη ἐστί· πανταχοῦ γὰρ εὐδοκία τὸ θέλημά ἐστι τὸ προηγούμενον· ἔστι γὰρ καὶ ἄλλο θέλημα· οἷον θέλημα πρῶτον, τὸ μὴ ἀπολέσθαι ἡμαρτηκότας· θέλημα δὲ δεύτερον, τὸ γενομένους κακοὺς ἀπολέσθαι. οὐ γὰρ δὴ ἀνάγκῃ αὐτοὺς κολάζει, ἀλλὰ θέλων· τοιοῦτο καὶ ἐπὶ Παύλου ἔστιν ἰδεῖν, οἷον ὡς ὅταν λέγῃ, "θέλω "πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν." θέλω πάλιν νεωτέρας γαμεῖν, τεκνογονεῖν· εὐδοκίαν οὖν, τὸ πρῶτον θέλημα φησί· τὸ σφοδρὸν θέλημα, τὸ μετ' ἐπιθυμίας θέλημα, ὃ ἐφ' ἡμῶν· οὐ γὰρ παραιτήσομαι καὶ κοινοτέρᾳ λέξει χρήσασθαι, σαφηνείας ἕνεκεν τῶν ἀφελεστέρων, ὃ λέγομεν ἡμεῖς πίσμα· κατὰ τὸ πίσμα ἡμῶν· τουτέστι σφόδρα ἐφίεται, σφόδρα ἐπιθυμεῖ τῆς σωτηρίας τῆς ἡμετέρας· τίνος οὖν ἕνεκα οὕτως ἡμᾶς ἀγαπᾷ, οὕτως ἡμᾶς φιλεῖ; ἀπὸ ἀγαθότητος μόνης· ἡ γὰρ χάρις, ἀγαθότητός ἐστί· διὰ τοῦτο, φησὶν, εἰς υἱοθεσίαν ἡμᾶς προώρισε, θέλων καὶ σφόδρα τοῦτο βουλόμενος, ἵνα ἡ τῆς χάριτος αὐτοῦ δόξα δειχθῇ.

6 Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ.

Ἵνα ἡ τῆς χάριτος αὐτοῦ, φησι, δόξα δειχθῇ, "ἐν ᾗ ἐχαρίτωσεν

"ἡμᾶς·" οὐκοῦν εἰ εἰς τοῦτο ἡμᾶς ἐχαρίτωσεν εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, καὶ ἵνα δείξῃ τὴν χάριν αὐτοῦ, μένωμεν ἐν αὐτῇ· "εἰς ἔπαινον δόξης," φησὶν, ἵνα τίς αὐτὸν ἐπαινέσῃ καὶ δοξάσῃ, ὥστε τὴν πρὸς αὐτὸν ἀγάπην θερμοτέραν ἡμῖν ἐγγενέσθαι· οὐδενὸς γὰρ ἐφίεται τῶν παρ' ἡμῶν, ἀλλ' ἢ τῆς σωτηρίας ἡμῶν, καὶ πάντα διὰ τοῦτο ποιεῖ· ἣν ἐχαρίτωσεν ἡμᾶς φησι· τουτέστιν οὐ μόνον ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ ἐπεράστους ἐποίησεν, ἐπιθυμοῦσι γὰρ ἄγγελοι παρακύψαι πρὸς τοιαύτην ψυχήν.

7 Διὰ τοῦ ἠγαπημένου, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ.

Πῶς; οὐ μόνον ὅτι τὸν Υἱὸν δέδωκε, θαυμαστὸν, ἀλλ' ὅτι καὶ τούτῳ τῷ τρόπῳ, ὥστε καὶ σφάξαι αὐτόν· τὸν ἀγαπώμενον, ὑπὲρ τῶν μισουμένων. ὅρα πῶς ἡμᾶς τιμᾶται· εἰ ὅτε αὐτὸν ἐμισοῦμεν καὶ ἐχθροὶ ἦμεν, τὸν ἀγαπώμενον ἔδωκε, τί οὐ ποιήσει λοιπόν; πρότερον δὲ τὴν υἱοθεσίαν εἰπὼν, καὶ ἁγιασμὸν, καὶ ἀμώμους, τότε τὸ πάθος φησίν. οὐκ ἀπὸ μεγάλων ἐπὶ τὰ μικρὰ κατάγων τὸν λόγον, ἀλλὰ ἀπὸ τῶν μικρῶν ἐπὶ τὰ μεγάλα· οὐδὲν γὰρ οὕτω μέγα, ὡς τὸ αἷμα ἐκχυθῆναι τοῦ Υἱοῦ ὑπὲρ ἡμῶν· μέγα μὲν γὰρ τὸ ἀφεθῆναι τῶν ἁμαρτημάτων, ἀλλὰ μεῖζον, τὸ διὰ τοῦ αἵματος τοῦ δεσποτικοῦ.

Ὠριγένης φησὶν, ἠγαπημένος ἁπλῶς λέγεται ὁ Σωτήρ· ἐπεὶ κἂν πλανῶνται οἱ ἄνθρωποι περὶ τὴν τῆς δικαιοσύνης κατάληψιν καὶ τῆς ἀληθείας καὶ τῆς σοφίας, πλὴν πάντες ἂν ὁμολογήσαιεν ἀγαπᾶν σοφίαν καὶ ἀλήθειαν καὶ δικαιοσύνην. διὰ τοῦτο ἠγαπημένος λέγεται ὁ μονογενὴς τοῦ Θεοῦ, πάντων ἀγαπώντων τὰ ἐπινοούμενα αὐτῷ· ἤτοι δὲ σφαλλομένων τοῦ σκοποῦ, ἢ ἐπιτυγχανόντων· ὥσπερ πάντες τεθήπασι τὸν Θεὸν, σφάλλονται δὲ οἱ ἀποπίπτοντες τῆς ὑγιοῦς ἐννοίας περὶ τοῦ Θεοῦ.

Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων.

Ἀπολύτρωσις, ἡ λύτρωσις γίνεται τῶν αἰχμαλώτων καὶ γενομένων ὑπὸ τοῖς πολεμίοις· γεγόναμεν δὲ ὑπὸ τοῖς πολεμίοις, τῷ ἄρχοντι τοῦ αἰῶνος τούτου καὶ ταῖς ὑπ' αὐτὸν πονηραῖς δυνάμεσιν· καὶ διὰ τοῦτο ἐδεήθημεν ἀπολυτρώσεως καὶ τοῦ ἐξαγοράζοντος

ἡμᾶς, ἵνα ἡμᾶς ἀπαλλοτριωθέντας αὐτοῦ ἀπολάβῃ· ἔδωκεν οὖν ὁ Σωτὴρ τὸ ὑπὲρ ἡμῶν λύτρον, τὸ ἑαυτοῦ αἷμα· διόπερ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν παραπτωμάτων· τῇ ἀπολυτρώσει ἕπεται ἡ ἄφεσις τῶν παραπτωμάτων· πρὶν ἀπολυτρωθῆναι τινὰ, οὐκ ἐνδεχομένης αὐτῷ γενέσθαι ἀφέσεως παραπτωμάτων· πρῶτον οὖν ἀπολυτρωθῆναι ἡμᾶς δεῖ, καὶ μηκέτι εἶναι ὑπὸ τῷ αἰχμαλωτεύσαντι καὶ κεκρατηκότι· ἵνα ἐλευθερωθέντες καὶ ἔξω γενόμενοι τῶν, ἵν' οὕτως εἴπω, χειρῶν αὐτοῦ, ἐπ' ὠφελείᾳ δυνηθῶμεν λαβεῖν τὴν ἄφεσιν τῶν παραπτωμάτων, καὶ θεραπευθέντων ἀπὸ τῶν τραυμάτων τῆς ἁμαρτίας, ἐνεργῆσαι κατὰ εὐσέβειαν καὶ τὰς λοιπὰς ἀρετάς.

8 Κατὰ τὸ πλοῦτος τῆς χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς.

Ὁ νοήσας τί ἐστι "χάριτι ἐστὲ σεσωσμένοι, καὶ οὐκ ἐξ ἔργων·" καὶ συγκρίνων παραπτώματα παραπτώματι, βλέποι ἂν κατὰ τὴν λέγουσαν παραβολὴν, περὶ τῶν πεντακοσίων καὶ πεντήκοντα δηναρίων, τίς ὀφείλει πλείονας χάριτας ὁμολογεῖν τῷ συγχωρήσαντι τὸ χρέος οἰκοδεσπότῃ· ἔτι δὲ θεωρῶν πῶς "οὐκ ἄξια τὰ παθήματα τοῦ "νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀνακαλυφθῆναι εἰς ἡμᾶς," τὸν πλοῦτον τῆς τοῦ Θεοῦ χάριτος συνίδοι ἂν, καὶ ὡς ἐπερίσσευσεν οὕτως ἐπὶ τοὺς κλητοὺς καὶ ἐκλεκτοὺς μάλιστα, τοὺς ἀλλοτρίους τῶν διαθηκῶν τοῦ Θεοῦ καὶ ξένους τῶν ἐπαγγελιῶν αὐτοῦ τῷ παραπτώματι τοῦ Ἰσραὴλ, ἑλκυσθέντας ἀπὸ τῆς πατρικῆς χρηστότητος ἐπὶ τὴν σωτηρίαν· ἔτι δὲ μᾶλλον τὸν πλοῦτον τῆς χρηστότητος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς τοὺς μακαρίους, μεῖζον τίς κατανοῆσαι θεωρῶν τὸ "οὐκ οἴδατε ὅτι ἀγγέλους κρινοῦμεν," καὶ τὸ "εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι·" καὶ τὸ περὶ τοῦ ἐπὶ πᾶσι λεγομένου ἔσεσθαι, "δὸς ἵνα ὡς ἐγὼ καὶ σὺ ἓν ἐσμὲν, ἵνα "καὶ αὐτοὶ ἐφ' ἡμῖν ἓν ὦσιν." οὗτος δὲ ὁ πᾶς πλοῦτος τῆς χάριτος τοῦ Θεοῦ, ἧς ἐπερίσσευσεν εἰς τοὺς ἁγίους, ἀπό τινος ἀρχῆς ἐπιχορηγούμενος καὶ αὔξων καὶ πληθυνόμενος, ἤτοι ἀντιφιλοτιμούμενον καὶ συμπαρεκτεινόμενον κατὰ τὸ δυνατὸν ἔχει τὸν τυγχανοντα τῶν προειρημένων, ἢ ἀπολειπόμενον κατὰ τὸ ἐνδεχόμενον ποιεῖν πάντα τὰ ἐπιβάλλοντα.

Εἰ μὲν οὖν ἀπολείποιτό τις, οἱονεὶ κενὴ γένοιτ' ἂν πρὸς τὸν τοιοῦτον ἡ χάρις· εἰ δὲ τὰ παρ' αὐτοῦ ἀνελλιπῶς ποιῆσαι λέγοι ἂν τὸ ἀποστολικὸν "ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐ κενὴ ἐγενήθη."

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶν, ὅτι τὸ διὰ τοῦ αἵματος τοῦ δεσποτικοῦ λυτρωθῆναι, πολλῷ μεῖζον ἁπάντων· ὅρα πῶς καὶ ἐνταῦθα ἀνεβόησε· "κατὰ τὸν πλοῦτον τῆς χάριτος "αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς·" πλοῦτος μὲν γὰρ κακεῖνο, τὸ τῆς υἱοθεσίας, τὸ τῆς ἀφέσεως τῶν παραπτωμάτων· πολλῷ δὲ πλέον οὗτος καὶ πλοῦτος, καὶ ἐπερίσσευσε· τουτέστιν, ἄφατος ἐξεχύθη· οὐκ ἔνεστι λόγῳ παραστῆσαι, ὧν διὰ τῶν ἔργων ἐπειράθημεν· ὥστε πάντοθεν ἀμήχανον αὐτὸν λεχθῆναι.

9 **Ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ.**

Τουτέστι, σοφοὺς καὶ φρονίμους ποιήσας, τὴν ὄντως σοφίαν, τὴν ὄντως φρόνησιν. βαβαὶ πόση φιλία. τὰ γὰρ μυστήρια αὐτοῦ ἡμῖν λέγει, τοῦ θελήματος αὐτοῦ φησιν· ὡς ἂν εἴποι τις, τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ ἡμῖν ἐγνώρισε· τοῦτο γάρ ἐστι τὸ μυστήριον τὸ πάσης σοφίας γέμον καὶ φρονήσεως· τί γὰρ ταύτης τῆς σοφίας ἴσον ζητεῖς; τοὺς οὐδενὸς ἀξίους ὄντας, τούτους εὗρεν ὅπως εἰς πλοῦτον ἀγάγῃ· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐν τούτῳ τῷ καιρῷ· καὶ τοῦτο σοφίας ἦν, καὶ τὸ διὰ σταυροῦ· μακρὸς ἐνταῦθα λόγος δεῖξαι, πῶς σοφίας ἦν τοῦτο, καὶ πῶς σοφοὺς ἡμᾶς εἰργάσατο.

Πάλιν "κατὰ τὴν εὐδοκίαν αὐτοῦ," φησιν, "ἣν προέθετο ἐν "αὐτῷ." τουτέστι τοῦτο ἐπιθυμεῖ, τοῦτο ὤδινεν, ὡς ἄν τις εἴποι, ἐξειπεῖν ἡμῖν τὸ μυστήριον. ποῖον δὴ τοῦτο; ὅτι ἄνθρωπον ἄνω καθίσαι βούλεται· τοῦτο δὲ γέγονεν,

10 **Εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν αὐτῷ.**

Ἀπέσχιστο, φησὶ, τὰ ἐπουράνια τῶν ἐπιγείων· οὐκ εἶχε μίαν κεφαλήν· κατὰ μὲν γὰρ τὸν τῆς δημιουργίας λόγον, εἷς Θεὸς ἦν· κατὰ δὲ τὸν τῆς οἰκειώσεως, οὐκέτι, τῆς Ἑλληνικῆς πλάνης κεχυμένης· "εἰς οἰκονομίαν" φησὶ "τοῦ πληρώματος τῶν καιρῶν·"

πλήρωμα τῶν καιρῶν αὐτὸ ἐκάλεσεν· ὅρα πῶς ἀκριβῶς φθέγγεται· καὶ τὴν μὲν ἀρχὴν ἀπὸ τοῦ πατρὸς δείξας, τὴν πρόθεσιν, τὴν βουλὴν, τὴν πρώτην ὁρμήν· τὴν δὲ διὰ τῶν ἔργων ἐκπλήρωσιν, διὰ τοῦ Χριστοῦ· οὐδαμοῦ διάκονον αὐτὸν ὀνομάζει.

Ὠριγένης *φησί· τί τὸ "πάσῃ σοφίᾳ," καὶ μετὰ τοῦτο, τί τὸ "φρονήσει," κέχρηται τῇ λέξει; καὶ Ἰησοῦς ἐν τῇ Σοφίᾳ, ἀρξάμενος ἀπὸ τοῦ "πᾶσα σοφία παρὰ Κυρίου, καὶ μετ' αὐτοῦ "ἐστιν εἰς τὸν αἰῶνα·" εἴ τις οὖν κατενόησε τὰ βλεπόμενα καὶ τίνα τὰ ἐν αὐτοῖς ἢ καὶ ἔξω αὐτῶν μὴ βλεπόμενα, καὶ κατακερματίσας τῷ λόγῳ, ἴδια τὰ ἀόρατα καὶ ἴδια τὰ ὁρατὰ, ἐξετάζοι τὴν σοφίαν ᾗ τὰ πάντα πεποίηκεν ὁ Θεὸς "πάντα γὰρ ἐν σοφίᾳ" φησὶν ὁ Δαβὶδ "ἐποίησας," οὗτος τὴν παρὰ Κυρίου πᾶσαν ἐπιβλέποι σοφίαν· ἀλλ' εἰκὸς τινὰ ἀπογνόντα, τὸ ἤδη δύνασθαι ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει γενέσθαι τὸν ἔτι τὸ σῶμα τοῦτο περικείμενον, κατακούοντα δὲ καὶ τοῦ "ἐκ μέρους γινώσκομεν καὶ "ἐκ μέρους προφητεύομεν," προσκόψειν τῷ "ἐν πάσῃ σοφίᾳ "καὶ φρονήσει γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ·" ὡς κατακεχαρισμένως μᾶλλον, ἢ ἀληθῶς εἰρημένῳ· ἵνα γὰρ καὶ ἐν σοφίᾳ γνωρισθῇ Παύλῳ καὶ τοῖς παραπλησίοις αὐτῷ τὸ μυστήριον τοῦ Θεοῦ, ἀλλ' οὐκ ἐν πάσῃ σοφίᾳ γνωρίζεται πάντα αὐτῷ ἐκ μέρους γινώσκοντι, καὶ ἐκ μέρους προφητεύοντι· ὅρα οὖν εἰ μὴ πρὸς τὴν ζήτησιν ταύτην, ἄλλη διαστολὴ τῆς ἀναγνώσεως ὁρμόζει τῶν κατὰ τὸν τόπον, οὕτως ἔχουσα· "εἰς ἔπαινον δόξης τῆς χάρι- "τος αὐτοῦ, ἧς ἐχαρίτωσεν ἡμᾶς, ἐν τῷ ἠγαπημένῳ· ἐν ᾧ ἔχομεν "τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, τὴν ἄφεσιν τῶν "παραπτωμάτων κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, ἧς ἐπε- "ρίσσευσεν εἰς ἡμᾶς, ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει." Ἐνθάδε καταπαύσας τὴν τούτου τοῦ τόπου διαστολὴν, ἀπ' ἄλλης ἀρχῆς οὕτως ἀναγνώσεται τὸ "γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελή- "ματος αὐτοῦ κατὰ τὴν εὐδοκίαν αὐτοῦ." ὥστε τὸ ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει, μὴ ἐφαρμόζειν τῷ "γνωρίσας ἡμῖν τὸ μυστήριον "τοῦ θελήματος αὐτοῦ," ἀλλὰ τοῖς ἀνωτέρω· "ἐχαρίτωσε γὰρ "ἡμᾶς ἐν τῷ ἠγαπημένῳ, ἐν πάσῃ τῇ ἑαυτοῦ σοφίᾳ, καὶ τῇ "αὐτοῦ φρονήσει ὁ Θεός." ἀλλὰ καὶ "ἐν τῷ ἠγαπημένῳ ἔχοντες "τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος τοῦ Χριστοῦ," ἐν πάσῃ σοφίᾳ*

καὶ φρονήσει τοῦ Θεοῦ ἐλάβομεν ταῦτα· καὶ ἐν πάσῃ σοφίᾳ αὐτοῦ καὶ φρονήσει τετυχήκαμεν τῆς ἀφέσεως τῶν παραπτωμάτων· περισσεύοντος αὐτοῦ εἰς ἡμᾶς τοῦ πλούτου τῆς χάριτος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει· ἅπερ πάντα πεποίηκε, "γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, κατὰ τὴν "εὐδοκίαν αὐτοῦ."

Ἐὰν δὲ ᾖ καὶ ἡ προτέρα ἀνάγνωσις, τοιοῦτος ἀποδοθήσεται λόγος, μὴ ἐναντιούμενος τῇ ἐνεργείᾳ τοῦ ἐκ μέρους γινώσκειν, καὶ τοῦ δοκοῦντος καταλαμβάνειν, ἐν πάσῃ τῇ ἑαυτοῦ σοφίᾳ καὶ φρονήσει ὁ Θεὸς ἡμᾶς ᾠκονόμησε, "γνωρίσας τὸ μυστήριον τοῦ "θελήματος αὐτοῦ." ἵνα γὰρ δυνηθῶμεν γνωρίσαι τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ, καὶ τοῦτο χωρῆσαι ἐξισχύσωμεν, σώματα ταπεινώσεως περικείμενοι, πάσης σοφίας Θεοῦ οἰκονομούσης ἡμᾶς χρήζομεν· καὶ εἴπερ τὸ τῶν μυστηρίων ὄνομα ἐπὶ τῶν θείων καὶ ἀπορρήτων καὶ μὴ ἐπιτηδείων φθάνειν εἰς πολλοὺς παραλαμβάνεται, δηλονότι καὶ περὶ τῶν σωθησομένων θελήματι τοῦ Θεοῦ, μυστηρίου ἔχεται· τὸ γὰρ πολὺ πλῆθος τῆς χρηστότητος τοῦ Θεοῦ κέκρυπται τοῖς φοβουμένοις αὐτὸν, καθὼς φησὶν ὁ Δαβὶδ, "ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας "τοῖς φοβουμένοις σε." ἐπίστησον δὲ εἰ διαφέρει προορισμὸς καὶ πρόθεσις· ὡς μετὰ τὸν προορισμὸν τὴν πρόθεσιν γίνεσθαι· ὥστε οἷον κατὰ μὲν τὰ ἐννοήματα τοῦ Θεοῦ γίνεσθαι τὸν προορισμόν· κατὰ δὲ ταῦτα, ἤδη τὴν περὶ ὧν προώρισε πρόθεσιν οὐσιωμένων πῶς ἐπακολουθεῖν, καὶ εἰς ἔργον ἐρχομένων τοῦ προορισμοῦ· ὅθεν καὶ πρότερον μὲν γέγραπται τὸ "ἐν ἀγάπῃ προορίσας ἡμᾶς εἰς "υἱοθεσίαν," δεύτερον δὲ, "κατὰ τὴν εὐδοκίαν αὐτοῦ ἣν προέθετο "ἐν αὐτῷ."

Ἐξεταστέον δὲ, τί ἐστι "τὸ πλήρωμα τῶν καιρῶν·" τούτῳ δὲ παράκειται, τὸ "πλήρωμα τοῦ χρόνου," παρὰ τῷ αὐτῷ λεγόμενον Παύλῳ· *"ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ "*Θεὸς *τὸν* Υἱὸν *αὐτοῦ." ὥσπερ δὲ ὁ καιρὸς τοῦ παραλαβεῖν τὴν πατρῴαν κτῆσιν τὸν κληρονόμον γενόμενον ἐν ἡλικίᾳ ἀνδρὸς, πλήρωμα ἂν πως ὀνομάζοιτο τοῦ χρόνου αὐτοῦ ἢ τοῦ καιροῦ αὐτοῦ· οὕτως ἐν πληρώματι τῶν καιρῶν γένοιτ' ἂν ὁ διὰ τῶν φερουσῶν ἐπὶ τὴν τελειότητα ὁδῶν καὶ προκοπῶν καταντήσας ἐπὶ τὸ δύ-*

νασθαι τὰ προωρισμένα καὶ προτεθειμένα ὑπὸ τοῦ Θεοῦ τοῖς ἁγίοις λαβεῖν.

Θεόδωρος. *Καὶ Θεόδωρος δέ φησι, μυστήριον τοῦ θελήματος τοῦ Θεοῦ λέγει, τὸ ἀποκεκρυμμένον αὐτοῦ θέλημα καὶ ἄδηλον τοῖς πᾶσι μυστήριον αὐτὸ καλῶν· ὅπερ οὖν φησι, πόρρωθεν αὐτῷ δοκοῦν καὶ προωρισμένον ἦν, τοῦτο μετὰ πολλῆς σοφίας καὶ φρονήσεως ἐγώρισεν ἡμῖν· ἵνα εἴπῃ, ἐπ' αὐτῶν ἔδειξε τῶν πραγμάτων· διατί δὲ νῦν εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν; ἐπειδὴ κατὰ τάξιν πάντα οἰκονομεῖσθαι ἔδει.*

Ὅτε οὖν ἐπληρώθησαν οἱ καιροὶ τῶν λοιπῶν, τότε κατὰ τὴν ἄνωθεν οἰκονομουμένην τάξιν, ἐπὶ τῶν οἰκείων καιρῶν καὶ τὰ περὶ τὸν Χριστὸν ἐδείχθη.

Ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν αὐτῷ.

Ὠριγένης *φησὶ, τὸ ὄνομα τῆς ἀνακεφαλαιώσεως εἴρηται ἐπὶ τῶν τραπεζητικῶν καὶ τῶν παραπλησίων συμψηφιζομένων λόγων, καὶ εἰς ἓν κεφάλαιον συναγομένων δόσεων καὶ ἀναλωμάτων ἢ λήψεων. ὅθεν οἴομαι καὶ τὸν Ἀπόστολον ἐνταῦθα κεχρῆσθαι τῇ λέξει. πολλῶν γὰρ ὄντων λόγων τῆς οἰκονομίας τῶν ἐν οὐρανοῖς καὶ διοικήσεως τῶν ἐπὶ γῆς πάντων, ἅτε ἑνὸς τοῦ συμπαντος κόσμου μερῶν τυγχανόντων συμπνεόντων καὶ συννευόντων εἰς ἓν ἀποτέλεσμα, ἀνακεφαλαίωσίς ἐστιν ἐν τῷ Χριστῷ. Οὐ μόνον γὰρ οἱ κατακερματισμοὶ τῶν οἰκονομουμένων καὶ οἱ καθ' ἕνα λόγοι τῶν διοικουμένων εἰσὶν ἐν τῷ τοῦ Θεοῦ Λόγῳ καὶ τῇ σοφίᾳ αὐτοῦ, ἀλλὰ καὶ ἡ ἀνακεφαλαίωσις, καὶ ὡσὰν εἴποι τίς συγκεφαλαίωσις πάντων. κεφάλαιον λέγεται πολλάκις καὶ τὸ περιληπτικὸν νόημα. κεφάλαιον γ' οὖν φησιν ἐπὶ τοῖς λεγομένοις· καὶ κεφαλαίωσον ἐν ὀλίγοις πολλά. κεφάλαιον δὲ λέγεται, ὡς οἶμαι, ἀπὸ τοῦ καὶ τὴν κεφαλὴν ἡμῶν ἅπαντα ἔχειν ἐν αὐτῇ, καὶ τὰ ὅλα ἡμῖν τῆς ζωῆς αἰσθητήρια ὡς ἐν κεφαλαίῳ.*

(Χρυσοστόμου.) *Ὁ μακάριος δὲ Ἰωάννης φησὶ "πλήρωμα "τῶν καιρῶν," ἡ παρουσία αὐτοῦ ἦν. ἐπεὶ οὖν πάντα ἔπραξε, καὶ δι' ἀγγέλων καὶ διὰ τῶν προφητῶν, καὶ διὰ νόμου· καὶ οὐδὲν πλέον ἐγένετο, ἀλλ' ἐκινδύνευσεν εἰκῇ γεγενῆσθαι ὁ ἄνθρωπος·*

μᾶλλον δὲ καὶ ἐπὶ κακῷ πάντων ἀπολλυμένων ἁπλῶς, καὶ μειζόνως ἢ ἐπὶ τοῦ κατακλυσμοῦ, εὗρε ταύτην τὴν οἰκονομίαν τὴν διὰ τῆς χάριτος, ὥστε μὴ εἰκῇ μηδὲ μάτην αὐτὸν γεγενῆσθαι· τὸ πλήρωμα τῶν καιρῶν τοῦτο λέγει καὶ σοφίαν· ὅτι ὅτε μάλιστα ἔμελλον ἀπόλλυσθαι, τότε διεσώθησαν· καὶ τὰ διὰ μακροῦ χρόνου οἰκονομούμενα, ἀνεκεφαλαιώσατο ἐν αὐτῷ. τουτέστι, συνέτεμε· λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ. καὶ ἐκεῖνα περιέλαβε, καὶ ἕτερα προσέθηκε. τοῦτό ἐστιν ἀνακεφαλαίωσις. ἔστι καὶ ἕτερόν τι δηλούμενον· μίαν κεφαλὴν ἅπασιν ἐπέθηκε τὸν Χριστὸν, καὶ ἀνθρώποις καὶ ἀγγέλοις· καὶ ὑπὸ μίαν ἤγαγε κεφαλήν· οὕτως γὰρ ἂν γένοιτο ἕνωσις ἀκριβὴς καὶ συνάφεια.

Σευηριανὸς δέ φησιν, ἐπειδὴ ἔπεσεν ὁ πλασθεὶς διὰ τῆς παρακοῆς, καὶ ἀσεβησάντων ἀνθρώπων, ἀπηλλοτριώθη τὰ ἐπουράνια τῶν ἐπιγείων, ἐλθὼν, πάντα ἀνεκεφαλαιώσατο· καὶ τοῦτο, μετὰ ταῦτα ἑτέρως φησὶ, εἰπὼν "εἰρηνοποιήσας τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς." αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν· ὁ ποιήσας τὰ ἀμφότερα ἓν, τοὺς Ἰουδαίους καὶ τοὺς Ἕλληνας, διὰ τῆς εἰς Χριστὸν πίστεως.

11 Ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶ, πανταχοῦ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν ἐσπούδασεν ὁ Παῦλος τὴν περὶ ἡμᾶς δεῖξαι, ὡς αὐτῷ δυνατόν. ὅτι γὰρ μετὰ ἀκριβείας οὐχ οἷόν τε, ἄκουσον τί φησὶν αὐτός· "ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ." πλὴν, ἀλλ' ὡς οἷόν τε δείκνυσι· τί οὖν, φησίν; εἶπεν "ἐξελέξατο ἡμᾶς" ἀνωτέρω· ἐνταῦθα, "ἐκληρώθημεν·" ἀλλ' ἐπειδὴ ὁ κλῆρος συντυχίας πρᾶγμα ἐστὶν, οὐ προαιρέσεως οὐδὲ ἀρετῆς· ἀγνοίας γὰρ καὶ ἐπιτυχίας ἔχεται· καὶ τοὺς ἐναρέτους πολλάκις ἀφεὶς, τοὺς οὐδενὸς ἀξίους λόγου, τούτους εἰς μέσον παρήγαγεν. ὅρα πῶς αὐτὸ διορθοῦται· "προορισθέντες" φησὶ "κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος·" τουτέστιν, οὐχ ἁπλῶς ἐκληρώθημεν· ὥσπερ οὐδὲ ἁπλῶς ἐξελέγη-

μεν· Θεὸς γὰρ ὁ ἐκλεξάμενος καὶ κληρωσάμενος, ἀλλὰ κατὰ πρόθεσιν· τοῦτο καὶ ἐν τῇ πρὸς Ῥωμαίους, γράφων φησὶ, "τοῖς "κατὰ πρόθεσιν κλητοῖς οὖσιν· οὓς καὶ ἐκάλεσεν, οὓς καὶ ἐδι-"καίωσεν· οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε·" πρότερον εἰπὼν "τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν," ὁμοῦ καὶ τὸ ἐξαίρετον τὸ πρὸς τοὺς ἄλλους δηλῶσαι βουλόμενος καὶ κλῆρον εἶπε. καὶ ὥστε τὸ αὐτεξούσιον μὴ ἀφελέσθαι, ὅπερ ἐστὶ μακαριότητος, μᾶλλον αὐτὸ τίθησιν. ὁ γὰρ κλῆρος οὐκ ἀρετῆς ἐστὶν ἀλλὰ συντυχίας. ὡσανεὶ ἔλεγε, κλήρου γενομένου, ὑμᾶς ἐξελέξατο· τὸ δὲ ὅλον ἀπὸ τῆς προαιρέσεως· προορισθέντας, τουτέστιν ἑαυτῷ ἐκλεξάμενος, ἀφώρισεν· οἷον, ἑώρα ὑμᾶς πρὶν ἢ γενέσθαι, κεκληρωμένους· θαυμαστὴ γὰρ ἡ τοῦ Θεοῦ πρόγνωσις, καὶ πάντα εἰδυῖα πρὶν γενέσεως αὐτῶν.

Σὺ δὲ θέα, πῶς πανταχοῦ σπουδὴν ποιεῖται δεῖξαι, ὅτι οὐκ ἐκ μετανοίας, ἀλλ' ἄνωθεν τὰ πράγματα οὕτω τετύπωτο· ὥστε μηδὲν ἡμᾶς ἔχειν τῶν Ἰουδαίων ἔλαττον κατὰ τοῦτο· διὰ τοῦτο πάντα ὑπὲρ τούτου ποιεῖ. πῶς οὖν φησὶν αὐτὸς ὁ Χριστὸς, "οὐκ ἀπε-"στάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ;" πάλιν ὁ Παῦλος ἔλεγεν· "ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι "τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους "κρίνετε αὐτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη;" διὰ τοῦτο ταῦτα λέγεται, ἵνα μὴ ὡς ἐκ παρέργου νομίσῃ τίς τοῦτο γεγενῆσθαι· "κατὰ πρόθεσιν" φησὶ τοῦ τὰ πάντα ἐνεργοῦντος "κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ·" τουτέστιν, οὐδὲν μετὰ ταῦτα ἐνήργησε· πάντα ἄνωθεν διατυπώσας οὕτως, αὐτὸς ἐπάγει "πάντα κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ," ὥστε οὐκ ἐπειδὴ Ἰουδαῖοι οὐ προσεῖχον, διὰ τοῦτο τὰ ἔθνη ἐκάλεσεν, οὐδὲν ἀναγκασθεὶς, οὐδὲ ἐξ ἐκείνων ὁρμηθείς.

Σετηριανὸς *δέ φησι, φανερῶς ἐνταῦθα, ἄλλο ἐνέργειαν λέγει καὶ ἄλλο βούλησιν· εἰπὼν "τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν "βουλὴν," εἶπε "τοῦ θελήματος," ἵνα δείξῃ κεκριμένον τὸ θέλημα· ἅπερ ἂν τις ἀπὸ βουλῆς καλῆς ἐβεβαίωσε, ταῦτα κρίσει ὥρισται, λέγων ἐχρήσατο ταῖς φωναῖς.*

Ὠριγένης *φησὶν, ὅσα ἐνεργεῖ ὁ Θεὸς καὶ πράττει καὶ ἐπιτελεῖ, ταῦτα πάντα κατὰ τὴν ἰδίαν βουλὴν τοῦ θελήματος αὐτοῦ*

ἐνεργεῖ· οὐδὲν γάρ ἐστιν ὃ δύναται αὐτὸς ποιῆσαι πρᾶξαί τε παρὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ· πάντων γὰρ κρατεῖ καὶ ἄρχει τῶν ὅλων· ἵνα δὲ τὸ περιεσκεμμένον ὁ Παῦλος παραστήσει τῶν ἐνεργειῶν τοῦ Θεοῦ κατὰ τὸ θέλημα αὐτοῦ γινομένων, προέταξε τοῦ θελήματος τὴν βουλήν· πάντων γὰρ μᾶλλον ὁ Θεὸς μετὰ βουλῆς πάντα ποιεῖ· διόπερ πάντα ἐνεργεῖ κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ.

12 Εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης αὐτοῦ τοὺς προ-
13 ηλπικότας ἐν τῷ Χριστῷ· ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες
τὸν λόγον τῆς ἀληθείας, τὸ Εὐαγγέλιον τῆς σωτηρίας
ὑμῶν.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶ, τουτέστι, "δι' "οὗ." ὅρα πανταχοῦ τὸν Χριστὸν πάντων αἴτιον γινόμενον, καὶ οὐδαμοῦ τὸ τοῦ ὑπουργοῦ ὄνομα, οὐδὲ τὸ τοῦ διακόνου· ὥσπερ καὶ ἀλλαχοῦ φησὶν Ἑβραίοις γράφων· "ὅτι πάλαι λαλήσας τοῖς "πατράσιν ἡμῶν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν, "ἐλάλησεν ἡμῖν ἐν Υἱῷ·" τουτέστιν, δι' Υἱοῦ· τὸν λόγον φησὶ τῆς ἀληθείας, οὐκέτι τὸν τοῦ τύπου οὐδὲ τὸν τῆς εἰκόνος. "τὸ "Εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν·" καὶ καλῶς Εὐαγγέλιον αὐτὸ σωτηρίας καλεῖ· τὸ μὲν, πρὸς τὸν νόμον αἰνιττόμενος· τὸ δὲ, πρὸς τὴν μέλλουσαν κόλασιν· οὐδὲν γὰρ ἄλλό ἐστι τὸ κήρυγμα, ἀλλ' ἢ σωτηρίας Εὐαγγέλιον· ὅτι τοὺς ἀξίους ἀπόλλυσθαι, οὐκέτι ἀπόλλυσιν.

Θεόδωρός φησι, τῷ γὰρ αὐτῷ δὴ τρόπῳ, φησὶ, τῶν τοῦ Εὐαγγελίου ῥημάτων ἀκούσαντες, τῇτε πίστει προσεληλύθατε, καὶ τῇ τοῦ Πνεύματος μετουσίᾳ τὴν βεβαίωσιν ἐδέξασθε· τοῦτο γὰρ λέγει τὸ "ἐσφραγίσθητε·" προσεγίνετο δὲ αὐτοῖς διὰ τῆς τοῦ Πνεύματος χάριτος, ἡ βεβαίωσις τῶν ἀκολουθούντων ὡς εἰκὸς θαυμάτων, μειζόνως εἰς τὴν πίστιν ἐπίσφιγγον αὐτούς· καλῶς δὲ αὐτὸ Πνεῦμα τῆς ἐπαγγελίας ἐκάλεσεν· ἐπειδὴ πάντα τὰ προσδοκώμενα αὐτοῖς ἐπὶ τοῦ μέλλοντος αἰῶνος προσέσθαι ἀγαθὰ, τῇ τοῦ Πνεύματος μετουσίᾳ.

14 Ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ὑμῶν.

Κληρονομίαν τῶν τότε καλεῖ τὴν ἀπόλαυσιν· ἅτε δὴ βεβαίως

αὐτοῖς διδομένων· ἀρραβῶνα δὲ τῆς κληρονομίας, τὴν ἐνταῦθα δόσιν τοῦ Πνεύματος· ἐπειδὴ τὰς περὶ τῶν μελλόντων ἐπαγγελίας δεχόμενοι, καὶ τὴν τελείαν τοῦ Πνεύματος προσδοκῶντες μετάδοσιν, βραχεῖαν τινὰ, ὥσπερ οὖν εἶπον, ἀπαρχὴν τοῦ παρόντος ἐλάμβανον.

Ἐν ᾧ καὶ πιστεύσαντες, ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ· ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ὑμῶν.

(Χρυσοστόμου.) *Ὁ μακάριος Ἰωάννης φησὶ, πάλιν πολλῆς προνοίας δεῖγμα, τὸ σφραγισθῆναι, οὐ τὸ ἀφορισθῆναι· οὐδὲ τὸ κληρωθῆναι μόνον, ἀλλὰ καὶ τὸ σφραγισθῆναι· καθάπερ γὰρ εἴτις τοὺς λαχόντας αὐτῷ δήλους ποιήσειεν, οὕτω καὶ ὁ Θεὸς ἀφώρισεν εἰς τὸ πιστεῦσαι, ἐσφράγισεν εἰς τὸ κληρονομῆσαι τὰ μέλλοντα.*

Ὅρα πῶς προϊόντος τοῦ χρόνου, θαυμαστοὺς αὐτοὺς ποιεῖ. ἕως μὲν γὰρ ἦσαν ἐν τῇ προγνώσει, οὐδενὶ ἦσαν δῆλοι· ἐπειδὴ δὲ ἐσφραγίσθησαν, δῆλοι γεγόνασιν· ἀλλ' οὐχ ὡς ὑμεῖς. ἔσονται γὰρ πλὴν ὀλίγων δῆλοι.

Ἐσφραγίσθησαν καὶ οἱ Ἰσραηλῖται, ἀλλὰ περιτομῇ, καθάπερ τὰ βοσκήματα καὶ τὰ ἄλογα· ἐσφραγίσθημεν καὶ ἡμεῖς, ἀλλ' ὡς υἱοὶ Πνεύματι. τί ἐστι "Πνεύματι ἐπαγγελίας;" ἤτοι ὅτι κατ' ἐπαγγελίαν αὐτὸ ἐλάβομεν· δύο γάρ εἰσιν ἐπαγγελίαι· μία μὲν διὰ τῶν προφητῶν, ἑτέρα δὲ ὑπὸ τοῦ Υἱοῦ. διὰ τῶν προφητῶν· ἄκουε τοῦ Ἰωὴλ λέγοντος· "ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ "πᾶσαν σάρκα," καὶ τὰ ἑξῆς. ἄκουε δὲ πάλιν τοῦ Χριστοῦ λέγοντος· "καὶ λήψεσθε δύναμιν, ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος "ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες, ἔν τε Ἱερουσαλὴμ καὶ ἐν "πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς."

Τεκμήριον οὖν ποιεῖται τῆς τῶν μελλόντων ἐπαγγελίας, τὰ ἤδη δεδομένα· διὰ τοῦτο καὶ "ἀρραβῶνα" καλεῖ· ὁ γὰρ ἀρραβὼν, μέρος ἐστὶ τοῦ παντός. Ἠγόρασε παρ' ἡμῶν τὴν σωτηρίαν τὴν ἡμετέραν, καὶ ἔδωκεν ἡμῖν ἀρραβῶνα τέως. διατί οὖν μὴ τὸ ὅλον εὐθέως ἔδωκεν; ἐπειδὴ μηδὲ ἡμεῖς τὸ ὅλον εἰργασάμεθα. ἐπιστεύσαμεν· τοῦτο ἀρχή· ἔδωκε καὶ αὐτὸς ἀρραβῶνα· ὅταν τὴν πίστιν διὰ τῶν ἔργων δείξωμεν, τότε τὸ πᾶν προστίθησι· μᾶλλον

δὲ καὶ ὅλην ἔδωκε τιμὴν, τὸ ἴδιον αἷμα, καὶ πάλιν ἄλλην ὑπέσχετο.

(ΣΕΥΗΡΙΑΝΟΣ.) Ἄλλος φησὶ, τῶν προεγνωσμένων, φησὶν, ἐστὲ καὶ ὑμεῖς, οἰκειούμενοι Χριστῷ δι' ὑπακοῆς καὶ τῆς ἐπὶ τῇ ἀκοῇ πίστεως καὶ τοῦ ἐπὶ τῇ πίστει σφραγισμοῦ, ὅς ἐστιν ὁμοίωσις πρὸς Χριστὸν διὰ τῆς τοῦ Πνεύματος μεταλήψεως· παρὰ τίνος δὲ ἤκουσαν τὸν λόγον τῆς ἀληθείας; ἢ παρὰ Ἰωάννου τοῦ εὐαγγελιστοῦ; ἐκεῖ γὰρ ἐκήρυττε· διὸ καὶ ὑψηλότερον αὐτοῖς ὁ Παῦλος διαλέγεται, ἐκ τῆς ἐκείνου διδασκαλίας κατηρτισμένοις.

ὨΡΙΓΕΝΗΣ φησὶν, "ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες." ἐν ᾧ, δηλονότι Χριστῷ· πρὸς ἑτέροις ἀκούσασι, καὶ ὑμεῖς ἀκούσαντες τὸν τῆς ἀληθείας λόγον· ὅσπερ ἀληθείας λόγος, τὸ Εὐαγγέλιόν ἐστι τῆς σωτηρίας ὑμῶν· καὶ "πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ·" δόξει δὲ ὡς πρὸς τὴν φράσιν, τὸ δεύτερον "ἐν ᾧ," παρέλκειν. ὅπερ καὶ αἴτιον γεγένηται τοῦ δοκεῖν ὅτι κρεμαμένου τοῦ διανοήματος, ἡ ὑποτακτικὴ φράσις οὐκ ἐπενήνεκται. οὐχ οὕτω δὲ ἔχει. ἔλεγε δή τις τῶν πρὸ ἡμῶν, ἀπὸ τῆς πολλῆς περὶ τὸν Ἰησοῦν ἀγάπης τὸν Παῦλον συνεχέστατα αὐτοῦ μεμνῆσθαι· καὶ ὡσπερεὶ παρελκόντως, ὥσπερ καὶ ἐπὶ τοῦ "ἐν ᾧ" καὶ πιστεύσαντες ἔστιν ἰδεῖν κατὰ τὸ ἐν ᾧ. πάνυ δὲ κατὰ τοὺς Ἐφεσίους ἐστὶ κεκοινωνηκότας ἀπορρήτων λόγων, ὑφηγουμένου τοῦ Παύλου, τὸ ἀκούειν "ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας·" οὐκ οἶμαι γὰρ τοὺς τοῦ κηρύγματος μόνου ἀκηκοότας, καὶ τοὺς λόγους τῶν πραγμάτων μὴ παρειληφότας, ἐν διηγήσει καὶ τρανεῖ ἀναπτύξει ἀκούειν τὸν λόγον τῆς ἀληθείας. διαφέρει γὰρ ὁ λόγος καὶ τὸ κήρυγμα, ὡς καὶ ἐν ἄλλοις ὁ Παῦλος διδάσκει λέγων· "καὶ ὁ λόγος μου καὶ τὸ κήρυγμα μου οὐκ ἐν πειθοῖς σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος καὶ δυνάμεως."

Κακεῖ γὰρ παρατηρητέον, ὅτι ἕτερον λέγει εἶναι τὸν λόγον ἑαυτοῦ τοῦ κηρύγματος ἑαυτοῦ. ἐξεταστέον δὲ καὶ ἐν ἄλλῃ Ἐπιστολῇ, κατὰ τὸ ἀκηκοέναι τινὰς τὸν λόγον τῆς ἀληθείας· ἵνα τὸ παρατήρημα ἀκριβέστερον κατὰ τὸ βούλημα τοῦ Παύλου φανῇ· ἀλλὰ τοῦτο μὲν Εὐαγγέλιον ὀνομάζεται.

Παρατηρητέον δὲ καὶ τὰς προστιθεμένας αὐτῷ λέξεις· οἷον, "κατὰ τὸ Εὐαγγέλιόν μου" ἢ "ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ "Χριστοῦ" ἢ "Εὐαγγέλιον αἰώνιον" ἢ Εὐαγγέλιον τῆς σωτηρίας τῶν Ἐφεσίων· ἢ ἁπλῶς Εὐαγγέλιον· ὥσπερ ὅταν λέγῃ περὶ τοῦ Λουκᾶ ὁ Παῦλος, "οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ διὰ πασῶν τῶν "ἐκκλησιῶν." σφραγίζεται δὲ τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ πᾶς ὁ ἀκούσας τὸν τῆς ἀληθείας λόγον ὄντα Εὐαγγέλιον τῆς σωτηρίας τοῦ ἀκούοντος καὶ πιστεύοντος· ὡσεὶ ἀκούσας μὲν, μὴ πιστεύσας δὲ, οὐκ ἂν σφραγισθείη.

Ἄλλος δέ τις ἐρεῖ, ὅτι εἰ καὶ πιστεῦσαι μὲν, μὴ ἐπὶ τοσοῦτον δὲ προκόπτοι· ὡς ἀκούειν τὸν λόγον τῆς ἀληθείας, οὐδ' οὕτως ἂν χωρῆσαι τὴν τοῦ Πνεύματος ἐπαγγελίαν τοῦ Ἁγίου σφραγῖδα· εἴτις ἐστὶν ἀληθῶς ἐκτύπωσις καὶ τράνωσις τούτων, ἃ πρέπει ἐκτυποῦσθαι καὶ τρανοῦσθαι, ὑπὸ τοῦ τῆς ἐπαγγελίας Ἁγίου Πνεύματος.

Ζητητέον δὲ καὶ εἴ που εἴρηται Πνεῦμα ἐπαγγελίας Ἅγιον· καὶ τί ἐκδεκτέον εἰς τὸ Πνεῦμα τῆς ἐπαγγελίας τὸ Ἅγιον. οἶμαι τοίνυν ὅτι ὥσπερ τὸ Πνεῦμα τὸ Ἅγιον, γενόμενον ἐπί τινι, ἅγιον ποιεῖ, καὶ τὸ Πνεῦμα τῆς σοφίας σοφὸν, καὶ τὸ Πνεῦμα τῆς συνέσεως συνετὸν, οὕτω καὶ τὸ Πνεῦμα τῆς ἐπαγγελίας εἶναί πως ἤδη ἐν τῇ ἐπαγγελίᾳ.

Ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ.

Ζητήσεις, εἰ πᾶς ὁ μετέχων Ἁγίου Πνεύματος, μετέχει τοῦ Πνεύματος τῆς ἐπαγγελίας, ἢ μόνος ὁ ἀκούσας λόγον ἀληθείας. ὄντος Εὐαγγελίου σωτηρίας, καὶ πιστεύσας, οὗτος λαμβάνει τὸ τῆς ἐπαγγελίας Πνεῦμα Ἅγιον. ἔτι δὲ τούτοις ἐπιστήσαμεν· εἰ πᾶς ὁ μετέχων ὁπώσποτε Πνεύματος Ἁγίου ἔχει τὸν ἀρραβῶνα τῆς κληρονομίας· βέλτιον δὲ νοεῖν, ὅτι ὥσπερ ἐπὶ τῶν συνωνουμένων τι καὶ διδόντων ἀρραβῶνα, κατὰ τὴν ἀναλογίαν τῆς ποσότητος τοῦ ὅλου ἀργυρίου δίδοται ἀρραβὼν, οὕτως κατὰ τὴν ἀναλογίαν τῶν ἑκάστου προεγνωσμένων ἁγίου μελλόντων ἀγαθῶν, δίδοται ἀρραβὼν τῆς κληρονομίας, ὡς ἀπὸ τοῦ ἀρραβῶνος τὸν δυνάμενον

κατανοεῖν διαφορὰς τῆς δυναμεῶς τοῦ ἀρραβῶνος· καὶ ἀρραβῶνος ἔδει ἂν ἀποφήνασθαι περὶ πλείονος καὶ ἐλάττονος κληρονομίας, τῆς ἀποκειμένης τοῖς Χριστοῦ συγκληρονόμοις.

Ὥσπερ δὲ ὁ ἀρραβὼν τῆς κληρονομίας οὐχὶ ἔξω τί ἡμῶν ἐστιν, ἐν γὰρ ἑκάστῳ τὸ Πνεῦμα τῆς ἐπαγγελίας ἐστὶ τὸ Ἅγιον, ὁ ἀρραβὼν τῆς ἐπαγγελίας, οὕτως ἡ κληρονομία οὐκ ἔξωθέν ἐστι τοῦ κληρονομοῦντος, ἀλλ' ἐν τῷ νῷ τοῦ κληρονομοῦντος, καὶ τῇ ψυχῇ αὐτοῦ· οὐδὲν γὰρ τῶν ἔξωθεν συγκρίνεσθαι δύναται τελειότητι νοῦ, θεωροῦντος κάλλη σοφίας καὶ λόγου Θεοῦ καὶ ἀληθείας· τοῦτο μέντοι γε τὸ Πνεῦμα τῆς ἐπαγγελίας τὸ Ἅγιον, ὅπέρ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, ἐπὶ τοῦ παρόντος δίδοται τοῖς ἁγίοις, ἵνα ἀπολυτρωθῶσι, περιποιηθῶσι, τῷ Θεῷ καταρτιζόμενοι εἰς ἔπαινον τῆς δόξης τοῦ Θεοῦ· τὸ δὲ "εἰς ἔπαινον τῆς δόξης "αὐτοῦ," πρὸς τῷ ἀποδεδομένῳ, δύναται καὶ τοσοῦτο δηλοῦν· ἐπὶ τῷ ἐπαινεῖν τὴν δόξαν τοῦ Θεοῦ· ἕκαστος νῦν μὲν τὸ Πνεῦμα τῆς ἐπαγγελίας λαμβάνων ἀρραβῶνα τῆς κληρονομίας, ὕστερον δὲ αὐτὴν τὴν κληρονομίαν· οὐ μέντοι ὡς ἄν τις ὑπονοῆσαι σημαίνεσθαι ἐκ τῆς λέξεως ὡς χρήζοντες τοῦ Θεοῦ τῶν ἐπαινούντων τὴν δόξαν αὐτοῦ, ἀλλ' ὡς μεγίστων ἀγαθῶν περιγινομένων τοῖς τεθεωρηκόσι τὸ ἐπαινετὸν τῆς δόξης τοῦ Θεοῦ, καὶ μὴ δυναμένων σιωπᾶν αὐτὸ, ἀλλ' ἀεὶ πρὸς τὸ εὐφραίνεσθαι ἐν τῷ ὑμνεῖν αὐτὸ γινομένοις.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶν, οἱ ὄντως Πνεύματος μετέχοντες, ἴσασιν ὅ τι ἀρραβὼν τῆς κληρονομίας ἡμῶν ἐστί· τοιοῦτος ὁ Παῦλος ἦν, ἐντεῦθεν τῶν ἐκεῖ γεγευμένος· διὸ καὶ ἠπείγετο καὶ ὤδινε τὰ ἐνθάδε ἀφεῖναι· ἐν ἑτέροις γὰρ ὀφθαλμοῖς ἑώρα, πάντα τὸν νοῦν μεταστήσας ἐκεῖ· οὐ μετέχεις τῶν πραγμάτων· διὰ τοῦτο καὶ τῶν ῥημάτων ἐκπίπτεις· εἰ μετείχομεν Πνεύματος, ὡς μετέχειν ἔδει, καὶ τοὺς οὐρανοὺς ἑωρῶμεν, καὶ τῶν ἐκεῖσε κατάστασιν. ἀρραβὼν τίνος ἐστί; τῆς ἀπολυτρώσεως, τῆς περιποιήσεως· ἡ γὰρ καθαρὰ ἀπολύτρωσις τότε γίνεται· νῦν μὲν γὰρ καὶ ἐν κόσμῳ ἀναστρεφόμεθα, καὶ πολλὰ ἡμῖν ἀνθρώπινα συμπίπτει· καὶ μετὰ ἀσεβῶν ἐσμέν· ἡ δὲ καθαρὰ ἀπολύτρωσις, ὅτε μήτε ἁμαρτήματα ᾖ μήτε πάθη ἀνθρώπινα, μήτε ἀναμὶξ ὦμεν μετὰ πάντων, τότε ἐστί· νῦν δὲ ἀρραβών. καὶ γὰρ καὶ νῦν

αὐτῶν ἀπέστημεν· οὐ γὰρ ἔστιν ἡμῶν τὸ πολίτευμα ἐπὶ τῆς γῆς· καὶ νῦν ἐκτός ἐσμεν, πάροικοι γὰρ ἐσμέν· καὶ νῦν χωρὶς ἁμαρτημάτων οἱ ὄντες εἰς ἔπαινον τῆς δόξης αὐτοῦ. συνεχῶς τοῦτο τίθησι· τί δήποτε ἱκανὸν ὄν; πληροφορῆσαι τοὺς ἀκούοντας. εἰ μὲν γὰρ ἡμῶν, φησιν, ἕνεκεν ταῦτα ἐποίει, κἂν ἦν ἀμφίβολον· εἰ δὲ δι' ἑαυτὸν, καὶ ὥστε δεῖξαι τὴν ἀγαθωσύνην αὐτοῦ ὥσπέρ τινα μαρτυρίαν αἰτίαν τίθησι, τοῦ μὴ ἂν ἄλλως ταῦτα γενέσθαι· ἅπερ καὶ ἐπὶ τῶν Ἰσραηλιτῶν ἄνω καὶ κάτω ὁρῶμεν λεγόμενα, "ποίη-"σον ἡμῖν διὰ τὸ ὄνομά σου·" καὶ πάλιν αὐτὸς ὁ Θεὸς ἔλεγε, "ποιῶ ἕνεκεν ἐμοῦ·" καὶ ὁ Μωϋσῆς· "ποίησον ἡμῖν διὰ τὸ "ὄνομά σου·" εἰ καὶ μηδενὸς ἕνεκεν ἑτέρου· πληροφορεῖ γὰρ τοῦτο τοὺς ἀκούοντας, καὶ ἀνίησι μαθόντας ὅτι διὰ τὴν οἰκείαν ἀγαθότητα πάντως ποιήσει ἅπερ ἐπαγγέλλεται.

Θεόδωρός φησιν, "ἀπολύτρωσιν περιποιήσεως," τὸ διὰ τῆς ἀναστάσεως καὶ τῆς ἀθανασίας τῶν ἐντεῦθεν ἀπαλλαττομένους κακῶν, τὴν πρὸς αὐτὸν οἰκείωσιν λαμβάνειν· ἀφ' ὧν τῆς παρ' αὐτοῦ μετάσχοντες δόξης, εἰκότως θαυμαστὸν ἐκεῖνον ἐνδείκνυμεν, τὸν τοσούτων αἴτιον ἡμῖν τῶν ἀγαθῶν γεγονότα· τοῦτο γὰρ λέγει τὸ "εἰς ἔπαινον τῆς δόξης αὐτοῦ."

ΚΕΦ. Β.

Εὐχὴ περὶ γνώσεως τῶν ἐν Χριστῷ εἰσαχθέντων ἀγαθῶν εἰς ἡμᾶς.

15 Διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν
τῷ Κυρίῳ Ἰησοῦ, καὶ τὴν εἰς πάντας τοὺς ἁγίους ἀγά-
16 πην, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν.

Τοῦτο ἀναγκαίως προτέθεικεν οὐκ αὐτῶν μόνον ἕνεκεν, ἀλλ' ὥστε καὶ μὴ δοκεῖν ἐπιμεμφόμενον οἷς ἤδη παρέλαβον κεχρῆσθαι τῇ πρὸς αὐτοὺς διδασκαλίᾳ· εἰ γὰρ καὶ μὴ Ἰωάννης, ἀλλ' ἕτερός τις τῶν εὐσέβειαν κηρυττόντων ἦν ὁ τὰ τῆς ἀληθείας δόγματα αὐτοῖς παραδοὺς, ἀναγκαία ἡ προσθήκη.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶν, οὐδὲν ἦν ἴσον τῶν σπλάγχνων τῶν ἀποστολικῶν· ὃς πάσας αὐτοῦ τὰς εὐχὰς ὑπὲρ πόλεων ὁλοκλήρων ἐποιεῖτο καὶ δήμων· διὰ τοῦτο φησὶ,

τουτέστιν διὰ τὸ μέλλον, καὶ τὰ ἀποκείμενα ἀγαθὰ τοῖς ὀρθῶς πιστεύουσι καὶ βιοῦσιν. ἄξιον μὲν οὖν εὐχαριστεῖν Θεῷ, ὑπὲρ πάντων τῶν ὑπηργμένων παρ' αὐτοῦ τῷ τῶν ἀνθρώπων γένει, καὶ πρὸ τούτου καὶ μετὰ ταῦτα. ἄξιον δὲ αὐτῷ εὐχαριστεῖν, καὶ ὑπὲρ τῆς πίστεως τῶν πιστευόντων· ἀκούσας, φησὶ, τὴν πίστιν τὴν καθ' ὑμᾶς διὰ τοῦ Χριστοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας ἁγίους· πανταχοῦ συνάπτει καὶ συγκολλᾷ τὴν πίστιν καὶ τὴν ἀγάπην, θαυμαστήν τινα ξυνωρίδα. οὐ τοὺς ἐπιχωρίους, φησὶ, μόνον, ἀλλὰ πάντας. "οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν "ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου." τί δέῃ; καὶ τί παρακαλεῖς; "ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ "Πατὴρ τῆς δόξης, δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως." δύο ἀξιοῖ αὐτοὺς μαθεῖν ὡς χρή· ἐπὶ τίσιν ἐκλήθησαν, καὶ πῶς ἀπηλλάγησαν τῶν προτέρων· φησὶ δὲ αὐτὸς ταῦτα τρία εἶναι. πῶς οὖν ἐστι τρία; περὶ τῶν μελλόντων ἵνα μάθωμεν· ἀπὸ μὲν γὰρ τῶν ἀποκειμένων ἀγαθῶν, τὸν ἄρρητον καὶ ὑπερφυᾶ πλοῦτον αὐτοῦ εἰσόμεθα· ἀπὸ δὲ τοῦ μαθεῖν τίνες ὄντες πῶς ἐπιστεύσαμεν, τὴν δύναμιν αὐτοῦ καὶ τὴν αὐθεντείαν· τῷ τοὺς ἐπὶ τοσούτῳ χρόνῳ ἀλλοτριωθέντας ἐπιστρέψαι· τὸ γὰρ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστίν· ἀπὸ γὰρ τῆς αὐτῆς δυνάμεως ἀφ' ἧς τὸν Χριστὸν ἤγειρε, καὶ ἡμᾶς εἵλκυσε πρὸς αὐτὸν, καὶ οὐ μέχρι τῆς ἀναστάσεως ἡ δύναμις, ἀλλὰ καὶ πολλῷ πλέον.

20 Καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ, ὑπὲρ ἄνω πάσης ἀρ-
21 χῆς, καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ
22 παντὸς ὀνόματος ὀνομαζομένου, καὶ πάντα ὑπέταξεν ὑπὸ
τοὺς πόδας αὐτοῦ· καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ
23 πάντα τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ· τὸ πλή-
ρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

Μεγάλων ὄντως μυστηρίων καὶ ἀπορρήτων ἡμᾶς ἐποίησε κοινωνούς· καὶ ταῦτα ἄλλως οὐκ ἔνι μαθεῖν, ἀλλ' ἢ Πνεύματος μετέχοντας χάριτος. διὰ τοῦτο καὶ Παῦλος εὔχεται· "ὁ Πατὴρ "τῆς δόξης" φησί· τουτέστιν, ὁ μεγάλα ἡμῖν δεδωκὼς ἀγαθά. ἀπὸ γὰρ τῶν ὑποκειμένων ἀεὶ αὐτὸν καλεῖ· ὡς ὅταν λέγῃ "ὁ

“Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως·” καὶ πάλιν ὁ προφήτης· “Κύριος ἰσχύς μου καὶ βοήθειά μου.”

Ὁ Πατὴρ τῆς δόξης.

Οὐκ ἔχει ἐπ' ὀνόματος αὐτὰ παραστῆσαι, καὶ πανταχοῦ δόξαν καλεῖ· ὅπερ πάσης ἐστὶ λαμπρότητος παρ' ἡμῖν ὄνομα καὶ προσηγορία. ἰδοὺ τῆς δόξης Πατήρ, τοῦ δὲ Χριστοῦ Θεός· τί οὖν ἐλάττων τῆς δόξης ὁ Υἱός; ἀλλ' οὐδεὶς οὐδ' ἂν οὐδὲ μαινόμενος εἴποι τοῦτο.

Δώῃ ὑμῖν.

Τουτέστιν, ἐπάραι τὴν διάνοιαν ὑμῶν καὶ ἀναπτερώσειεν· οὐ γάρ ἐστιν ἄλλως ταῦτα μαθεῖν· “ψυχικὸς γὰρ ἄνθρωπος οὐ “δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν·” ἄρα πνευματικῆς δεῖ σοφίας, ἵνα τὰ πνευματικὰ νοήσωμεν.

Δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως.

Τουτέστιν, χάρισμα ὑμῖν παράσχῃ· εἰ δὲ ἀποκαλύψεως τοῦτό ἐστιν, οὐκ ἔστι λογισμῶν εὕρεσις· ὁ γὰρ τὸν Θεὸν μαθών, καὶ τὸν Θεὸν γνούς, οὐκέτι περὶ οὐδενὸς ἀμφισβητήσει· διὰ τοῦτό φησιν,

Ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν.

Ὁ μαθὼν τί ἐστι Θεός, οὐχ ὑπὲρ τῶν ἐπαγγελιῶν ἀμφισβητήσει· οὐχ ὑπὲρ τῶν ἤδη γενομένων ἀπιστήσει· εὔχεται μὲν οὖν δοθῆναι αὐτοῖς Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως· πλὴν καὶ αὐτὸς ἀπὸ λογισμῶν ὅσα δύναται κατασκευάζει καὶ τῶν ἤδη ὑπαρξάντων· ἐπειδὴ γὰρ τὰ μὲν ἤδη γενόμενα ἤμελλε λέγειν, τὰ δὲ οὔπω σύμβαντα, ἀπὸ τῶν γενομένων τὰ μὴ γενόμενα πιστοῦται· οἷόν τι λέγω· “εἰς τὸ εἰδέναι ὑμᾶς,” φησι, “τίς ἐστιν ἡ ἐλπὶς τῆς κλή-“σεως αὐτοῦ·” ἔτι ἄδηλός ἐστι, φησὶν, ἀλλ' οὐ τοῖς πιστοῖς.

Καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις.

Ἔτι καὶ τοῦτο ἄδηλον· τί δὲ δῆλον; ὅτι ἐπιστεύσαμεν ἀπὸ τῆς δυνάμεως τῆς αὐτοῦ ὅτι ἤγειρε τὸν Χριστόν· τοῦ γὰρ ἀναστῆσαι νεκρὸν, πολλῷ θαυμασιώτερον τὸ πεῖσαι ψυχάς. καὶ ἐγὼ

τοῦτο πειράσομαι ποιῆσαι φανερόν. ἄκουε γὰρ, εἶπεν ὁ Χριστὸς τῷ τεθνεῶτι, "Λάζαρε δεῦρο ἔξω," καὶ εὐθέως ὑπήκουσεν· εἶπεν ὁ Πέτρος, "Ταβιθᾶ ἀνάστηθι," καὶ οὐκ ἀντεῖπεν· ἐρεῖ αὐτὸς ἐν τῇ τελευταίᾳ ἡμέρᾳ, καὶ πάντες ἀναστήσονται, καὶ μετὰ τοσούτου τάχους, ὥς τοὺς ἔτι ζῶντας μὴ φθάσαι τοὺς κοιμηθέντας, "ὡς "ἐν ἀτόμῳ, ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ" πάντα γενέσθαι καὶ συνδραμεῖν· ἐπὶ δὲ τοῦ πιστεῦσαι, οὐχ οὕτως· ἀλλ' ἄκουε αὐτοῦ πάλιν λέγοντος· "πόσακις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ "ἠθελήσατε·" ὁρᾷς ὅτι τοῦτο δυσκολώτερον; ὥστε ἀπὸ τούτου τὸ πᾶν κατασκευάζει· πολλῷ γάρ ἐστι λογισμοῖς ἀνθρωπίνοις δυσκολώτερον προαίρεσιν πεῖσαι, τοῦ φύσιν ἐργάσασθαι.

Τὸ δὲ αἴτιον, ἐπειδὴ αὐτὸς οὕτω βούλεται ἑκόντας ἡμᾶς γενέσθαι ἀγαθούς· ὄντως εἰκότως εἶπεν "ὑπερβάλλον τὸ μέγεθος "τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας·" ὅτε γὰρ προφῆται οὐδὲν ἤνυσαν, οὔτε ἄγγελοι, οὔτε ἀρχάγγελοι· ὅτε πᾶσα ἡ κτίσις ἡ ὁρατὴ καὶ ἀόρατος· ὁρατὴ μὲν, εἰς μέσον προκειμένη καὶ μὴ ἰσχύουσα χειραγωγῆσαι· ἀόρατος δὲ πολλὴ, ᾠκονόμησε τὴν αὐτοῦ παρουσίαν τότε, δεικνὺς, ὅτι θείας ἔχρηζε τὸ πρᾶγμα δυνάμεως. "πλοῦτον δόξης·" τουτέστιν, ἄφατον δόξαν· ποῖος γὰρ λόγος τὴν δόξαν ἐκείνην παραστῆσαι δυνήσεται, ἧς οἱ ἅγιοι τότε μετέξουσιν; ἀλλὰ χάριτος ὄντως δεῖ, πρὸς τὸ τὴν διάνοιαν μαθεῖν· ὅρα ὅσα εἰργάσατο· ἤγειρε τὸν Χριστόν· μικρὸν τόδε; ἀλλ' ὅρα καὶ πάλιν· ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ· ἆρα τίς λόγος τοῦτο παραστῆσαι δυνήσεται· τὸν ἀπὸ τῆς γῆς· τὸν τῶν ἰχθύων ἀφονώτερον· τὸν παίγνιον τῶν δαιμόνων γενόμενον, ὅρα ποῦ ἀνήγαγεν· ὄντως "ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ·" καὶ θέα ποῦ ἀνήγαγεν· ἐν τοῖς ἐπουρανίοις· πάσης κτιστῆς φύσεως ἀνώτερον ἐποίησεν.

Ὑπὲρ ἄνω πάσης ἀρχῆς καὶ ἐξουσίας.

Ὄντως Πνεύματος χρεία, διανοίας σοφῆς, ἐν τῇ ἐπιγνώσει αὐτοῦ· ὄντως ἀποκαλύψεως χρεία. ἐννόησον ὅσην ἐστὶν ἀνθρώπου καὶ Θεοῦ φύσεως τὸ μέσον· καὶ ἀπὸ ταύτης τῆς εὐτελείας, εἰς ἐκείνην αὐτὸν ἀνήγαγε τὴν τιμήν· καὶ οὐχ ἁπλῶς εἶπεν ἄνω, ἀλλ' ὑπὲρ ἄνω·" τῶν γὰρ ἄνω δυνάμεων ἀνώτερός ἐστιν ὁ Θεός· ὥστε

ἐκεῖ αὐτὸν ἀνήγαγε τὸν ἐξ ἡμῶν "ὑπὲρ ἄνω πάσης ἀρχῆς" οὐ τῆς μὲν ναί, τῆς δὲ οὔ· ἀλλὰ "πάσης ἀρχῆς καὶ ἐξουσίας, καὶ δυνά-"μεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου" εἴτι ἐστιν ἐν τῷ οὐρανῷ, πάντων ἀνώτερος γέγονε· τοῦτο περὶ τοῦ ἐκ νεκρῶν ἐγερθέντος, ὅπερ ἄξιον θαυμάσαι· περὶ γὰρ τοῦ Θεοῦ λόγος οὐδαμῶς· ὅπερ γάρ εἰσι κώνωπες πρὸς ἀνθρώπους, τοῦτο ἡ πᾶσα κτίσις πρὸς τὸν Θεόν.

Σχόλιον. Τὴν σάρκα ἣν ἥνωσεν ἑαυτῷ καθ' ὑπόστασιν σταυρωθεὶς καὶ ἀναστὰς ἐκ νεκρῶν· καθὸ γὰρ Θεὸς ἦν καὶ Θεοῦ Λόγος, πάσης κτίσεως ὑψηλότερος ἦν, καὶ πρὸ σαρκὸς, ἀσυγκρίτοις ὑπεροχαῖς.

Οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.

Ἄρα ἔστι δυνάμεων τινῶν ὀνόματα ἄσημα ἡμῖν καὶ οὐ γνωριζόμενα.

Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ.

Οὐχ ἁπλῶς ἀνώτερον ἐποίησεν, ὡς προτιμᾶσθαι αὐτὸν ἐκείνων, οὐδὲ κατὰ σύγκρισιν, ἀλλ' ὡς δούλων.

Βαβαὶ φρικτὰ ὄντως τὰ πράγματα· ἀνθρώπου γέγονε δούλη πᾶσα ἡ κτιστὴ δύναμις, διὰ τὸν ἐνοικοῦντα Θεὸν Λόγον· διὰ τοῦτο εἶπεν "ὑπὸ τοὺς πόδας αὐτοῦ," τὴν ἐσχάτην λέγων ὑποταγήν.

Καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ.

Βαβαὶ πάλιν, ποῦ καὶ τὴν ἐκκλησίαν ἀνήγαγεν; ὥσπερ διά τινος ἕλκων μηχανῆς, εἰς ὕψος αὐτὴν ἀνήγαγε μέγα. καὶ αὐτὴν ἐκάθισεν εἰς ἐκεῖνον τὸν θρόνον· ἔνθα γὰρ ἡ κεφαλὴ, ἐκεῖ καὶ τὸ σῶμα. τί δέ ἐστιν "ὑπὲρ πάντα;" οὐκ ἄγγελον· οὐκ ἀρχάγγελον· οὐκ ἄλλον οὐδένα ἀφῆκεν ἀνώτερον. ἵνα γὰρ μὴ ἀκούσας κεφαλὴν, τὴν ἀρχὴν μόνον νομίσῃς, ἀλλὰ καὶ τὴν βεβαιότητα· οὐχ ὡς ἄρχοντα μόνον, ἀλλ' ὡς σώματος κεφαλήν.

Ἄλλος δέ φησιν, ἔδειξεν ἡμῖν, φησιν, ὁ Θεὸς ἐν Χριστῷ τὸ μέγεθος καὶ τὴν ὑπερβολὴν, ὧν ἡμῖν ἐχαρίσατο· συνήγειρε μὲν γὰρ καὶ συνεκάθισεν ἐν Χριστῷ ἐν τοῖς ἐπουρανίοις.

Ἐπειδὴ γὰρ οὐκ ἦν τὸ σῶμα τὸ ἡμέτερον δι' ἑαυτοῦ δεκτικὸν

τῆς δυνάμεως καὶ τῆς ζωοποιοῦ ἐνεργείας, ὅτι ἦν σῶμα θανάτου, τῆς ἁμαρτίας ἐν αὐτῷ ἐγκατωκισμένης διὰ τὴν παράβασιν, διὰ τοῦτο ἴδιον αὐτὸ ὁ μονογενὴς ἐποιήσατο, ἵνα ἀναμάρτητον αὐτὸ φυλάξας καὶ τῆς ζωῆς καὶ τῆς δόξης αὐτὸ παρασκευάσῃ γένεσθαι δεκτικόν· καὶ τοῦτό ἐστι τὸ "συνήγειρε καὶ συνεκάθισεν ἐν τοῖς "ἐπουρανίοις."

Καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ.

Ὡς μηκέτι τοὺς οὐρανίους δυνάμεις εἶναι κεφαλήν· καθὸ καὶ ὑπὸ ἐπιτρόπους καὶ οἰκονόμους ἦμεν, κατὰ τὴν ἱερὰν τοῦ Ἀποστόλου φωνήν· σῶμα δὲ αὐτοῦ ἡ Ἐκκλησία, κατὰ τὴν μετάληψιν τοῦ Ἁγίου αὐτοῦ Πνεύματος.

Τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶν, εἶτα ὡς οὐκ ἀρκοῦντος τούτου δεῖξαι τὴν συγγένειαν καὶ τὴν ἐγγύτητα, τί φησι; τὸ πλήρωμα τοῦ Χριστοῦ ἡ Ἐκκλησία· καὶ γὰρ πλήρωμα κεφαλῆς σῶμα· καὶ πλήρωμα σώματος κεφαλή· οἷον ἡ κεφαλὴ πληροῦται παρὰ τοῦ σώματος. τουτέστιν, διὰ πάντων τὸ σῶμα συνέστηκε, καὶ ἓν ὂν ἑκάστου· οὐχὶ κοινῇ μόνον αὐτὸν χρήζοντα εἰσάγει· ἂν γὰρ μὴ ὦμεν πολλοὶ, καὶ ὁ μὲν χεὶρ, ὁ δὲ ποῦς, ὁ δὲ ἄλλό τι μέρος, οὐ πληροῦται ὅλον τὸ σῶμα· διὰ πάντων οὖν πληροῦται τὸ σῶμα αὐτοῦ· τότε πληροῦται ὁ κεφαλὴ, τότε τέλειον σῶμα γίνεται, ὅταν ὁμοῦ πάντες ὦμεν συνημμένοι καὶ συγκεκολλημένοι.

Σευηριανός φησιν, ἡ ἀπολύτρωσις τῆς περιποιήσεώς ἐστιν· ἵνα γὰρ περιποιηθῶμεν καὶ οἰκειωθῶμεν τῷ Θεῷ, ἀπολυτρούμεθα· μεμνημένοι δὲ τοῦ αἵματος οὗ ἀπελυτρώθημεν· καὶ τῆς οἰκονομίας πάσης, φανερὸν ὅτι Θεὸν τὸ κατὰ σάρκα τοῦ Χριστοῦ λέγει· οὐδαμοῦ γὰρ ἐνταῦθα τοῦ τῆς θεότητος ἀξιώματος ἐμνημόνευσεν, ἀλλὰ τῆς καθ' ἡμᾶς οἰκονομίας· ἥτις ὡμολόγηται τῆς σαρκὸς εἶναι· δόξαν δὲ πολλάκις ἡ γράφη λέγει, αὐτὴν τοῦ Θεοῦ τὴν οὐσίαν· ἐπειδὴ γὰρ ἀψηλάφητος καὶ ἀνέφικτος, δόξαν αὐτὴν ὠνόμασεν· ἵνα μὴ λόγον ἀπαιτῇς, ἀλλὰ προσκυνῇς, πρῶτος τὴν οὐσίαν τοῦ Θεοῦ δόξαν λέγει Ἰεζεκιὴλ ἐν ὀπτασίαις θεασάμενος

τὸν Θεὸν καθεζόμενον, καὶ ἐπάγων· "τοῦτο ὁμοίωμα τῆς δόξης "Κυρίου·" ὅπερ ἀλλαχοῦ ἑρμηνεύων "ὁ Θεὸς" φησιν, "ἐγὼ ὁρά- "σεις ἐπλήθυνα· καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην." ἣν οὖν εἶπε δόξαν ὁ Ἰεζεκιὴλ, ταύτην ὁ Θεὸς φησὶ τὸ ἐγώ· λέγει δὲ Παῦλος, "ὃς ὢν ἀπαύγασμα τῆς δόξης·" ποίας δόξης; "καὶ χαρακτὴρ "τῆς ὑποστάσεως αὐτοῦ·" κἀνταῦθα[1] τοίνυν τὸ μὲν Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, κατὰ τὴν σάρκα λέγει· τὸ δὲ Πατὴρ τῆς δόξης, κατὰ τὴν φύσιν.

Καὶ παντὸς ὀνόματος ὀνομαζομένου· οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.

Ἐν γὰρ τῷ αἰῶνι τούτῳ, ὀνομάζομεν θρόνους, ἀρχὰς, κυριότητας, ἐξουσίας, δυνάμεις, ἀγγέλους, ἀρχαγγέλους· ἐπειδὴ δέ ἐστι μυρία τάγματα ἀοράτων δυνάμεων ἡμῖν ἄγνωστα, καὶ διὰ τοῦτο ἀκατονόμαστα, μετὰ δὲ τὴν ἀνάστασιν ἔσται γνωστά· καὶ λήψεται μετὰ τῆς γνώσεως καὶ τὴν παρ' ἡμῶν προσηγορίαν, διὰ τοῦτο εἶπε, "καὶ ἐν τῷ μέλλοντι."

20 Καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντων τῇ Ἐκκλησίᾳ· ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

Διὰ τούτου ἐδήλωσεν, ὅτι πλήρωμα τοῦ Θεοῦ λέγει τὸ σῶμα τοῦ Χριστοῦ· τουτέστι τὴν Ἐκκλησίαν· διὰ τί δὲ πλήρωμα; ἐπειδὴ πεπλήρωται Θεοῦ· ὥσπερ γάρ, φησιν, ἐν πᾶσι τὰ πάντα πληροῖ, οὕτως καὶ ἐν τῇ Ἐκκλησίᾳ πληροῦται, κατὰ τὸ εἶναι αὐτὴν σῶμα τοῦ Χριστοῦ· Χριστοῦ οὖν σῶμα, πλήρωμα δὲ Θεοῦ ἡ Ἐκκλησία.

23 Τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

Ἔστι γὰρ ἐν οὐρανῷ· τουτέστιν ἐνεργῶν οὐχ ὡς ἐν γῇ· καὶ ἔστιν ἐν γῇ, οὐχ ὡς ἐν οὐρανῷ ἐνεργῶν· καὶ ἐν ἀγγέλοις, ἐν ἡλίῳ· ἀλλ' ἐν ἑκάστῳ, κατὰ τὴν αὐτοῦ φύσιν· λέγει γὰρ "ἀφ' ὧν "μεταλαμβάνομεν" ἡ γραφὴ περὶ Θεοῦ, οὐκ ἀφ' ὧν αὐτός ἐστι· τοῦτο γὰρ ἀκατάληπτόν ἐστιν.

Θεόδωρος δέ φησιν εἰς τὸ "δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ

[1] ὁμοίως καὶ Γρηγόριος ὁ Ναζιανζοῦ in marg.

“ἀποκαλύψεως” καὶ τὰ ἑξῆς· τοῦτο αἰτῶ, φησιν, ὡς ἂν παρασχεθείη ὑμῖν παρὰ τοῦ Θεοῦ Πνεύματος χάρις, εἰς τὸ σοφίας τὲ ὑμᾶς πληρωθῆναι καὶ ἐπιγνώσεως τοῦ Θεοῦ, δεξαμένους τῶν ἀπορρήτων τὴν ἀποκάλυψιν, ὥστε τὴν διάνοιαν ὑμῶν, φωτὸς δίκην τῇ ἀπὸ τοῦ Πνεύματος καταλάμπεσθαι γνώσει· τίνος ἕνεκεν; “εἰς “τὸ εἰδέναι ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ·” ἀντὶ τοῦ ἐπὶ ποίαις ἐλπίσι κεκλήμεθα παρ᾽ αὐτοῦ, “καὶ τίς ὁ πλοῦ“τος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις·” καὶ ὅση τίς περίεσται κτῆσις ἀγαθῶν τῆς τοῦ Θεοῦ ἁγίοις, ἐπὶ τοῦ μέλλοντος αἰῶνος. καλῶς δὲ δόξαν μὲν κληρονομίας ἐκάλεσεν, ὡς ἂν ἐπιδόξων τότε γινομένων ἡμῶν· πλοῦτον δὲ δόξης, ἵνα εἴπῃ τῶν δωρεῶν τὴν ὑπερβολήν.

23 Τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου.

Οὐκ εἶπεν ὅτι τὰ πάντα πληροῖ, ἀλλ᾽ ὅτι αὐτὸς ἐν πᾶσι πληροῦται· τουτέστιν, ἐν πᾶσι πλήρης ἐστίν· ὅλος ὢν ἐν ἑκάστῳ διὰ τὸ τῆς φύσεως ἀπερίγραφον, οὐ κατὰ μέρη διαιρούμενος. ἀναγκαία δὲ καὶ ἡ τοῦ τὰ πάντα προσθήκη, δεικνύντος, ὅτι ἐν πᾶσίν ἐστιν· ὅλος ὢν ἐν ἑκάστῳ, καθότι ἄν τις ἐννοήσειεν, εἴτε οὐσίᾳ, εἴτε ἐνεργείᾳ, εἴτε δυνάμει, εἴτε ἐξουσίᾳ, εἴτε ὅτῳ δήποτε ἑτέρῳ, διὰ τὸ κατὰ πάντα εἶναι αὐτὸν ἀπερίγραφον, καὶ διὰ τοῦτο ἐν ἑκάστῳ ὅλον κατὰ πάντα θεωρεῖσθαι, τῷ πάντα ἐν πᾶσιν εἶναί τε αὐτὸν καὶ δύνασθαι, ὡς εἰκὸς τὸν ἑκάστῳ ὅλον ὄντα.

Ὠριγένης φησὶ, δόξει σόλοικον εἶναι τὸ “ἐν ἐπιγνώσει αὐ“τοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας,” εἰ μὴ ὡς ὑπερβατὸν αὐτὸ ἀποδῶμεν· δι᾽ ὅπερ τὸ ἑξῆς τῆς συμφράσεως οὕτως ἔχειν οἰόμεθα· “διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ᾽ ὑμᾶς “πίστιν ἐν τῷ Κυρίῳ Ἰησοῦ ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους “τοὺς ὀφθαλμοὺς τῆς καρδίας, καὶ τὴν εἰς πάντας τοὺς ἁγίους, “οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν μνείαν ὑμῶν ποιούμενος ἐπὶ “τῶν προσευχῶν μου· ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χρι“στοῦ, ὁ Πατὴρ τῆς δόξης, δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀπο“καλύψεως, εἰς τὸ εἰδέναι ὑμᾶς, τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως “ὑμῶν” καὶ τὰ ἑξῆς.

Εἰ ὁ Πατὴρ ὑποκειμένου καὶ οὐσιώδους ἐστι Πατὴρ, λέγεται

δὲ καὶ τῆς δόξης Πατὴρ, δηλονότι ἡ δόξα ὑποκείμενον τί ἐστι καὶ οὐσιωμένον, καὶ μήποτε ὁ Σώτηρ ἡμῶν, ὥσπέρ ἐστι Λόγος καὶ σοφία καὶ ἀλήθεια, καὶ εἰρήνη, καὶ δικαιοσύνη, οὕτω καὶ δόξα. καὶ εἴποτε ὦφθαι ἀναγέγραπται δόξα Θεοῦ, οὐκ ἄλλό τι νοητέον ὦφθαι, ἢ τὸν Υἱὸν τοῦ Θεοῦ. τὸ μὲν οὖν Πνεῦμα τῆς σοφίας, σοφὸν ποιεῖ· τὸ δὲ Πνεῦμα τῆς ἀποκαλύψεως περιαιρεῖ ἀπὸ τῆς καρδίας τὸ κάλυμμα· ἵνα ἀνακεκαλυμμένῳ τίς προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμενος, τὴν αὐτὴν εἰκόνα μεταμορφοῦται ἀπὸ δόξης εἰς δόξαν. οὐδεὶς οὖν μὴ σοφὸς ἔχει Πνεῦμα σοφίας· καὶ οὐδεὶς τὸ ἡνίκα ἀναγινώσκηται Μωσῆς, κάλυμμα ἔστι[g] ἐχόντων ἐπὶ τὴν καρδίαν ἤδη, εἴληφε τὸ τῆς ἀποκαλύψεως Πνεῦμα. εἰ μὴ δρᾷ[h] τὸ Πνεῦμα τῆς σοφίας ποσότητι τῶν θεωρημάτων τῆς σοφίας διαφόρως σοφοὺς ποιεῖ· καὶ ποσότητι τῆς περιαιρέσεως τῶν ἐπὶ τοῖς γράμμασι καλυμμάτων, οὐχ ὁμοίως διακονεῖ τὴν ἀποκάλυψιν, ὧν περιαιρεῖται τὸ κάλυμμα. πρὸς τούτοις ἀκουστέον, τὸ "ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας·" εἰ γὰρ μὴ ταὐτόν ἐστι γνῶσις Θεοῦ καὶ ἐπίγνωσις Θεοῦ, ἀλλ᾽ ὁ ἐπιγνώσκων οἱονεὶ ἀναγνωρίζει ὃ πάλαι εἰδὼς ἐπελέληστο· ὅσοι ἐν ἐπιγνώσει γίνονται Θεοῦ, πάλαι ᾔδεσαν αὐτόν· δι᾽ ὅπερ "μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς·" ἐμφαίνει δὲ τὴν ἀσώματον φύσιν καὶ νοητὴν τοῦ ἡγεμονικοῦ ἡμῶν καὶ τοῦ ἀληθινοῦ φωτὸς, τὸ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας.

18 Εἰς τὸ εἰδέναι ἡμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν.

Ὠριγένους. Ἡ κλῆσις τοῦ Θεοῦ, ἐλπίδα ἔχει. ἣν χρὴ γνῶναι, ἀπὸ πολλῆς προσοχῆς βίου καὶ ἐντρεχείας νοῦ· καὶ ἡ κληρονομία αὐτοῦ πλοῦτον ἔχει δόξης πολλῆς ἐν τοῖς ἁγίοις ἄνω τόποις,

[g] Leg. ἔτι. [h] Hæc corrupta esse videntur.

ᾧ κατὰ τὴν εὐχὴν τοῦ Παύλου δίδοται "τὸ πνεῦμα τῆς σοφίας "καὶ τῆς ἀποκαλύψεως," αὐτὸς εἴσεται τὰ ἀποκείμενα τοῖς καλουμένοις, καὶ θεωρήσει τὰ ἐλπιζόμενα ὄντα πλοῦτον δόξης τῆς κατὰ τὴν κληρονομίαν αὐτοῦ, ἣν δίδωσι τοῖς ἐπὶ τὴν ἁγίαν ταύτην καλουμένοις κληρονομίαν.

Ζητήσεις δὲ, εἰ ἔστι καὶ αὐτὸς ὁ Θεὸς τῶν ἁγίων κληρονομία· ὡς καὶ οὕτως νοεῖσθαι τοὺς κληρονόμους τοῦ Θεοῦ· ἵν᾽ ὥσπερ λέγομεν κληρονόμους χωρίων, καὶ κληρονόμους οἰκιῶν, τὴν κληρονομίαν τάσσοντες ἐπὶ τῶν κτημάτων, οὕτως νοήσωμεν καὶ τοὺς κληρονόμους τοῦ Θεοῦ. καὶ ἔχεταί γε τοιαύτης διανοίας ὁ λέγων νόμος, "τοῖς δὲ υἱοῖς Λευῒ, οὐ δώσεις κλῆρον ἐν μέσῳ τῶν ἀδελφῶν "αὐτῶν, ὅτι ἐγὼ μερὶς αὐτῶν λέγει Κύριος·" καὶ ἀλλαχοῦ· "Κύριος κληρονομία αὐτῶν·" γίνεται τοίνυν "ὁ πλοῦτος τῆς δόξης "τῆς κληρονομίας τοῦ Θεοῦ," ἐν τῷ νῷ τῶν ἁγίων τὰ τοσαῦτα τῆς τοῦ Θεοῦ θεωρίας καὶ τοῦ λόγου αὐτοῦ χωρησόντων, ὑπερβάλλοντι μεγέθει δυνάμεως Θεοῦ τῷ εἰς τοὺς ἁγίους καὶ πιστεύοντας. οὐ γὰρ τῆς τυχούσης δυνάμεως ἀπὸ Θεοῦ ἡμῖν χρεία ἐστὶν, εἰς τὸ εἰδέναι τί ἐστιν "ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος "τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις," ἀλλὰ μεγέθους δυνάμεως αὐτοῦ ἐγγινομένου εἰς ἡμᾶς τοὺς πιστεύοντας ἀπ᾽ αὐτοῦ, καὶ ἐγγινομένου κατὰ τὴν ἐνέργειαν τῆς πάντων κρατούσης ἰσχύος αὐτοῦ· ἥτις[1] κράτος ἰσχύος αὐτοῦ, παρὰ τῷ Παύλῳ νῦν ὠνόμασται· ταύτῃ δὲ ἐνεργείᾳ τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ χρησάμενος, ἐνήργησεν ἃ ἐνήργησεν ἐν τῷ Χριστῷ, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν.

20 21 Καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις, ὑπὲρ
ἄνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριό-
τητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου, οὐ μόνον ἐν
22 τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· καὶ πάντα
ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ αὐτὸν ἔδωκε κεφα-
23 λὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα
αὐτοῦ· τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρου-
μένου.

[1] Cod. ἥτι.

Σωματικῷ χαρακτῆρι ἡγητέον ταῦτα εἰρῆσθαι· οὐχ ὡς καθέδρων τινῶν ἢ θρόνων αἰσθητῶν κειμένων ἐν οὐρανοῖς, ἐφ' ὧν καθέζεται ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐκ δεξιῶν τοῦ Πατρός· οὕτω γὰρ νοοῦντες, οὐκ ἂν τῆς θείας φύσεως ἀξίως ταῦτα λέγοιμεν· οὐδὲ γὰρ αὐτῷ τῷ Θεῷ σωματικῶς ὑπόκειται ἡ γῆ, καθεζομένῳ ἐν οὐρανῷ ὡς ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. πῶς γὰρ ὁ οὐρανὸς θρόνος εἶναι δύναται τῇ σπιθαμῇ αὐτοῦ μεμετρημένος; καὶ ἡ γῆ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ, καὶ αὐτὴ τῇ δρακὶ αὐτοῦ ἐμπεριειλημμένη; φησὶ γὰρ ὁ Ἡσαΐας, "τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν "σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί;" ἡγοῦμαι οὖν καὶ τὸ πλησίον εἶναι Θεοῦ καὶ τὸ πόρρω αὐτοῦ, νοητά· πάντων μὲν τῶν ἁγίων καὶ κατὰ βούλημα τοῦ Πατρὸς τῶν ὅλων βιούντων καὶ ἐγγιζόντων Θεῷ· τῶν δὲ ἀσεβῶν, πόρρω αὐτοῦ τυγχανόντων· περὶ ὧν φησὶν ὁ Προφήτης, "ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται·" ὥσπερ οὖν νενόηται τίς ὁ πλησίον Θεοῦ, καὶ τίς ὁ πόρρω αὐτοῦ, οὕτως ἡγητέον τοὺς μὲν ἁγίους, ἐν τοῖς δεξιοῖς εἶναι αὐτοῦ λεγέσθαι· τοὺς δὲ ἀσεβεῖς οἱονεὶ ἐν τοῖς ἀριστεροῖς· ὥσπερ καὶ ὁ Σωτήρ φησι· "στήσει τὰ πρόβατα ἐκ δεξιῶν, τὰ δὲ ἐρίφια ἐξ "εὐωνύμων·" ἀλλὰ καὶ τὸ "καθίσας ἐν δεξιᾷ," τοιοῦτόν ἐστιν· ἱδρύσας καὶ βασιλείαν αὐτῷ καὶ ἀρχὴν δωρησάμενος, καθ' ἣν ἐπιστατεῖ καὶ ἄρχει τῶν ἁγίων, ὠφελῶν αὐτοὺς καὶ μεταδιδοὺς ἑαυτοῦ ὁ ὑπὲρ ἄνω πάντων γενόμενος Ἰησοῦς, διὰ τὴν φιλάνθρωπον εἰς πάντα οἰκονομίαν.

Πολλὰ μὲν οὖν τὰ ἄρχοντα καὶ ἡγούμενα τῶν δεομένων τῆς παρ' αὐτοῦ ἐπιστασίας, καὶ πολλὰ τὰ ἐξουσιάζοντα καὶ πολλὰ τὰ κυριεύοντα· πολλὰ δὲ καὶ τὰ τῆς ἰδίας δυνάμεως μεταδιδόντα· τινὰ μὲν ἐν τῷ αἰῶνι τούτῳ, τινὰ δὲ καὶ ἐν τῷ μέλλοντι ἐνεργήσοντα. οὐδὲν δὲ τούτων ἄρχει ἀρχὴν ἡλίκην ὁ Υἱός· δεῖται γὰρ πάντα τὰ ἄρχοντα αὐτοῦ ἄρχοντος αὐτῶν· ἀλλὰ καὶ ἐξουσίαι βέλτιον ἐξουσιάσουσιν, ὑπὸ τὴν ἐξουσίαν ὄντες τοῦ Χριστοῦ· ὑπερεχούσης τῆς τοῦ Θεοῦ δυνάμεως παρὰ πᾶσαν τὴν λοιπὴν δύναμιν· ἀλλὰ κἂν ἄγηταί τινα ἐπὶ συμφέρουσαν δουλείαν ὑπὸ τῶν καλῶς κυριευόντων, ἀνάγκη ταῦτα τὰ κυριεύοντα λαμβάνοντα τὴν ἐπιστήμην τοῦ κυριεύειν ἀπὸ τοῦ Κυρίου τῶν κυριευόντων, κυριεύειν ὧν κυριεύει· ὅθεν "ὁ ἐγείρας ἐκ νεκρῶν τὸν Χριστὸν, ἐκάθισεν

“ αὐτὸν ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις, ὑπὲρ ἄνω πάσης ἀρχῆς “ καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος “ ὀνομαζομένου· οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ “ μέλλοντι.” εἰκὸς γὰρ εἶναι τινὰ καὶ ἄρρητα καὶ ἀνεκδιήγητα κατὰ τὴν διάταξιν τῶν ὅλων ἡμῖν, οὐ ληπτὰ ὀνόματα ὀνομαζόμενα τινὰ μὲν ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι.

Πόθεν δὲ τῷ Ἀποστόλῳ τὰ ὀνόματα ταῦτα ἢ ἀπὸ τοῦ ἀποκαλύψαντος αὐτῷ Ἁγίου Πνεύματος;

Πῶς δὲ εἴρηται “ καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ,” ἐξεταστέον. Φανεροῦ ὄντος, ὅτι μυρίοι ὅσοι εἰσὶν οἱ ἔτι ἀνυποτακτοῦντες τῷ λόγῳ τοῦ Θεοῦ· “ οὔπω γὰρ ἔτι ὁρῶμεν τὰ πάντα “ ὑποτεταγμένα,” καὶ τὸ “ δεῖ δὲ αὐτὸν βασιλεύειν, ἄχρις οὗ ἂν θῇ “ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ,” δηλοῖ, τὸ μηδέπω πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ εἶναι· Ὁ μὲν οὖν τις ἐρεῖ, ὅτι κατὰ πρόγνωσιν εἴρηται καὶ τοῦτο, ἕτερος δὲ τὴν κατάταξιν τοῦ Θεοῦ, ᾗ κατατάσσει ἕκαστον, εἴς τι τάγμα παριστὰς, ἐρεῖ· τὸ δὲ “ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ,” ὅσα τῆς τάξεώς ἐστι τῶν ὑποτασσομένων, “ καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα “ τῇ ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τοῦ τὰ πάντα ἐν πᾶσι “ πληρουμένου.” σῶμα Χριστοῦ εὑρίσκοντες λεγομένην τὴν ἐκκλησίαν, ζητοῦμεν, πότερόν ποτε ὡς παρὰ τὴν κεφαλὴν τὸ λοιπὸν σῶμα, ὄργανον τῆς κεφαλῆς δεῖ αὐτὴν νοεῖν, ἢ ὥσπερ τοῦ ἀνθρώπου σῶμα, οὗ σώματος μέρος ἐστὶν ἡ κεφαλὴ, οὕτως Χριστοῦ σῶμά ἐστι ψυχούμενον ὑπὸ τῆς θειότητος αὐτοῦ, καὶ πληρούμενον ὑπὸ τοῦ Πνεύματος αὐτοῦ ἡ πᾶσα ἐκκλησία Χριστοῦ, ἢ ἄλλως πῶς δεῖ ταῦτα ἐκλαμβάνειν. ἐὰν μέν τοι γε τὸ δεύτερον ᾖ, ἔσται τὸ μὲν ἀνθρωπικότερον αὐτοῦ καὶ αὐτὸ μέρος τυγχάνον τοῦ ὅλου σώματος· τὸ δὲ θεῖον καὶ ζωοποιὸν πᾶσαν τὴν ἐκκλησίαν, ἢ ὡσπερεὶ ψυχοῦσα αὐτὴν δύναμις θεῖα.

Πῶς δὲ ἡ Ἐκκλησία οὖσα σῶμα Χριστοῦ πλήρωμά ἐστι τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου θέλομεν γνῶναι, καὶ διατί οὐ λέγεται τοῦ τὰ πάντα ἐν πᾶσι πληροῦντος, ἀλλ᾿ αὐτοῦ πληρουμένου· δόξει γὰρ ἀκολουθότερον ἂν εἰρῆσθαι τὸ τὸν Χριστὸν εἶναι τὸν πληροῦντα, οὐχὶ δὲ τὸν πληρούμενον. Αὐτὸς γὰρ οὐ μόνον νόμου ἐστὶ

πλήρωμα, ἀλλὰ καὶ πάντων τῶν πληρωμάτων ἀεὶ πλήρωμα, οὐκ ἂν χωρὶς αὐτοῦ τινὸς πλήρους γινομένου.

Ὅρα δὲ, εἰ δύναται πρὸς ταῦτα οὕτως ἀπαντῆσαι ὁ λέγων, ὅτι καθάπερ διὰ τὴν πολλὴν σχέσιν καὶ κοινωνίαν τοῦ Υἱοῦ πρὸς τὰ λογικὰ, ὥσπερ πλήρωμά ἐστι πάντων τῶν λογικῶν ὁ Υἱὸς τοῦ Θεοῦ, οὕτως καὶ αὐτὸς ὡσπερεὶ πλήρωμα εἰς ἑαυτὸν ἀναλαμβάνει, πληρέστατος ἀποδεικνύμενος καθ' ἕκαστον τῶν μακαρίων. Καὶ ἵνα γε σαφέστερον γένηται τὸ λεγόμενον, ἐννόει βασιλέα μὲν πληρούμενον τῆς βασιλείας καθ' ἕκαστον τῶν αὐξόντων τὴν βασιλείαν· κενούμενον δὲ ταύτης ἐν τοῖς ἀφισταμένοις τούτου τοῦ βασιλέως. οὐδὲν δὲ οὕτως ἁρμοδιώτερον τῇ Χριστοῦ φιλανθρώπῳ ἐστὶ βασιλείᾳ, ἑκάστου τῶν συμπληρούντων αὐτὴν εὐεργετουμένων ὑπ' αὐτοῦ λογικῶν καὶ τελειουμένων, οἵτινες προσφεύγοντες αὐτῷ συμπληροῦσιν αὐτοῦ τὸ σῶμα, κενόν πως ὂν, ὅτε λείπει τῶν εὐργετουμένων. διὸ πληροῦται ἐν πᾶσι τοῖς προσιοῦσιν ὁ Χριστὸς, λείπων τούτοις πρὶν προσέλθωσιν.

ΚΕΦ. Γ.

Περὶ τῆς τῶν ἐθνῶν καὶ Ἰουδαίων οἰκειώσεως πρὸς Θεὸν διὰ Χριστοῦ ἐπ' ἐλπίδι κατὰ χάριν.

1 Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς
2 ἁμαρτίαις ὑμῶν, ἐν αἷς ποτὲ περιεπατήσατε κατὰ τὸν
αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν
3 τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνετράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ
4 ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί· ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει διὰ πολλὴν ἀγάπην αὐτοῦ, ἣν
5 ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνεζωοποίησε τῷ Χριστῷ.

Τὸ ἑξῆς ἐστι· καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις ὑμῶν, συνεζωοποίησε τῷ Χριστῷ, ὁ Θεὸς, πλούσιος ὢν ἐν

ἐλέει διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς, καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασιν, ἐν οἷς ποτε περιεπατήσαμεν, κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος, τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνετράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν φύσει τέκνα ὀργῆς, συνεζωοποίησε τῷ Χριστῷ. τὸν "δὲ" σύνδεσμον τὸν ὅπου, "ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν "ἐλέει·" ἡγούμεθα ἤτοι παρεμβεβλῆσθαι μάτην ἐν τοῖς ἀντιγράφοις, ἢ ὡς ὑπὸ ἰδιώτου τῷ λόγῳ Παύλου μὴ τεθεωρῆσθαι παρέλκοντα. σαφῶς δὲ θάνατος τῆς ψυχῆς εἶναι λέγεται τὰ ἁμαρτήματα· ἐκ τοῦ καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις ὑμῶν. καὶ ἐπεὶ ἴδιόν ἐστι τῆς γραφῆς ὄνομα τὸ παράπτωμα, ἐξεταστέον εἰ διαφέρει τῆς ἁμαρτίας, καὶ μάλιστα ἐπειδὴ ἐνθάδε συμπεπλεγμένως εἴρηται τὸ "καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παρα"πτώμασιν καὶ ταῖς ἁμαρτίαις ὑμῶν." καὶ ζητοῦμεν, εἰ τὰ κακῶς ἡμῖν ἤδη τετελεσμένα ἁμαρτίαι ἡμῶν λέγονται· αἱ δὲ ἀρχαὶ τούτων οἱονεὶ μηδέπω πτώματα οὖσαι ἀλλ' ὁδεύουσα ἐπὶ τὸ πεσεῖν ἡμᾶς, παραπτώματα. καὶ τάχα διὰ τοῦτο, ἐν τῷ ὀκτωκαιδεκάτῳ λέγεται ψαλμῷ, "παραπτώματα τίς συνήσει;" τῷ τὸν συνιέντα τὰς ῥίζας καὶ τὰς ἀρχὰς ἁμαρτημάτων οὔσας παραπτώματα, δύνασθαι ἂν καὶ φυλάττεσθαι πρὸς τὸ μὴ ὑποπεσεῖν καὶ ταῖς ἁμαρτίαις.

Τί ἐστι "κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου περιπατεῖν, καὶ οὐχὶ κατὰ τὸν αἰῶνα τοῦ κρείττονος κόσμου ἐφ' ὃν οἱ ἅγιοι σπεύδουσιν; ὁ μὲν οὖν τις ἁπλούστερον αἰῶνα τοῦ κόσμου τούτου ἡγήσεται, τὸν συμπαρεκτεινόμενον χρόνον τῇ τούτου τοῦ κόσμου ἀπ' ἀρχῆς μεχρὶ τέλους κατασκευῇ· ἄλλος δὲ, ἐκ τοῦ ἑξῆς ὑπονοήσει, μὴ ἄρα ὁ αὐτός ἐστιν ὁ ἄρχων τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, καὶ ὁ αἰὼν τοῦ κόσμου τούτου· ἐπείπερ ὡς καθ' ἑνὸς τέτακται ταῦτα πάντα, λέγοντος Παύλου "ἐν οἷς ποτὲ περιεπατήσατε κατὰ τὸν αἰῶνα "τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος "τοῦ πνεύματος·" καὶ ἐν τῇ πρὸς Γαλάτας δὲ, τὸ "ὅπως ἐξέ"ληται ἡμᾶς ἐκ τοῦ αἰῶνος τοῦ ἐνεστῶτος πονηροῦ," νομίσει δηλοῦν ὅτι ζῶον πονηρόν ἐστιν ὁ ἐνεστὼς αἰὼν, ὁ αὐτὸς ὢν τῷ ἄρ-

χοντι τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος· πλὴν ἔχει ἀντεπεχείρησιν τὸ ἐκ τῆς πρὸς Γαλάτας Ἐπιστολῆς ῥητόν· ἐπεὶ καὶ περὶ ἡμερῶν λέγεται τῶν ὁμολογουμένων ὡς οὐκ οὐσῶν ἐμψύχων, τοιοῦτό τι· "ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί "εἰσι·" καὶ "μικραὶ καὶ πονηραί εἰσιν αἱ ἡμέραι ἃς παρῴκηκα "ἐπὶ τῆς γῆς," φησὶν ὁ Ἰακώβ· καὶ τὸ "δι' οὗ ἐποίησε τοὺς "αἰῶνας" κείμενον, δόξει κτίσμα λέγειν τοὺς αἰῶνας· ὧν δύναται εἷς ἀποστατικῶς πονηρὸς γεγονέναι, καὶ λέγεσθαι αἰὼν τοῦ κόσμου τούτου καὶ "ἄρχων τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος, τοῦ "νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας· ἐν οἷς καὶ ἡμεῖς "πάντες ἀνεστράφημέν ποτε·" καὶ παρατηρητέον γε, ὅτι οὐκ εἶπε κατὰ τὸν ἄρχοντα τοῦ ἀέρος, ἀλλὰ τῆς ἐξουσίας τοῦ ἀέρος· οὐκοῦν ζητητέον τὴν τοῦ ἀέρος ἐξουσίαν, ἵν' οὕτως ἴδωμεν τὸν ἄρχοντα ταύτης.

Δύναται δὲ ἡ λέξις καὶ τοιοῦτό τι δηλοῦν· κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ πνεύματος· ὅπερ πνεῦμα ἀέρος ἐστὶ, τὸ πνεῦμα τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας. ἐπεὶ οὖν ὁ ἄρχων τινός ἐστιν ἄρχων, ἐπιστήσεις μήποτε πάσης ἐξουσίας ἄρχων ἐστι τῆς περὶ τὸν ἀέρα, ὁ νῦν λεγόμενος· ἥτις ἐνεργεῖ, διατρίβουσα περὶ τὸν ἀέρα εἰς τοὺς τῆς ἀπειθείας υἱούς· καὶ πᾶς δὲ ὁ καταγγελλομένων θείων δογμάτων ἀπειθῶν αὐτοῖς, δι' αὐτοῦ τοῦ ἀπειθεῖν, υἱὸς ἀπειθείας ἀναφαίνεται. καὶ μή ποτε πρὸς ταύτης ἡμῖν τὰς ἐξουσίας ἡ πάλη· ἀνθισταμένοις ταῖς ἐνεργείαις αἷς βούλονται ἐμποιεῖν καὶ εἰς ἡμᾶς, θέλουσαι ἡμᾶς ποιῆσαι υἱοὺς ἀπειθείας. οὐ θαυμαστὸν δὲ ταύτας τὰς ἐξουσίας ἐν τοῖς ἐπουρανίοις εἶναι λέγεσθαι· ὥσπερ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας καὶ τοὺς κοσμοκράτορας ἐν τοῖς ἐπουρανίοις, τοῦ περὶ ἡμᾶς ἀέρος, κατά τινα συνήθειαν τῆς γραφῆς, οὐρανοῦ ὀνομαζομένου· λέγεται γὰρ πετεινὰ οὐρανοῦ· σαφὲς δὲ ὅτι ταῦτα κατὰ τὸν ἀέρα λέγεται.

Τὸ δὲ "καὶ ἐν οἷς ἡμεῖς πάντες ἀνεστράφημεν ποτε," τίσιν, ἢ τοῖς παραπτώμασι; καὶ γὰρ οὐκ ἀπέδωκε τί πρὸς τὰ παραπτώματα, ἀλλὰ πρὸς μόνας τὰς ἁμαρτίας· εἰπὼν γοῦν "καὶ ὑμᾶς "ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις ὑμῶν," ἐπιφέρει τὸ "ἐν οἷς ποτὲ περιεπατήσατε." νῦν δὲ ἀποδίδωσι πρὸς τὸ τοῖς παραπτώμασιν ὑμῶν, τὸ "καὶ ἐν οἷς καὶ ἡμεῖς

"πάντες ἀνεστράφημέν ποτε·" ἵνα μὴ δοξῃ εἰπὼν τὸ "ἐν οἷς ποτὲ "περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου," ἑαυτὸν δὲ ἀποσιωπῶν, οἷον ἀλαζονεύεσθαι δοκεῖν· οἶδε δέ τινα αὐτὸς ὁ Παῦλος ἐπιθυμίαν τῆς σαρκὸς, καὶ ἑτέραν ἐπιθυμίαν τοῦ πνεύματος, λέγων· "ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ "πνεῦμα κατὰ τῆς σαρκός." ἀναστραφέντες δὲ ἐν τοῖς παραπτώμασιν, ἐπεὶ ἤμεθα ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ἐποιοῦμεν οὐχ ἕν τι, ἀλλὰ πλείονα θελήματα· καὶ οὐ μόνον τῆς σαρκὸς, ἀλλὰ καὶ τῶν διανοιῶν. ζητοῦμεν δὲ, τίνα τὰ θελήματα τῶν διανοιῶν, ἕτερα ὄντα τῶν θελημάτων τῆς σαρκός· καὶ στοχαζόμεθά γε τῷ μὲν ποιεῖν τὰ ἔργα τῆς σαρκὸς, καὶ φιληδονεῖν, ποιεῖ τίς τὰ θελήματα τῆς σαρκός· τῷ δὲ ἀποπεπτωκέναι τῆς ὑγίους δόξης καὶ τῆς ὀρθῆς διανοίας, ποιοῦμεν τὰ θελήματα τῶν διανοιῶν.

Εἰς δὲ τὸ "ἤμεθα φύσει τέκνα ὀργῆς ὡς καὶ οἱ λοιποὶ," οὐκ οἴδαμεν ὅ τι ποτε ἐροῦσιν οἱ τὰς πνευματικὰς ἀρχῆθεν φύσεις εἰσάγοντες· πῶς γὰρ ὁ φύσει Υἱὸς Θεοῦ, φύσει εἶναι λέγεται υἱὸς ὀργῆς, ἀποκρινέσθωσαν. ἡμεῖς δὲ οἰόμεθα διὰ τὸ σῶμα τῆς ταπεινώσεως, γεγονέναι τέκνα φύσει ὀργῆς· ὅτε ἐνέκειτο ἡμῶν ἡ διάνοια ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος· κατὰ γὰρ τὸν Σολομῶντα "οὐκ ἐστὶ δίκαιος ἐπὶ τῆς γῆς, ὃς ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρ-"τήσεται."

(Χρυσόστομου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶ, πανταχοῦ παραμυθεῖται τὸν ἀκροατὴν ὁ Ἀπόστολος, μὴ βαρῶν αὐτόν· ἐπειδὴ γὰρ εἶπεν εἰς ἔσχατον κακίας ἠλάσατε· τοῦτο γάρ ἐστι νεκρωθῆναι· ὥστε μὴ σφόδρα βαρύναι αὐτοὺς, αἰσχύνονται γὰρ οἱ ἄνθρωποι τῶν προτέρων κακῶν εἰς μέσον φερομένων· κἂν ἀπολλύμενα ᾖ καὶ κίνδυνον οὐκ ἔχοντα, δίδωσιν αὐτοῖς συνεργὸν, ὥστε μὴ νομισθῆναι τὸ πᾶν αὐτῶν εἶναι, καὶ συνεργὸν ἰσχυρόν· τίνα δήπου, τὸν διάβολον· διὰ τί δὲ αὐτὸν ἄρχοντα τοῦ αἰῶνος τούτου φησίν; ἐπειδὴ πᾶσα σχεδὸν ἡ ἀνθρωπίνη φύσις ἐκείνῳ δέδωκεν ἑαυτὴν, καὶ πάντες αὐτῷ δουλεύουσιν, ἑκόντες καὶ προτρεπόμενοι, καὶ τῷ μὲν Χριστῷ μυρία ἐπαγγελλομένῳ ἀγαθὰ οὐδὲ προσέχει τίς· ἐκείνῳ δὲ οὐδὲν ὑπισχνουμένῳ τοιοῦτο, ἀλλ' εἰς γέενναν παραπέμποντι, πάντες ὑπείκουσιν· ἀλλ' ἡ ἀρχὴ ἐν τῷ αἰῶνι τούτῳ·

καὶ πλείους οὗτος ἔχει τοῦ Θεοῦ, διὰ τὴν ῥαθυμίαν τὴν ἡμετέραν.

Κατὰ τὴν ἐξουσίαν τοῦ ἀέρος τοῦ πνεύματος.

Τοῦτο πάλιν φησὶν, ὅτι τὸν ὑπουράνιον ἔχει τόπον, καὶ πνεύματα πάλιν ἀέρια, ἀσώματοι δυνάμεις εἰσὶν, αὐτοῦ ἐνεργοῦντος· ἔστι γὰρ αἰώνιος ἡ ἀρχή· τουτέστιν, τῷ παρόντι αἰῶνι συγκαταλυομένη· ἄκουσον ἐν τῷ τέλει τῆς Ἐπιστολῆς λέγοντος αὐτοῦ· "οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους "τοῦ αἰῶνος τούτου." ἵνα γὰρ μὴ κοσμοκράτορα ἀκούσας, καὶ ἄκτιστον αὐτὸν εἶναι φῇς, εἶπε τοῦ "αἰῶνος τούτου·" καὶ ἀλλαχοῦ πονηρὸν αἰῶνα καλεῖ, τὸν καιρὸν τὸν διεστραμμένον· οὐ περὶ τῶν κτισμάτων λέγων· ἐμοὶ γὰρ δοκεῖ γενόμενος ἄρχων ὑπὸ τὸν οὐρανὸν, μὴ μεταπεπτωκέναι τῆς ἀρχῆς καὶ μετὰ τὴν παράβασιν.

Τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας.

Ὁρᾷς ὅτι οὐ βίᾳ, οὐδὲ τυραννίδι, ἀλλὰ πειθοῖ τοὺς πάντας ἐφέλκεται; καὶ οὐ τούτῳ μόνον αὐτοὺς παραμυθεῖται τῷ δοῦναι κοινωνὸν, ἀλλὰ καὶ τῷ ἑαυτὸν τάξαι μετ' ἐκείνων. "καὶ ἦμεν φύσει "τέκνα ὀργῆς·" τὸ φύσει, τὸ γνήσιον ἐνταῦθα παρίτησιν· "ὡς καὶ "οἱ λοιποὶ πάντες·" τουτέστιν, οὐδὲν πνευματικὸν φρονοῦντες· ἀλλ' ἵνα μὴ τὴν σάρκα διαβάλῃ καὶ μὴ δὲ μέγα τις εἶναι νομίσῃ τὸ πλημμέλημα, ὅρα πῶς ἀσφαλίζεται· τὰ θελήματα τῆς σαρκὸς ἡμῶν, φησὶ, καὶ τῶν διανοιῶν ποιοῦντες· τουτέστιν τὰ τῆς ἡδονῆς πάθη· παρωξύναμεν τὸν Θεὸν καὶ παρωργίσαμεν· τουτέστιν, ὀργὴ ἦμεν, καὶ οὐδὲν ἕτερον. ὥσπερ γὰρ ἀνθρώπου ὢν τέκνον φύσει ἄνθρωπός ἐστιν, οὕτω καὶ ἡμεῖς, ὡς καὶ οἱ λοιποί.

Ἄλλος φησιν, ὑμᾶς φησὶ, τοὺς ἐξ ἐθνῶν ἐξαιρέτως ὄντας τοῦ θανάτου διὰ τὴν ἁμαρτίαν ἐν ᾗ ἐζῆτε, ὑπὸ τοῦ πονηροῦ δαίμονος τοῦ ἄρξαντος διὰ τῶν εἰσπνεομένων ἡμῖν πονηρῶν ἐννοιῶν, ἐλέου ἀξίωσας ὁ Θεὸς καὶ χάριτος ἑκουσίου, τὴν ἀντὶ ἁμαρτίας νεκρότητα ἡμῶν μετέβαλεν εἰς ζωὴν, κοινωνίᾳ τῇ πρὸς τὸν Χριστόν. ὅπερ γάρ ἐστιν ἐν Χριστῷ, τοῦτο εἰς ἡμᾶς χωρεῖ συναπτομένους

αὐτῷ· καὶ τοὺς ἔχοντας δὲ νόμον, τὰ ὅμοια τῶν ἐθνῶν πεπονθέναι φησὶν, ἐν ἁμαρτίαις, ἵνα τὸ μέγεθος ἐνδείξηται τῆς δωρεᾶς τοῦ Θεοῦ, ὅτι τοὺς πάντας κρατουμένους ὑπὸ τῆς φθορᾶς διέσωσεν.

Σετηριανὸς δέ φησι, κόσμος, διττῶς λέγεται· καὶ ἡ σύστασις ἡ δημιουργικὴ, καὶ τῶν ἀνθρώπων τὸ σύστημα τὸ πονηρόν. νυνὶ δὲ διεῖλε τοῖς ἀνόμοις τὰ πράγματα· αἰῶνα καλέσας, τῶν ἀνθρώπων τὴν πονηρίαν καὶ τὴν ἁμαρτίαν· κόσμον δὲ τὴν σύστασιν τοῦ παντός· καθὼς καὶ ἐν τῇ πρὸς Γαλάτας λέγει, "ὅπως "ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ." τοῦτον τὸν νῦν αἰῶνα λέγει. τὴν οὖν κοινὴν ἀπόστασιν τῶν ἀνθρώπων καὶ πλάνην, αἰῶνα ὠνόμασεν· ἧς μέρος ἦσαν ποτὲ, καὶ οἱ νῦν πιστεύσαντες τῷ Χριστῷ.

Κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος.

Φανερῶς διὰ τούτου δείκνυσιν ὁ Ἀπόστολος, ὅτι οὐκ ἀπ' οὐρανοῦ ἄγγελος ἦν ὁ διάβολος, ἀλλ' ἀέριον τὸ πονηρὸν πνεῦμα· κἂν ὁ Κύριος λέγῃ "εἶδον τὸν Σατᾶναν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ "οὐρανοῦ," οὐχὶ τὸν τόπον δείκνυσιν ὅθεν ἔπεσεν, ἀλλ' ἐπειδὴ ἄνωθεν ἡ ἀστραπὴ ὀξέως πίπτει, τὴν ὀξύτητα τῆς διαβολικῆς πτώσεως ἀστραπῇ παρέβαλε, λέγων ὡς ἀστραπὴ ἐξ οὐρανοῦ ὀξέως φέρεται, οὕτως εἶδον τὴν πτῶσιν αὐτοῦ ὀξεῖαν. "τοῦ νῦν ἐνερ-"γοῦντος." ἐδήλωσεν ὅτι οὐ πάντοτε τὴν ἰσχὺν ὁ διάβολος ἔχει, ἀλλ' ἡ ἀσθένεια τῶν ἀνθρώπων ἰσχὺς αὐτῷ γέγονεν.

Κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ πνεύματος.

Ἀντὶ τοῦ ἀερίου πνεύματος.

Ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν.

Ἐκ τούτου δείκνυται, ὅτι οὐκ ἀντίκειται ἡ σὰρξ τῇ ψυχῇ, συνεφώνει γὰρ εἰς τὴν ἁμαρτίαν.

Καὶ ἦμεν τέκνα φύσει ὀργῆς.

Ὥσπερ υἱοὶ γεέννης, οὕτω καὶ τέκνα ὀργῆς.

Ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει.

Οὐχ ἁπλῶς ἐλεήμων, ἀλλὰ πλούσιος· καθὰ καὶ ἐν ἑτέρῳ φη-

σίν· "ἐν τῷ πλήθει τοῦ ἐλέου σου·" καὶ πάλιν· "ἐλέησόν με "κατὰ τὸ μέγα ἔλεός σου.

Διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ ἣν ἠγάπησεν ἡμᾶς.

Πόθεν ἡμᾶς ἠγάπησε; ταῦτα γὰρ οὐκ ἀγάπης ἄξια, ἀλλ' ὀργῆς καὶ τιμωρίας τῆς ἐσχάτης· καὶ τοῦτο οὖν ἀπὸ πολλοῦ ἐλέους.

Καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησε τῷ Χριστῷ.

Πάλιν ὁ Χριστὸς μέσος· καὶ τὸ πρᾶγμα ἀξιόπιστον· εἰ γὰρ ἡ ἀπαρχὴ ζῇ, καὶ ἡμεῖς· ἐζωοποίησε κακεῖνον, καὶ ἡμᾶς· ὁρᾷς ὅτι περὶ τοῦ κατὰ σάρκα πάντα εἴρηται; εἶδες τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας; τοὺς νεκρούς, τοὺς ὀργῆς υἱούς, τούτους ἐζωοποίησεν· εἶδες τὴν ἐλπίδα τῆς κλήσεως; συνήγειρε καὶ συνεκάθισεν· εἶδες τὴν δόξαν τῆς κληρονομίας αὐτοῦ; τὸ μὲν συνήγειρε δῆλον, τὸ δὲ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ, πῶς ἕστηκεν; ὡς τὸ συνήγειρεν· οὐδέπω γὰρ οὐδείς ἐστιν ἐγηγερμένος· εἰ μὴ ὅτι τῆς κεφαλῆς ἀναστάσης, καὶ ἡμεῖς ἠγέρθημεν· ὡς καὶ ἐκεῖ τοῦ Ἰακὼβ προσκυνήσαντος, καὶ ἡ γυνὴ προσεκύνησε τὸν Ἰωσήφ· οὐκοῦν οὕτω "καὶ συνεκάθισε," τῆς κεφαλῆς καθεζομένης καὶ τὸ σῶμα συγκάθηται. Διὰ τοῦτο γὰρ ἐπήγαγεν, "ἐν Χριστῷ Ἰησοῦ·" ἢ εἰ μὴ τοῦτο, ἀλλὰ συνήγειρε διὰ τοῦ λουτροῦ. πῶς οὖν συνεκάθισεν; εἰ γὰρ ὑπομένομεν, φησὶ, καὶ συμβασιλεύσομεν· εἰ ἀπεθάνομεν, καὶ συζήσομεν. ὄντως Πνεύματος χρεία καὶ ἀποκαλύψεως, ὥστε τὸ βάθος νοῆσαι τῶν μυστηρίων τούτων. εἶτα ἵνα μὴ ἀπιστήσῃς, ὅρα τί ἐπάγει,

7 Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ· ἐν χρηστότητι ἐφ' ἡμᾶς, ἐν Χριστῷ Ἰησοῦ.

Ἐπειδὴ γὰρ εἶπε τὰ περὶ τοῦ Χριστοῦ, ταῦτα δὲ οὐδὲν ἦν πρὸς ἡμᾶς· τί γάρ, φησι, πρὸς ἡμᾶς, εἰ ἐκεῖνος ἀνέστη; ἔδειξε μὲν οὖν, ὅτι καὶ πρὸς ἡμᾶς, εἴγε οὕτως ἡμῖν ἥνωται. πλὴν ἀλλὰ καὶ τὰ ἡμῶν κατ' ἰδίαν φησίν· "ὄντας γὰρ ἡμᾶς νεκροὺς τοῖς παραπτώ-

"μασι, συνήγειρε καὶ συνεκάθισεν·" ὥστε ὅπερ ἔφην, μὴ ἀπίστει, ἀπό τε τῶν προτέρων, ἀπό τε τῆς κεφαλῆς, ἀπό τε τοῦ βούλεσθαι ἐνδείκνυσθαι αὐτὸν τὴν ἀγαθότητα, λαβὼν τὴν ἀπόδειξιν. πῶς γὰρ ἐνδείξηται, ἂν τοῦτο μὴ γένηται; καὶ ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις. νῦν μὲν γὰρ λῆρος εἶναι δοκεῖ τοῖς ἀπίστοις τὰ λεγόμενα, τότε δὲ πάντες εἴσονται.

Ὠριγένης δέ φησι· τὸ "συνήγειρε καὶ συνεκάθισεν," ὁ μὲν ἁπλούστερον ἐκλαμβάνων, κατὰ πρόγνωσιν καὶ προορισμὸν Θεοῦ φήσει εἰρῆσθαι, ὡς ἤδη γενόμενον τὸ ἑπόμενον· ὁ δὲ νοητὴν θεωρῶν τὴν Χριστοῦ βασιλείαν, οὐκ ὀκνήσει λέγειν τὸν ἤδη ἅγιον, ὥσπερ οὐκ εἶναι ἐν σαρκὶ, καὶ ὑπὸ τῶν ἁπλουστέρων λέγηται εἶναι ἐν σαρκὶ, οὕτως οὐκ εἶναι ἐπὶ γῆς, κἂν κατὰ τὸ αἰσθητὸν βλέπηται ἐπὶ γῆς τυγχάνων. ὁ γὰρ ἐν Πνεύματι, οὐκ ἔστιν ἐπὶ γῆς, καὶ οὐδεὶς τῶν ἐν τοῖς ἐπουρανίοις ἐστὶν ἐν σαρκὶ, ἀλλ' ἤδη ἐν Πνεύματι. αἵ γ' οὖν τοιαῖδε διαθέσεις καὶ ἡ τῶν τηλίκων γε καὶ τοιῶνδε κατάληψις οὐκ ἔστιν ἐπίγειος, ἀλλ' ἐπουράνιος· πάντων τῶν ἤδη τὸ πολίτευμα ἐν οὐρανοῖς ἐχόντων τῶν συγκαθισάντων τῷ Χριστῷ ἐν τοῖς ἐπουρανίοις, εἴπερ καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ἡμῶν ἐστιν, ἵν' οὕτως ὦμεν κεκαθικότες ἐν τοῖς ἐπουρανίοις, συγκαθήμενοι τῷ Χριστῷ καὶ συνιδρυμένοι τῇ σοφίᾳ καὶ τῷ λόγῳ τοῦ Θεοῦ. [τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι, διὰ πίστεως.]

(Χρυσοστόμος.) Ὁ μακάριος Ἰωάννης φησὶ, ἵνα μὴ πάλιν τὸ αὐτεξούσιον λυμήνηται, ἔθηκε καὶ τὸ ἡμῶν, καὶ πάλιν αὐτὸ ἀνεῖλε, καὶ φησὶ, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν, οὐδὲ ἡ πίστις φησὶν ἐξ ἡμῶν. εἰ γὰρ μὴ ἦλθεν, εἰ γὰρ μὴ ἐκάλεσε, πῶς ἠδυνάμεθα πιστεῦσαι; Θεοῦ τοίνυν τὸ δῶρον· μὴ γὰρ ἤρκει ἡ πίστις σῶσαι, φησὶν, ἀλλ' ἵνα μὴ ἀργοὺς μηδὲ καινοὺς σώσῃ, ταύτην ἐζήτησεν ὁ Θεὸς, φησί· τοῦτο αὐτὸ Θεοῦ δῶρόν ἐστιν, ἵνα μή τις καυχήσῃ τι, ἵνα εὐγνώμονας περὶ τὴν χάριν ποιήσῃ. τί οὖν αὐτὸς ἐκώλυσεν ἐξ ἔργων δικαιωθῆναι; οὐδαμῶς, ἀλλ' οὐδεὶς ἐξ ἔργων, φησὶ ἐδικαιώθη, ἵνα δειχθῇ τοῦ Θεοῦ ἡ χάρις καὶ ἡ φιλανθρωπία· οὐχὶ ἔχοντας ἔργα ἀπώσατο, ἀλλὰ προδεδομένους ἀπὸ τῶν ἔργων χάριτι ἔσωσεν, ὥστε μηδένα λοιπὸν ἔχειν καυχᾶσθαι. εἶτα ἵνα μὴ ἀκούσας, ὅτι οὐκ ἐξ ἔργων, ἀλλὰ πίστει τὸ πᾶν κατωρθώθη, ἀργὸς γένῃ, ὅρα τί ἐπήγαγεν.

10 *Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν.*

Τὴν ἀναγέννησιν ἐνταῦθα αἰνίττεται· ὄντως ἡ κτίσις ἑτέρα ἐστὶν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθημεν· ὅπερ ἦμεν πρότερον, ἀπεθάνομεν, τουτέστιν, ὁ παλαιὸς ἄνθρωπος· ὅπερ ἐγενόμεθα, οὐκ ἦμεν πρότερον· ἄρα ἡ κτίσις τὸ πρᾶγμά ἐστι καὶ τῆς ἑτέρας τιμιωτέρα. ἐξ ἐκείνης μὲν γὰρ τὸ ζῆν, ἐκ δὲ ταύτης τὸ καλῶς ἡμῖν ζῆν περιγέγονεν· "ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεὸς, "ἵνα ἐν αὐτοῖς περιπατήσωμεν." Διαρκοῦσι γὰρ ἡμῖν χρεία τῆς ἀρετῆς, οὐχὶ ἵνα ἀρξώμεθα, ἀλλ' ἵνα περιπατήσωμεν· οὐδὲ γὰρ εἰ βαδίζειν ὁδὸν ἔδει, εἰς πόλιν φέρουσαν βασιλικήν· εἶτα τὸ πλέον αὐτῆς ἀνύσαντες, περὶ τὸ τέλος αὐτὸ μαλακισθέντες ἐκαθίσαμεν, ὤνησεν ἂν ἡμᾶς αὕτη ἡ ἐλπὶς τῆς κλήσεως· ἐπ' ἔργοις γὰρ φησὶν, ἀγαθοῖς. οὐδὲν οὖν ἂν ὤνησεν ἡμᾶς τὸ πρᾶγμα. οὕτω δὴ καὶ ἐνταῦθα· οὐχ ἵνα ἓν ἔργον ἐργασώμεθα, προστάττει, ἀλλ' ἵνα πάντα.

Θεόδωρος δέ φησιν, "εἰς τὸ αὐτοῦ γάρ ἐσμεν ποίημα, κτι-"σθέντες ἐπ' ἔργοις ἀγαθοῖς." ἐνταῦθα οὐ κατὰ τὴν πρώτην λέγει δημιουργίαν, ἀλλὰ κατὰ τὴν δευτέραν, καθ' ἣν ἀνακτιζόμεθα διὰ τῆς ἀναστάσεως, ἵν', ἅπερ ἀπὸ τῆς οἰκείας προαιρέσεως κατορθῶσαι οὐδαμῶς οἷοί τε ἐγενόμεθα, τῷ τὴν φυσικὴν ἀντιπράττειν ἡμῖν ἀσθένειαν, ταῦτα δίχα πόνου παντὸς σὺν εὐμαρείᾳ πολλῇ χάριτι τοῦ πρὸς τοῦτο ἡμᾶς ἀνακτίζοντος, ἐπιτελέσαι ἡμῖν ἐγγένηται.

Σευηριανός δέ φησιν, ἐπειδὴ κτισθέντες λέγει, ἡ κτίσις οἰκείωσίς ἐστι· τὸ δὲ "ἐπὶ ἔργοις ἀγαθοῖς" ἐπήγαγεν, ἵνα λοιπὸν σαυτὸν οἰκοδομῇς . . . . . .

Τῶν εἰς τὴν πρὸς Ἐφεσίους Ἐπιστολὴν Παύλου τοῦ Ἀποστόλου ἐξηγητικῶν ἐκλογῶν τόμος α'.

ΤΟΜΟΣ Β.

11 Διὸ μνημονεύετε, ὅτι ὑμεῖς ποτε τὰ ἔθνη ἐν σαρκὶ,
οἱ λεγόμενοι ἀκροβυστία, ὑπὸ τῆς λεγομένης περιτομῆς
12 ἐν σαρκὶ χειροποίητου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς
Χριστοῦ, ἀπηλλωτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ,
καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχον-
τες καὶ ἄθεοι, ἐν τῷ κόσμῳ.

(Χρυσοστόμος.) Ὁ μακάριος Ἰωάννης φησὶ, πολλὰ δείκνυσι τοῦ Θεοῦ τὴν φιλανθρωπίαν· πρῶτον, ὅτι δι' ἑαυτοῦ ἔσωσε, καὶ δι' ἑαυτοῦ τρόπῳ τοιούτῳ· δεύτερον, ὅτι τίνας ὄντας ἔσωσε· τρί-τον, ὅτι ποῦ ἀνήγαγε· καὶ πάντα ταῦτα κινεῖ νῦν γράφων ὁ Παῦλος. εἶπεν, ὅτι νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τέκνα ὀργῆς ἔσωσε. νῦν λέγει, τίνων ἐποίησεν ἴσους. "διὸ" φησὶ, "μνημονεύετε," ἔθος γὰρ ἡμῖν ἅπασιν, ὅταν ἐκ τῆς πολλῆς εὐτελείας εἰς ἀντίρροπον, εἰ καὶ μείζονα τιμὴν ἀναχθῶμεν, μηδὲ μεμνῆσθαι τῶν προτέρων. διὰ τοῦτό φησι· "διὸ μνημονεύετε·" "διὸ" ποῖον; ἐπειδὴ ἐκτίσθημεν ἐπὶ ἔργοις ἀγαθοῖς· τοῦτο δὲ ἱκανὸν ἡμᾶς πεῖσαι τῆς ἀρετῆς ἐπιμελεῖσθαι, καὶ εὐγνώμονας περὶ τὸν εὐεργέτην ποιῆσαι, ὅτι ὑμεῖς ποτε τὰ ἔθνη οἱ λεγόμενοι· ἐν ῥήμασιν ἦν ἡ τιμή· ἐν σαρκὶ τὸ προτέρημα· "οὐδὲν γάρ ἐστιν ἡ "ἀκροβυστία, οὐδὲν ἡ περιτομὴ," "ὑπὸ τῆς λεγομένης φησὶ, περι-"τομῆς ἐν σαρκὶ χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς "Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ "ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας· ἐλπίδα μὴ ἔχοντες, καὶ "ἄθεοι ἐν τῷ κόσμῳ." Ὑμεῖς ὑπὸ Ἰουδαίων τοῦτο καλούμενοι. τί δή ποτε δὲ μέλλων δεικνύναι τὴν εὐεργεσίαν αὐτῶν ἐν τούτῳ γενομένην· ἐν τῷ κοινωνῆσαι αὐτοῖς τῷ Ἰσραὴλ, πάλιν τὸ ἀξίωμα τὸ Ἰσραηλιτικὸν οὐ καθαιρεῖ, ἀλλ' ἐν τούτοις ἐπαίρει αὐτὸ ἐν τοῖς ἀναγκαίοις· ἐν τούτοις δὲ καθαιρεῖ, ἐν οἷς οὐκ ἐκοινώνησαν. προϊὼν γὰρ, φησὶ, συμπολῖται τῶν ἁγίων ἐστὲ, καὶ οἰκεῖον τοῦ Θεοῦ. ὁρᾷς πῶς οὐ καθαιρεῖ; ταῦτα, φησὶ, ἀδιάφορά ἐστι. μὴ νομίσητε ὅτι περιτομῆς οὐκ ἐτύχετε, ἀλλ' ἀκροβυστία ἐστὲ, διαφοράν τινα

εἶναι. τὸ γὰρ χαλεπὸν τοῦτο ἦν, τὸ χωρὶς Χριστοῦ εἶναι, τὸ τῆς πολιτείας ἀπηλλοτριῶσθαι· τοῦτο δὲ οὐ πολιτεία. τὸ δὲ ξένους εἶναι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, τὸ ἐλπίδα μὴ ἔχειν τὴν μέλλουσαν, τὸ ἀθέους εἶναι ἐν τῷ κόσμῳ τούτῳ, ταῦτα πάντα ἐκείνων ἦν. εἶπε περὶ τῶν οὐρανίων πραγμάτων, λέγει δὲ περὶ τῶν ἐπὶ γῆς, ἐπειδὴ μεγάλην εἶχον περὶ αὐτὸν δόξαν οἱ Ἰουδαῖοι· οὕτω καὶ ὁ Χριστὸς παραμυθούμενος τοὺς μαθητὰς, μετὰ τὸ εἰπεῖν ὅτι "μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ "βασιλεία τῶν οὐρανῶν," τὸ ἔλαττον τίθησιν· "οὕτω γὰρ," φησὶν, "ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν." τοῦτο γὰρ πρὸς μὲν τὸ μέγεθος ἔλαττόν ἐστι, πρὸς δὲ τὸ ἐγγὺς εἶναι καὶ πιστεῦσαι, μέγα καὶ ἱκανὸν, καὶ πολλὴν ἔχει τὴν ἰσχύν. ἄρα τοῦτο ἦν τὸ πολιτεύεσθαι· πολλὴ δὲ τῶν ῥημάτων ἡ ἔμφασις, πολὺν δεικνῦσα τὸν χωρισμόν· "ἀπηλλοτριωμένοι," φησὶ, "καὶ ξένοι τῶν "διαθηκῶν," ἐπεὶ καὶ Ἰσραηλῖται τῆς πολιτείας ἦσαν ἐκτός· ἀλλ' οὐχ ὡς ἀλλότριοι, ἀλλ' ὡς ῥάθυμοι καὶ τῶν διαθηκῶν ἐξέπεσον, οὐχ ὡς ξένοι. τίνες δὲ αἱ διαθῆκαι τῆς ἐπαγγελίας; "σοὶ καὶ "τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην," καὶ ὅσα ἕτερα ἐπηγγείλατο. "ἐλπίδα," φησὶ, "μὴ ἔχοντες, καὶ ἄθεοι·" καί τοι Θεοὺς προσεκύνουν, ἀλλ' οὐκ ἦσαν. οὐ γὰρ ἐστί τι εἴδωλον.

Ὠριγένης φησὶ πρὸς τοὺς νομίζοντας μὴ τὴν τοῦ Ἰσραὴλ πολιτείαν πολιτεύεσθαι τοὺς εἰς Χριστὸν πεπιστευκότας, ἀλλὰ ἄλλην τινὰ καινὴν, καὶ οὐδὲν πρὸς ἐκείνην κοινὸν ἔχουσαν, καλὸν παρατήρημα ἐντεῦθεν ἔστι λαβεῖν, "ἦτε" γὰρ, φησὶν, "ἐν τῷ "καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ "Ἰσραὴλ," ὡς νῦν οὐκέτι αὐτῶν ὄντων χωρὶς Χριστοῦ, ἀλλ' οὐδὲ ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ· τοῖς γὰρ νοοῦσι τὸν πνευματικὸν νόμον, καὶ κατ' αὐτὸν βιοῦσι, πᾶσιν ὑπάρχει τὸ οἰκειῶσθαι τῇ πολιτείᾳ τοῦ Ἰσραήλ· καὶ μᾶλλον τῶν σωματικῶν Ἰουδαίων, ἀκόλουθόν ἐστι τὸν χωρὶς Χριστοῦ καὶ ἀπηλλοτριωμένον τῆς πολιτείας τοῦ Ἰσραὴλ, καὶ ξένον νομίζειν εἶναι τῶν διαθηκῶν τῆς ἐπαγγελίας. ζητήσεις δὲ, μή ποτε διὰ τοῦτο εἴρηται "ἄθεοι, ἐν "τῷ κόσμῳ τούτῳ[k]·" ἐπεὶ ὅσον ἐπὶ τῇ προγνώσει τοῦ Θεοῦ οὐκ ἦσαν ἄθεοι, οἷς γράφεται ἡ Ἐπιστολή.

[k] τοῦτο Cod.

13 Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ, ὑμεῖς οἱ ποτὲ ὄντες
μακρὰν, ἐγεννήθητε ἐγγὺς ἐν τῷ αἵματι τοῦ Χριστοῦ.

Τὸ μακρὰν καὶ τὸ ἐγγὺς ὠνομάσθη ἀπὸ τῶν τοπικῶς μακρὰν ἢ ἐγγὺς, εἰς παράτασιν τῆς πόρρω τοῦ Θεοῦ προαιρέσεως, καὶ τῆς ἐγγιζούσης τῷ θελήματι αὐτοῦ· γινόμεθα δὲ ἐγγὺς, καθαρθέντες τῷ αἵματι τοῦ Χριστοῦ, καὶ ταύτης τῆς τιμῆς ἀγορασθέντες. "αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν." τηρητέον, ὅτι ὥσπερ ἐστὶ Λόγος ὁ Χριστὸς καὶ σοφία καὶ δύναμις καὶ ζωὴ, οὕτω καὶ εἰρήνη· καὶ συνακτέον γε πάντα ἀπὸ πάσης γραφῆς, ἃ ὀνομάζεται, ἵνα αὐτὸν ἀκριβέστερον νοήσωμεν. ὥσπερ οὖν ὁ ἔχων αὐτὸν ἔχει λόγον· ὅτε αὐτὸν ζητήσας εὗρεν ὡς λόγον, τὸ δὲ ἀνάλογον καὶ ἐπὶ σοφίας καὶ δικαιοσύνης ἔχει, οὕτω ζητήσωμεν αὐτὸν καὶ ὡς εἰρήνην· ἵνα αὐτὸν ἔχωμεν, καθώς ἐστιν εἰρήνη, καὶ εἰρήνη πάντων τῶν λογικῶν· ὁ δὲ μὴ ἔχων τὴν εἰρήνην οὐκ ἔχει τὸν Χριστόν.

Σευηριανός δέ φησιν· οὐκ εἶπεν ἐγγύτερον τῶν πιστευσάντων ἀπὸ περιτομῆς, ἀλλ' ἐγγύς.

Θεόδωρος δέ φησι, νῦν ὁ τοῦ Χριστοῦ θάνατος τὴν ἀνάστασιν χαρισάμενος, καὶ ἕτερον ἀντὶ τοῦ παρόντος ἐπεισαγαγὼν βίον, συνῆψεν ὑμᾶς τοὺς ἀφεστῶτας πολύ· πῶς καὶ τίνα τρόπον; "αὐτὸς "γάρ ἐστιν ἡ εἰρήνη ἡ ἡμῶν," καὶ τὰ ἑξῆς. ὁ Χριστὸς τὴν διὰ τῆς ἀναστάσεως ἀθανασίαν ἡμῖν παρασχὼν, κατέλυσε τὴν διαίρεσιν ταύτην. ἐν γὰρ ἀθανάτῳ φύσει περιτομὴ μὲν οὐκ ἂν γένοιτο. τούτου δὲ οὐκ ὄντος, οὐδὲ μία φανήσεται ἀκροβύστου καὶ περιτετμημένου διάκρισις, ἀλλὰ μὴν καὶ αὐτῶν τῶν ἐντολῶν τὸν νόμον ἐντεῦθεν ἔπαυσε· περιττὴ γὰρ τότε πᾶσα τοῦ νόμου διάταξις.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν οὐ τοῦτο λέγει, ὅτι εἰς ἐκείνην τὴν εὐγένειαν ἡμᾶς ἤγαγε, ἀλλ' ὅτι καὶ ἡμᾶς κἀκείνους εἰς μείζονα· πλὴν ἡμῖν μείζων ἡ εὐεργεσία. τοῖς μὲν γὰρ καὶ ἐπήγγελτο, καὶ ἐγγυτέρω ἦσαν, ἡμῖν δὲ οὐδὲ ἐπήγγελτο, καὶ πορρωτέρω ἦμεν. διό φησι, "τὰ δὲ "ἔθνη ὑπὲρ ἐλέου δοξάσαι τὸν Θεόν." ἐπηγγείλατο μὲν τοῖς Ἰσραηλίταις, ἀλλ' ἀνάξιοι ἦσαν· τούτοις δὲ οὐδὲ ἐπήγγελτο, ἀλλὰ ξένοι ἦμεν, οὐδὲν κοινὸν εἴχομεν πρὸς αὐτούς· καὶ ἐποίησεν ἡμᾶς ἓν, οὐχ ἡμᾶς ἐκείνοις συνάψας, ἀλλὰ καὶ ἐκείνους καὶ ἡμᾶς εἰς ἓν συνάψας.

Ὑπόδειγμα δὲ ἐρῶ. Ὑπόδειγμα εἶναι ἀνδριάντας δύο, τὸν μὲν ἐξ ἀργύρου, τὸν δὲ ἐκ μολύβδου, εἶτα ἀμφοτέρους καταχωσθέντας ἀνελθεῖν χρυσοῦς τοὺς δύο· ἰδοὺ τοὺς δύο ἓν ἐποίησεν. ἔστω πάλιν ὁ μὲν δοῦλος ὁ δὲ υἱοποιητὸς, ἀμφότεροι δὲ αὐτὸν προσκυνείτωσαν· ὁ μὲν ἀποκήρυκτος ὢν παῖς, ὁ δὲ δραπέτης, καὶ οὐδὲ ἐγνωκὼς τὸν πατέρα. εἶτα ἀμφότεροι γινέσθωσαν κληρονόμοι καὶ γνήσιοι παῖδες. ἰδοὺ εἰς μίαν ἤχθησαν τὴν τιμήν· οἱ δύο γεγόνασιν ἕν, ὁ μὲν πόρρωθεν ἐλθὼν, ὁ δὲ ἐγγύθεν.

14 Τὸ *μεσότοιχον τοῦ φραγμοῦ λύσας.*

Ποῖον *ἔστι τὸ μεσότοιχον; τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ· τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. τινὲς φασὶ τὸ μεσότοιχον τῶν* Ἰουδαίων *πρὸς τοὺς* Ἕλληνας, *ὅτι οὐκ ἀφίησιν αὐτοὺς ἀναμίγνυσθαι. ἐμοὶ δὲ οὐ τοῦτο δοκεῖ, ἀλλὰ τὸ μεσότοιχον τοῦτο κοινὸν εἶναι τὴν ἔχθραν· τοῦτο μεσότοιχον ἦν διαφράσσον, καθὼς ὁ προφήτης φησίν· "οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀναμέσον "ὑμῶν καὶ ἐμοῦ·" μεσότοιχον ἦν, ἔχθρα ἦν, καὶ πρὸς* Ἰουδαίους *καὶ πρὸς* Ἕλληνας *εἶχε· τοῦ δὲ νόμου ὄντος, οὐ μόνον οὐκ ἐλύετο, ἀλλὰ ηὔξετο. "ὁ γὰρ νόμος," φησὶν, "ὀργὴν κατεργάζεται." ὥσπερ οὖν ἐκεῖ λέγων ὁ νόμος, ὀργὴν κατεργάζεται, οὐκ αὐτὸ τὸ πᾶν ἐπιγράφει, ἀλλ' ἐπειδὴ παρέβημεν, ὑπακούεται. οὕτω δὲ ἐνταῦθα μεσότοιχον αὐτὸν φησὶν, ἐπειδὴ παρακουόμενος ἔχθραν ἐποίει. φραγμὸς ὁ νόμος ἦν· ἀλλ' οὗτος ἐγένετο μὲν ἀσφαλείας ἕνεκεν. διὸ καὶ φραγμὸς ὠνόμασται. ἄκουε γὰρ τοῦ προφήτου λέγοντος, "καὶ φραγμὸν αὐτῷ περιέθηκαν," καὶ πάλιν "καθεῖλε "τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευό"μενοι τὴν ὁδόν·" ἐκεῖ τὴν ἀσφάλειαν φησίν· "καθελῶ τὸν "φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα·" γέγονε δὲ μεσότοιχον, οὐκέτι αὐτοὺς ἐν ἀσφαλείᾳ καθιστῶν, ἀλλὰ χωρίζων αὐτοὺς ἀπὸ τοῦ* Θεοῦ.

Τοιοῦτο *γὰρ τὸ μεσότοιχον τὸ ἀπὸ τοῦ φραγμοῦ ὅπερ ἔλυσεν ὁ* Χριστὸς, *οἷον δὴ τοῦτό ἐστι τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ. πῶς; σφαγεὶς καὶ λύσας ἐκεῖ τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ· οὐ τούτῳ δὲ μόνον, ἀλλὰ καὶ τῷ φυλάξαι αὐτὸν, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. βαβαὶ, ἔδωκεν ἡμῖν νόμον, ἵνα*

φυλάσσωμεν· ἐπειδὴ οὐκ ἐφυλάξαμεν, δέον κολασθῆναι· τὸν νόμον κατέλυσεν, ὡς ἂν εἴ τις παιδίον ἴδιον παραδοὺς παιδαγωγῷ, ἐπειδὴ μὴ ὑπακούῃ, καὶ τοῦ παιδαγωγοῦ ἐλεύθερον ποιήσῃ καὶ ἀπάγοι. τί ἐστιν, "ἐν δόγμασι καταργήσας;" πολλὴν γὰρ ἐνταῦθα διαφορὰν φησὶν ἐντολῆς καὶ δογμάτων, ἢ τὴν πίστιν αὐτήν φησιν δόγμα καλῶν, ἀπὸ γὰρ πίστεως μόνης ἔσωσεν, ἢ τὴν παραγγελίαν, καθὼς ἔλεγεν ὁ Χριστός· "ἐγὼ δὲ λέγω ὑμῖν, μηδὲ ὀργισθῆναι "ὅλως·" τουτέστιν, ἐὰν πιστεύσῃς, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καὶ πάλιν "ἐγγύς σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ "στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. μὴ εἴπῃς, τίς ἀναβήσεται "εἰς τὸν οὐρανὸν, ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον, ἢ τίς "αὐτὸν ἀνήγαγε ἐκ νεκρῶν;" ἀντὶ βίου πίστιν εἰσήγαγεν· ἵνα γὰρ μὴ εἰκῇ σώσῃ, ἀπήτησεν αὐτοὺς τὴν πίστιν διὰ δογμάτων, ἵνα τοὺς δύο κτίσῃ ἐν αὐτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην.

Ὁρᾷς οὐχὶ τὸν Ἕλληνα γινόμενον Ἰουδαῖον, ἀλλὰ τοῦτον κἀκεῖνον εἰς ἑτέραν κατάστασιν ἥκοντας, οὐχὶ ἵνα τοῦτον ἕτερον ἐργάσηται, ἀλλὰ τοὺς δύο κτίσῃ. καὶ καλῶς πανταχοῦ τῷ ὀνόματι κέχρηται τῷ κτίσει; καὶ οὐκ εἶπε, μεταβάλῃ, ἵνα δείξῃ τὸ ἐναργὲς τοῦ γενομένου, καὶ ὅτι εἰς ὁρατὸν ἡ κτίσις, ἀλλ' ἐκείνης οὐκ ἐλάττων, καὶ ὅτι ὡς ἀπὸ φυσικῶν πραγμάτων ἀποπηδᾷν ἡμᾶς οὐ χρὴ λοιπόν. ἵνα τοὺς δύο κτίσῃ, φησὶν, ἐν αὐτῷ, τουτέστι, δι' ἑαυτοῦ· οὐκ ἄλλῳ τοῦτο ἐπέταξεν, ἀλλὰ δι' ἑαυτοῦ καὶ τοῦτον κἀκεῖνον χωνεύσας, ἕνα ἀνήνεγκε θαυμαστὸν, αὐτὸς πρῶτος τοῦτο γινόμενος, ὅπερ τῆς προτέρας κτίσεώς ἐστι μεῖζον, αὐτὸς πρῶτος τύπον παρασχὼν καὶ ὑπόδειγμα. ἔνθεν γὰρ τὸν Ἰουδαῖον κατασχὼν, καὶ ἔνθεν τὸν Ἕλληνα, μέσος αὐτὸς γενόμενος καὶ συμμίξας αὐτοῖς, καὶ πᾶν αὐτῶν τὸ ἠλλοτριωμένον ἀφανίσας, ἀνέπλασεν ἄνωθεν διὰ πυρὸς καὶ ὕδατος, οὐ δι' ὕδατος καὶ γῆς. γέγονεν Ἰουδαῖος περιτμηθεὶς, γέγονεν ἐπικατάρατος, γέγονεν Ἕλλην, ἐκτὸς νόμου—καὶ ὑπὲρ Ἕλληνας καὶ Ἰουδαίους εἰς ἕνα καινὸν ἄνθρωπον, φησὶν, ποιῶν εἰρήνην, πρὸς τὸν Θεὸν, ἢ καὶ πρὸς ἀλλήλους, μᾶλλον δὲ πρὸς τὸν Θεόν· τὸ γὰρ ἑξῆς τοῦτο δηλοῖ. Τί γάρ φησι; "καὶ "ἀποκαταλλάξει τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ "σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ." οὐκ εἶπε, καταλλάξει, ἀλλ' ἀποκαταλλάξει, δεικνὺς, ὅτι ἡ ἀνθρωπίνη φύσις ἀκα-

τάλλακτος ἦν, οἷον ἐπὶ τῶν ἁγίων, καὶ πρὸ τοῦ νόμου· ἐν ἑνὶ σώματι, φησὶ, τῷ αὐτοῦ, τῷ Θεῷ. πῶς τοῦτο γίνεται; τὴν ὀφειλομένην φησὶν δίκην αὐτὸς ὑποστάς. "Διὰ τοῦ σταυροῦ, "ἀποκτείνας τὴν ἔχθραν ἐν ἑαυτῷ." οὐδὲν κυριώτερον τῶν λέξεων, οὐδὲν ἐμφαντικώτερον. ὁ θάνατος αὐτοῦ, φησὶ, τὴν ἔχθραν ἀπέκτεινεν, ὥστε μηκέτι αὐτὴν ἀναστῆναι. πῶς οὖν ἀνίσταται; ἀπὸ τῆς πολλῆς ἡμῶν κακίας, ἕως ἂν μένωμεν ἐν τῷ σώματι τοῦ Χριστοῦ, ἕως ἂν ὦμεν ἡνωμένοι, οὐκ ἀνίσταται, μᾶλλον δὲ ἐκείνη οὐδέποτε ἀνίσταται, κἂν ἑτέραν τέκωμεν, οὐκέτι παρὰ τὸν τὴν προτέραν ἀνελόντα καὶ ἀπολύσαντα· σὺ δὲ ὠδίνεις ἑτέραν· τὸ γὰρ φρόνημα, φησὶ, τῆς σαρκὸς, ἔχθρα εἰς Θεόν· ἂν μηδὲν φρονῶμεν σαρκικὸν, οὐ τεχθήσεται ἑτέρα.

17 Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν,
18 καὶ εἰρήνην τοῖς ἐγγὺς, ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσα-
γωγὴν οἱ ἀμφότεροι, ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα.

Οὐ δι' ἄλλου τινὸς ἐμήνυσεν ἡμῖν, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, ἐπειδὴ τὸ διορθῶσαι τὰ τοσαῦτα κακὰ οὐδενὸς ἑτέρου ἦν, ἀλλὰ τῆς αὐτοῦ παρουσίας· ὑπηρέτου σχεδὸν καὶ διακόνου τάξιν ἐδείξατο ὁ δεσπότης. τοὺς Ἰουδαίους φησὶν ἐγγὺς, ὡς πρὸς τοὺς Ἕλληνας, "ὅτι "δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι, ἐν ἑνὶ Πνεύ"ματι πρὸς τὸν Πατέρα·" εἰρήνην τὴν πρὸς Θεὸν φησὶν, οὐχ ὑμῖν ἔλαττον, ἐκείνοις δὲ πλέον, ἀλλὰ μιᾷ χάριτι· τὴν μὲν γὰρ ὀργὴν ἔλυσε τῷ θανάτῳ, ἐπεράστους δὲ ἡμᾶς ἐποίησε τῷ Πατρὶ διὰ τοῦ Πνεύματος.

Σευηριανός φησι, εἰς τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, οὐ τὸν φραγμὸν, ἀλλὰ τὸ μεσότοιχον. τίς δὲ ὁ φραγμός; "ἀφελῶ τὸν "φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν," τουτέστι, τὴν ἀσφάλειαν τοῦ πνεύματος. τί δὲ τὸ μεσότοιχον; τὸ πρὸς τοὺς Ἕλληνας ἄμικτον. κεκώλυτο γὰρ Ἕλλησιν ἐπιμίγνυσθαι Ἰουδαίους, ἵνα μὴ Ἰουδαῖοι εἰς τὴν εἰδωλολατρείαν καταπέσωσιν, οἱ καὶ χωρὶς τούτου εἰδωλολατροῦντες, καὶ τοῦτό ἐστιν ὃ λέγει Δαβίδ· "ὁ Θεὸς "κατοικίζει μονοτρόπους ἐν οἴκῳ." ἔδει γὰρ τὸ προζύμιον ἰσχυρὸν γενέσθαι, ἵν' οὕτως τὸ ὅλον τοῦ κόσμου ζυμωθῇ· τὸν νόμον τῶν ἐντολῶν, τὸν νενομισμένον λέγει, ὡς ἀπὸ τῶν ἐντολῶν Μωσαϊκῶν· ἐν δόγμασι τοῖς ἰδίοις καταργήσας, ὧν ἐστιν, "οὐ τὰ εἰσπορευόμενα

" κοινοῖ τὸν ἄνθρωπον·" τοῦτο δὲ ἔλυσε, τὸ τόδε φαγὲ, τὸ δὲ μὴ φάγῃς, τὸ μὴ διδόναι βιβλίον ἀποστασίου, τοῦτο ὑπεναντίως εἶχε πρὸς τὸ κατὰ πᾶσαν αἰτίαν ἀφιέναι γυναῖκα· τὸ ἡμέρας παρατηρεῖσθαι, καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτοὺς ἐναντίον ἦν οἷς ἔδωκε Μωϋσῆς· καὶ ὅλως πολλὰ τοιαῦτα ἐστὶ δογματικὰ, οἷς τὸν νόμον τῶν ἐντολῶν κατήργησεν, οὐ τὰς ἐντολὰς ὡς ἀτόπους, ἀλλὰ τὸ ἔθος ὡς οὐκέτι χρησιμεῦον. αἱ γὰρ ἐντολαὶ τιμῶνται κἂν μὴ ἐνεργῶσιν, ὁ δὲ νόμος λοιπὸν, τουτέστι τὸ ὑπὸ νόμον τῶν ἐντολῶν καθ' ἡμᾶς εἶναι ἔπλαττε μετὰ τὴν χάριν.

Θεόδωρος δὲ φησὶ, ἵνα εἴπῃ διὰ τῶν ἰδίων δογμάτων τῆς ἀναστάσεως, τῆς ἀφθαρσίας, τῆς ἀθανασίας, δόγματα καλέσας ταῦτα, ὡς ἐν πράγμασιν ὄντα, τῆς θείας χάριτος ἐν ἡμῖν καταπραττομένης, ὡς μηδὲ προσταγμάτων ἡμᾶς δεῖσθαι καὶ ἐντολῆς, τῆς τόδε ποιεῖν, ἢ μὴ ποιεῖν βουλομένης ἡμᾶς.

Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον.

Σευηριανός φησιν, Ἕλληνες μὲν γὰρ τῆς εἰδωλολατρείας ὡς ἀσεβείας, Ἰουδαῖοι δὲ τοῦ νόμου ὡς οὐκέτι χρησιμεύοντος ἀφιστάμενοι, εἰς ἑτέραν τινὰ καινότητα εὐσεβείας ἀνοικοδομοῦνται.

Ποιῶν εἰρήνην.

Ὁ γὰρ νόμος οὐ βούλεται εἰρήνην εἶναι· διατί; ἵνα μὴ ἡ εἰρήνη ἡ σωματικὴ πόλεμον κατὰ τῆς εὐσεβείας ἐγείρῃ. " ἀμφοτέρους " καταλλάξει τῷ Θεῷ·" ἐπειδὴ οἱ μὲν Ἕλληνες ἐπλανῶντο, οἱ δὲ Ἰουδαῖοι παραβεβήκεσαν.

Ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ.

Πλάτος ἔχει τὸ νόημα ἐν συντομίᾳ ῥήματος· ἐπειδὴ γὰρ νόμος ἦν ὁ διϊστῶν Ἰουδαίους Ἑλλήνων κατὰ τὸ προειρημένον, ἔμελλε δὲ παύεσθαι ὁ νόμος· οὐχ ἑτέρως δὲ ἐπαύσατο, ἢ ἐπειδὴ ἐκ νεκρῶν ἀνέστη ὁ Κύριος, ᾧ ἔδει συναφθῆναι τὴν ἐκκλησίαν ἑτέρῳ ἀνδρὶ μετὰ νόμον. λέγει ὅτι ἐν τῇ σαρκὶ αὐτοῦ ἐκείνην τὴν ἔχθραν ἀπέκτεινε, παύσας τὸν νόμον.

17 Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς.

Τοῦτο δείκνυσιν, ὅτι οὐκ ἀσεβῆ τὸν νόμον λέγει τὸν Μωσέως ὡς τὸ εἰδωλολατρεῖν. μακρὰν γάρ φησιν εἶναι τοὺς εἰδωλολάτρας, ἐγγὺς δὲ τοὺς Ἰουδαίους· τὸ δὲ ἐγγὺς καὶ μέρος εὐσεβείας δεί-

κυσι καὶ οὐ τέλειον. εἰ γὰρ εἶχον τὸ τέλειον, οὐκ ἦσαν ἐγγὺς, ἀλλ᾽ ἐν αὐτῷ· εἰ δὲ πάλιν ἦσαν ἐναντίοι, οὐκ ἦσαν ἐγγὺς, ἀλλὰ πόρρωθεν μετὰ τῶν Ἑλλήνων.

Ὠριγένης δέ φησι, ταῦτα λέγεσθαι περὶ τῶν θειοτέρων δυνάμεων καὶ τῶν ἀπὸ ἀνθρώπων σωζομένων, τῶν μὲν θειοτέρων δυνάμεων οὐσῶν, καὶ πρότερον ἐγγὺς, τῶν δὲ ἀνθρώπων μακράν· ἐφαρμόσει δὲ τούτοις ὁ ταῦτα λέγων, τὸ "εἰρηνοποιήσας διὰ τοῦ αἵματος "τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρα"νοῖς·" καὶ ὅλα τὰ κατὰ τὸν τόπον οὕτω διηγήσεται, τῶν μὲν κρειττόνων δυνάμεων, ὅτι ἐν φιλίᾳ ἦν πρὸς τὸν Θεὸν, τῶν δὲ ἐν κόσμῳ ἀνθρώπων, ὅτι ἐν ἔχθρᾳ ἦν πρὸς αὐτὸν, καὶ αὕτη ἡ ἔχθρα τὸ μεσότοιχον ἦν τοῦ φραγμοῦ, κωλύον τοῦ ἑνοῦσθαι τὴν ἀνθρώπων φύσιν τῇ μακαριότητι τῶν κρειττόνων. τοῦτο οὖν τὸ μεσότοιχον τοῦ φραγμοῦ ἔχθρα τυγχάνον, ἐλύθη διὰ τοῦ ἐνηνθρωπηκέναι τὸν Σωτῆρα ἡμῶν· καὶ διὰ τοῦτο λέγεται λελύσθαι ἐν τῇ σαρκὶ αὐτοῦ· καὶ πρόσχες γε τῷ ἑξῆς· εἰ δύναται πληκτικώτερον λέγεσθαι ὑπὸ τοῦ οὕτω ἑρμηνεύοντος κατά γε τὸν ἀληθῆ νόμον, οὗ σκιὰ καὶ ὑπόδειγμα τὸ γράμμα Μωσέως ἦν, ἐλάτρευόν τινες ἐν τοῖς ἐπουρανίοις. καὶ ἐκεῖνος ὁ νόμος δόγματά ἐστι μᾶλλον ἢ νόμος ἐντολῶν, ἅπερ δόγματα ὁ ἀξιωθεὶς νοῆσαι τὸ καταλελύσθαι τὸ διατειχίζον αὐτὸν ἀπὸ τῶν κρειττόνων μεσότοιχον τοῦ φραγμοῦ, οὐκέτι τῷ νόμῳ τῶν ἐντολῶν ζῇ· τὸν γὰρ νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργεῖ Χριστὸς, ἵνα νοηθέντων τῶν δηλουμένων ἀπὸ τοῦ νόμου τῶν ἐντολῶν δογμάτων καταφρονηθῇ ὡς ἀποκτέννον τὸ γράμμα τοῦ νόμου τῶν ἐντολῶν. καταργηθεὶς τοίνυν ἀπὸ τοῦ Σωτῆρος ὁ νόμος τῶν ἐντολῶν διὰ τῆς τῶν ἐν αὐτοῖς δογμάτων φανερώσεως, συνήγαγεν ἀμφοτέρους, λέγω δὴ τὰς θειοτέρας δυνάμεις, καὶ τοὺς ἐξ ἀνθρώπων πιστεύοντας, εἰς ἕνα καινὸν ἄνθρωπον· ὁ δὲ καινὸς ἄνθρωπος ἐκ τοῦ ὁσήμεραι ἀνακαινοῦσθαι νοεῖται, καὶ κατοικισθήσεις[1] ἐν καινῷ κόσμῳ· ὅτι ἔσται ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή. δόξει δὲ τὸ "εἰς ἕνα καινὸν ἄνθρωπον," ἐναντιοῦσθαι τῇ ἑρμηνείᾳ.

19 Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων, καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομη-

[1] Sic.

θέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ προφητῶν,
21 *ὄντως ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ, ἐν ᾧ πᾶσα*
οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν
22 *Κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς οἰκοδομεῖσθε, εἰς κατοικητήριον*
τοῦ Θεοῦ ἐν Πνεύματι.

Πρὸς τὸ προειρημένον "ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας·" νῦν λέγεται "ἄρα οὐκέτι εἰσὶ ξένοι καὶ πάροικοι," καὶ πρὸς τὸ "ἀπηλ-"λοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ·" νῦν τὸ "ἀλλὰ συμπολῖ-"ται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ·" τὰ δὲ ῥήματα ταῦτα προσακτέον τοῖς εἰσάγουσι τὰς φύσεις. πῶς γὰρ ξένοι οἱ φύσει πολῖται τῶν ἁγίων, καὶ πῶς οἱ φύσει ξένοι οἰκεῖοι τοῦ Θεοῦ; τὰ δὲ ἀπὸ τοῦ "ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν Ἀποστόλων καὶ "προφητῶν" δόξει συνᾴδειν τῇ ἑρμηνείᾳ, τῇ περὶ τοῦ ἐγγὺς μὲν εἶναι τὸν Ἰσραήλ, πόρρῳ δὲ τὰ ἔθνη. δεήσῃ δὲ τούτοις τοῖς ῥητοῖς χρήσασθαι κατὰ τῶν διακοπτόντων τὴν θειότητα καὶ οἰομένων ἑτέρου εἶναι Θεοῦ τοὺς προφήτας, καὶ ἄλλου τοὺς Ἀποστόλους. εἰ γὰρ "οἱ μηκέτι ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων "καὶ οἰκεῖοι τοῦ Θεοῦ ἐποικοδομοῦνται ἐπὶ τῷ θεμελίῳ τῶν Ἀπο-"στόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ, "ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον "ἐν Κυρίῳ," φιλοτιμητέον ἁρμονίους ἡμᾶς γενέσθαι ζῶντας λίθους τῇ πάσῃ οἰκοδομῇ, ἵνα συνοικοδομηθέντες κατοικητήριον γενώμεθα τῷ Θεῷ, χωροῦντες εἰς αὐτοὺς πᾶσαν τὴν θεολογίαν αὐτοῦ, ὅτι δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν ἀμφότεροι ἐν ἑνὶ Πνεύματι.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶ, Ἰδοὺ πάλιν τὸ "ἐν" διά ἐστι· διὰ Υἱοῦ καὶ Πνεύματος, τουτέστι, προσήγαγε τῷ Πατρί. "Ἄρα οὖν οὐκ ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται "τῶν ἁγίων." ὁρᾷς ὅτι οὐχ ἁπλῶς τῶν Ἰουδαίων, ἀλλὰ τῶν ἁγίων καὶ μεγάλων ἐκείνων ἀνδρῶν τῶν περὶ Ἀβραὰμ καὶ Μωϋσῆν καὶ Ἠλίαν εἰς τὴν αὐτὴν πόλιν ἀπεγράφημεν, εἰς ἐκείνην ἐμφανιζόμεθα· "καὶ οἰκεῖοι τοῦ Θεοῦ," ὅπερ ἔσχον ἐξ ἀρχῆς ἐκεῖνοι διὰ τοσούτων πόνων, τοῦτο ἡμῖν διὰ τῆς τοῦ Θεοῦ χάριτος κατωρθώθη.

Ἐποικοδομηθέντες, ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν.

Τουτέστι, θεμέλιος οἱ Ἀπόστολοι καὶ οἱ προφῆται. καὶ πρῶτον τίθησι τοὺς Ἀποστόλους, ἐσχάτους ὄντας τοῖς χρόνοις. Ἤ τοι οὖν τοῦτο δεικνύς φησι· τουτέστι, θεμέλιός εἰσιν ἐκεῖνοι, μία οἰκοδομὴ τὸ πᾶν, καὶ ῥίζα μία. εἶτά φησιν· ὁ τὸ πᾶν συνέχων, ὁ Χριστός. ὁ γὰρ λίθος ὁ ἀκρογωνιαῖος τοὺς τοίχους συνέχει καὶ τοὺς θεμελίους. "ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογεῖται." ὅρα πῶς αὐτὸ συνῆψε· ποτὲ μὲν ἄνωθεν κατάγοντα τὸ πᾶν σῶμα καὶ συγκροτοῦντα, ποτὲ δὲ κάτωθεν διαβαστάζοντα τὴν οἰκοδομὴν καὶ ῥίζαν ὄντα. τὸ "ἔκτισεν ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον," διὰ τούτου ἐδήλωσεν, ὅτι δι' ἑαυτοῦ συνῆψεν ἑκατέρους τοίχους, ὅτι ἐν αὐτῷ ἐκτίσθη· καὶ πρωτότοκός φησι πάσης κτίσεως· τουτέστι, πάντα αὐτὸς διαβαστάζει, "ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη," κἂν τὸν ὄροφον εἴπῃς, κἂν τοὺς τοίχους, κἂν ὁτιοῦν ἕτερον, τὸ πᾶν διαβαστάζει. ἀλλαχοῦ δὲ αὐτὸν θεμέλιον καλεῖ· "θεμέλιον γὰρ ἄλλον οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός." "ἐν ᾧ πᾶσα," φησὶν, "οἰκοδομὴ συναρμολογουμένη." δείκνυσι καὶ τὸ ἀκριβὲς, ὅτι οὐκ ἔνι ἄλλως τεθῆναι μὴ μετὰ πολλῆς τῆς ἀκριβείας βιώσαντα. "αὔξει εἰς ναὸν," φησὶν, "ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς," φησὶ, "συνοικοδομεῖσθε." τί δὴ βούλεται ἡ οἰκοδομή; ὥστε τὸν Θεὸν ἐνοικῆσαι ἐν τῷ ναῷ τούτῳ· καὶ ἕκαστος ὑμῶν ναός ἐστι, καὶ κοινῇ πάντες, καὶ ὡς ἐν σώματι Χριστοῦ οἰκεῖ, καὶ ὡς ἐν ναῷ πνευματικῶς οἰκεῖ.

Θεόδωρος δέ φησιν, ἐπειδὴ εἰς ναὸν τοῦ Θεοῦ τελοῦμεν ἀμφότεροι, τῇ αὐτῇ δυνάμει τοῦ Πνεύματος διὰ τῆς ἀναγεννήσεως τοῦ συντελεῖν εἰς μίαν οἰκοδομὴν δεξάμενοι. τὸ δὲ "ἐν ᾧ πᾶσα ἁφὴ συναρμολογουμένη·" ἵνα εἴπῃ, πᾶς λίθος ὑπὸ ἁφὴν πίστεως· ἀπό τινος ἰδιώματος οὕτως εἰπών· ἐν τάξει δηλονότι ἀνθρώπου τὸν λίθον λέγων.

ΚΕΦ. Δ.

Περὶ τῆς δοθείσης αὐτῷ θείας σοφίας εἰς φωτισμὸν ἐθνῶν, καὶ ἔλεγχον δαιμόνων.

1 Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος Χριστοῦ Ἰησοῦ
2 ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς
3 χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ
ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέ-
γραψα ἐν ὀλίγῳ.

Βούλεται εἰπεῖν, ὅτι πάντως που ἠκούσατε τὴν παρασχεθεῖσάν μοι τῆς εἰς ὑμᾶς χάριτος κοινωνίαν, καὶ ὅτι κατὰ ἀποκάλυψιν ἐδεξάμην τοῦ μυστηρίου τούτου τὴν γνῶσιν, περὶ οὗ δὴ καὶ γεγράφηκα ὑμῖν ὡς ἐνῆν διὰ βραχέων, ἐπὶ τὸ γνῶναι καὶ ὑμᾶς τοῦ μυστηρίου τὴν σύνεσιν.

Σετηριανὸς δέ φησι, ἐνταῦθα βούλεται δεῖξαι, ὅτι οὐκ ἐπέρριψεν, ὡς ἀλλοτρίοις καὶ ὑπὸ ἄλλων δεδιδαγμένοις, ἀλλ' ὅτι ἐθνῶν κῆρυξ αἱρεθεὶς, ἐχρεώστει καὶ τούτοις τὸ δεῖγμα, καὶ ὅτι ὡς ὁ Κύριος ἐδίδαξε τοὺς περὶ Ἰωάννην, οὕτω κἀμὲ κατὰ ἀποκάλυψιν. ἠνίξατο δὲ, ὅτι ἠδύνατο μὲν βαθύτερόν τι εἰπεῖν, συνεμετρήσατο δὲ τὴν διδασκαλίαν πρὸς ὅπερ ἐχώρουν.

Ὠριγένης δέ φησιν, ὡς πρὸς τὴν φράσιν καὶ τὸ δυνατὸν ζητήσαντες ἀποκαταστῆσαι αὐτὴν φαμὲν, ὅτι οὐκ ἀνταποδέδωκε πρὸς τὸ "τούτου χαριν ἐγὼ Παῦλος ὁ δέσμιος," τὸ τί τούτου γὰρ χάριν πεποίηκα, ἢ τί μοι γεγένηται, οὐ πάνυ τι παρέστησεν. εἰ μὴ ἄρα τοῦ μὲν ὡς πρὸς τὴν φράσιν ἀκολούθου ὡς ἰδιώτης τῷ λόγῳ ἀποπέπτωκε, τὸν δὲ ὀφειλόμενον νοῦν οὐκ εὐφραδῶς ἀποδέδωκεν, οὕτως λέξοντα ἂν, "τούτου χάριν ἐγὼ Παῦλος, δέσμιος Χριστοῦ Ἰησοῦ," καὶ δέσμιος ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, ἐγνώρισα τὸ μυστήριον, ὑπὲρ τοῦ καὶ ὑμῖν μεταδοῦναι, ὡς καὶ αὐτὸς ἐν τοῖς πρὸ τούτων δι' ὀλίγων ἔγραψα. ὀφείλει δὲ ἀκηκοέναι τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ, τῆς δοθείσης μοι εἰς ὑμᾶς τοὺς ἀπὸ τῶν ἐθνῶν, ὑπὲρ ὧν δέσμιος γέγονα Ἰησοῦ Χριστοῦ. Σολοικισμὸν δὲ νομίζω γεγονέναι

ἐν τῷ τόπῳ. δέον γὰρ αὐτὸν εἰρηκέναι, τούτου χάριν ἐγὼ Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ ἐγνώρισα τὸ μυστήριον. ὃ δέ φησι, " τούτου χάριν ἐγὼ Παῦλος δέσμιος, κατὰ ἀποκάλυψιν ἐγνωρίσθη " μοι τὸ μυστήριον." εἰ δέ τις δύναται παραστῆσαι πρὸς τῇ διανοίᾳ, καὶ τὴν φράσιν αὐτῷ ἐπιτετευγμένην, ἐκείνου μάλιστα ἀκουστέον· ἐν ὀλίγοις τοῖς πρὸ τούτων ἔστιν ἀληθῶς εὑρεῖν τὸν ἐπιμελῶς ἐντυγχάνοντα ἀποκάλυψιν ἐγνωρισμένην μυστηρίου ἁγίου τῷ Παύλῳ.

ΧΡΥΣΟΣΤΟΜΟΥ. *Ὁ μακάριος Ἰωάννης φησὶ, τὴν πρόρρησιν αἰνίττεται τὴν πρὸς τὸν Ἀνανίαν ῥηθεῖσαν περὶ αὐτοῦ ἐν Δαμασκῷ, ἡνίκα ἔλεγε, " πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ " βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων." οἰκονομίαν χάριτος φησὶ τὴν ἀποκάλυψιν, τουτέστιν, οὐ παρὰ ἀνθρώπου ἔμαθον, καὶ κατηξίωσεν ἐμοὶ ἑνὶ ὄντι ἀποκαλύψαι δι' ὑμᾶς. αὐτὸς γάρ μοι εἶπε, φησὶ, "πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε." οἰκονομία γὰρ ἦν μεγάλη τὸ μηδαμόθεν πειθόμενον ἄνωθεν καλέσαι καὶ εἰπεῖν, " Σαῦλε, Σαῦλε, τί με διώκεις ;" καὶ τὸ πηρῶσαι τῷ φωτὶ ἐκείνῳ τῷ ἀπορρήτῳ. μυστήριον δὲ καὶ τὸ τὰ ἔθνη ἐξαίφνης εἰς μείζονα τῶν Ἰουδαίων εὐγένειαν ἀγαγεῖν, καθὼς προέγραψα, φησὶν, ἐν ὀλίγῳ, διὰ βραχέων, πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι, ὥστε οὐ τὸ πᾶν ἔγραφεν, οὐδὲ ὅσα γράψαι ἐχρῆν· ἀλλ' ἐνταῦθα μὲν ἡ φύσις τοῦ πράγματος τοῦτο ἐποίει, ἀλλαχοῦ δὲ ἡ κακία, ὡς παρ' Ἑβραίοις, ὡς παρὰ Κορινθίοις. "πρὸς " ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου," φησὶν, " ἐν " τῷ μυστηρίῳ τοῦ Χριστοῦ," τουτέστι, πῶς συνῆκα, πῶς ἐνόησα, ἤτοι αὐτὰ ἃ εἶπεν ὁ Θεός. ἢ ὅτι κάθηται ἐκ δεξιῶν. εἶτα καὶ τὸ ἀξίωμα· "οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει·" καὶ ποῖον ἔθνος τοῦτο, ᾧ ἐποίησεν οὕτως ὁ Θεός. " ὃ ἑτέραις," φησὶ, " γενεαῖς οὐκ ἐγνωρίσθη " τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις Ἀπο-" στόλοις αὐτοῦ, καὶ προφήταις ἐν τῷ Πνεύματι." Τί οὖν ; εἰπέ μοι οὐκ ᾔδεσαν οἱ προφῆται ; πῶς οὖν φησιν ὁ Χριστός ; " ὅτι " Μωϋσῆς καὶ οἱ προφῆται ταῦτα περὶ ἐμοῦ ἔγραψαν·" καὶ πάλιν· " εἰ ἐπιστεύετε Μωϋσεῖ, ἐπιστεύετε ἂν ἐμοί·" τοῦτό φησιν, ὅτι πᾶσιν ἀνθρώποις οὐκ ἀπεκαλύφθη· προσέθηκε γὰρ, " ὃ*

"ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν "ἀπεκαλύφθη." ἢ ὅτι οὕτως οὐκ ἐγνωρίσθη διὰ πραγμάτων αὐτῶν καὶ ἔργων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις Ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν Πνεύματι. ἐννόησον γάρ· ὁ Πέτρος, εἰ μὴ παρὰ τοῦ Πνεύματος ἤκουσεν, οὐκ ἂν ἐπορεύθη εἰς τὰ ἔθνη. ἄκουσον γὰρ, τί φησιν· "ἄρα ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον, ὡς "καὶ ἡμῖν;" τουτέστιν, ἐν Πνεύματι ἐξελέξατο ὁ Θεὸς λαβεῖν αὐτοὺς τὴν χάριν. ἔλεγον μὲν οὖν οἱ προφῆται, οὕτω δὲ ἀκριβῶς οὐκ ᾔδεσαν· ὅπου γε οὐδὲ οἱ Ἀπόστολοι μετὰ τὸ ἀκοῦσαι· πολὺ γὰρ ὑπερέβαινεν ἀνθρώπινον λογισμὸν καὶ ἐλπίδα κοινὴν, εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα. τοῦτό ἐστι τὸ μέγα, τὸ ἓν σῶμα εἶναι. ὅτι μὲν γὰρ κληθήσονται, ᾔδεσαν, ὅτι δὲ καὶ τοσοῦτον, ὥστε γενέσθαι σύσσωμα, οὐκέτι. τοῦτο καλεῖ μυστήριον τῆς ἐπαγγελίας. μετεῖχον οἱ Ἰσραηλῖται, συμμετεῖχον καὶ τὰ ἔθνη τῆς ἐπαγγελίας τοῦ Θεοῦ ἐν τῷ Χριστῷ, διὰ τοῦ εὐαγγελίου, τουτέστι, τὸ πεμφθῆναι πρὸς αὐτοὺς καὶ τὸ πιστεῦσαι. οὐ γὰρ ἁπλῶς, ἀλλὰ διὰ τοῦ εὐαγγελίου. καὶ ἄλλο δὲ μεῖζον ἡμῖν ἀποκαλύπτει· ὅτι οὐ μόνον ἄνθρωποι, ἀλλ' οὐδὲ ἄγγελοι, οὐδὲ ἀρχαὶ, οὐδὲ ἄλλη τις κτιστὴ δύναμις ᾔδει τοῦτο· μυστήριον γὰρ ἦν, καὶ οὐκ ἀπεκαλύφθη.

7 Οὗ ἐγενήθην διάκονος, κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ, τῆς δοθείσης μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ.

Εἶπεν, ὅτι δέσμιός εἰμι. ἀλλὰ πάλιν τὸ ὅλον αὐτοῦ φησι, κατὰ τὴν δωρεὰν τῆς χάριτος, κατὰ δύναμιν δωρεᾶς γέγονε τὸ ἀξίωμα τῆς τιμῆς ταύτης, ἀλλ' οὐκ ἤρκει ἡ δωρεὰ, εἰ μὴ καὶ δύναμιν ἐνέθηκεν.

8 Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις
αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον
9 πλοῦτον τοῦ Θεοῦ, καὶ φωτίσαι πάντας τίς ἡ οἰκονομία
τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν
τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ.

Καὶ ἐκ τούτων ἐστὶ μαθεῖν τῆς ταπεινοφροσύνης Παύλου τὴν

ὑπερβολήν. ἐπειδὴ γὰρ ἔμελλε λέγειν τὸ μέγεθος τῆς χάριτος τοῦ Θεοῦ, ταῦτα φησί· καὶ οὐκ εἶπεν ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων Ἀποστόλων, ἀλλὰ "τῶν ἁγίων," ὥστε κακεῖνο τούτου ἔλαττον. εἶτα φησὶν,

10 Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ.

Ἐν γὰρ τῷ Θεῷ, φησὶν, ἐκέκρυπτο "τῷ τὰ πάντα κτίσαντι διὰ "Ἰησοῦ." πόθεν οὖν τοῖς Ἀγγέλοις δῆλον γέγονε; διὰ τῆς ἐκκλησίας. καὶ οὐδὲ ἁπλῶς εἶπεν, ἡ ποικίλη σοφία τοῦ Θεοῦ, ἀλλὰ "πολυποίκιλος·" ὅτε ἡμεῖς ἐμάθομεν, τότε κἀκεῖνοι δι' ἡμῶν. ἄκουσον γὰρ τοῦ Ἀγγέλου λέγοντος πρὸς τὸν Ἰωσὴφ, "καλέσεις τὸ "ὄνομα αὐτοῦ Ἰησοῦν. αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν "ἁμαρτιῶν αὐτῶν." αὐτὸς γὰρ ἀπεστάλη εἰς τὰ ἔθνη, ἐκεῖνος δὲ εἰς τὴν περιτομήν· ὥστε τὸ θαυμασιώτερον καὶ ἔκπληκτον ἐμοὶ, φησὶν, ἐδόθη τῷ ἐλαχιστοτέρῳ, οὐχ ὡς μείζονι, οὐδ' ὡς θαυμασιωτέρῳ. καὶ τοῦτο δὲ χάριτος ἦν, τὸ τῷ μικρῷ τὰ μείζονα ἐγχειρισθῆναι, τὸ γενέσθαι τοῦτον εὐαγγελιστήν· ὁ γὰρ τῶν μειζόνων γενόμενος εὐαγγελιστὴς, ταύτῃ μέγας ἐστὶν, "εὐαγγελί- "σασθαι ἐν τοῖς ἔθνεσι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ·" εἰ ὁ πλοῦτος αὐτοῦ ἐξιχνίαστος καὶ μετὰ τὸ φανῆναι, πολλῷ μᾶλλον ἡ οὐσία· "καὶ φωτίσαι πάντας," φησί· "τίς ἡ οἰκονομία "τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, "τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ."

Ὅτι μὲν οὖν ἐκλήθη τὰ ἔθνη, ᾔδεισαν καὶ Ἄγγελοι, ὅτι δὲ ἐπὶ τοῖς αὐτοῖς, καὶ ὥστε εἰς τὸν θρόνον καθίσαι τὸν τοῦ Θεοῦ, τοῦτο τίς ἂν προσεδόκησεν ἢ ἐπίστευσεν; καλῶς δὲ εἶπε, διὰ Ἰησοῦ Χριστοῦ. ὁ γὰρ πάντα δι' αὐτοῦ κτίσας, καὶ τοῦτο δι' αὐτοῦ ἀποκαλύπτει. εἰπὼν δὲ ἀρχὰς, ἐξουσίας, καὶ τοὺς ἄνω, καὶ τοὺς κάτω εἶπε, κατὰ πρόθεσιν τῶν αἰώνων. νῦν μὲν, φησὶ, γέγονεν· οὐκοῦν δὲ ὥριστο, ἀλλ' ἄνωθεν προτετύπωτο, κατὰ πρόθεσιν τῶν αἰώνων, ὧν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ, τῷ Κυρίῳ ἡμῶν, προειδὼς τὰ μέλλοντα, τοὺς μέλλοντας αἰῶνας. ᾔδει γὰρ τὰ ἐσόμενα, καὶ οὕτως ὥρισε.

Σετηριανός φησιν εἰς τὸ "ἵνα γνωρισθῇν ὗν ταῖς ἀρχαῖς—" εἰκότως. εἰ γὰρ ἐν τῷ Θεῷ ἐκέκρυπτο, ἠγνόουν πᾶσαι αἱ ἐξουσίαι. τὸν γὰρ "νῦν" οὐ τὸν τῆς χάριτος καιρὸν λέγει, ἀλλ' ἀφ' οὗ προφῆται ἤρξαν τοἀποκαλύπτειν τὰ ἐσόμενα. "ἐν ᾧ ἔχομεν," φησὶ, "τὴν παρρησίαν, καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πί-"στεως αὐτοῦ."

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησὶν, οὐχ ὡς αἰχμάλωτοι προσήχθημεν, φησὶν, οὐδὲ ὡς ἡμαρτηκότες καὶ συγγνώμης ἀξιούμενοι, ἀλλὰ "παρρησίαν ἔχομεν ἐν πεποιθήσει" τουτέστι, μετὰ τοῦ θαρρεῖν διὰ τῆς πίστεως αὐτοῦ.

Ὠριγένης δέ φησιν, "ἐὰν ἡ συνείδησις ἡμῶν μὴ καταγινώσκῃ, "παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν·" μέγα δέ ἐστιν οὐχ ἁπλῶς ἔχειν παρρησίαν, ἀλλ' "ἐν πεποιθήσει" παρρησίαν καὶ προσαγωγὴν, διὰ τὸ βέβαιον πάλιν ἐν παρρησίᾳ. ἀρχὴ δὲ τῆς ἐν πεποιθήσει παρρησίας ἐστὶ καὶ προσαγωγῆς, ἡ πίστις ἡ εἰς τὸν Χριστόν. πολλάκις δὲ εἴπομεν, ὅτι ὁ πάντα λόγῳ ποιῶν, πεπίστευκεν εἰς τὸν Χριστὸν Λόγον. καὶ ὁ τὴν σοφίαν καταλαμβάνων, πεπίστευκεν εἰς τὸν Χριστὸν τὴν σοφίαν· καὶ ὁ τὴν ἀλήθειαν τρανῶν, πεπίστευκεν εἰς Χριστὸν τὴν ἀλήθειαν· καὶ ὁ κατὰ δικαιοσύνην βιοὺς, πεπίστευκεν εἰς Χριστὸν τὴν δικαιοσύνην.

13 Διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ἐμοῦ, ἥτις ἐστὶν δόξα ὑμῶν.

Ἀγωνιζόμενος ὑπὲρ τῶν Χριστῷ μαθητευομένων, πολλὰ ἔχει τὰ θλίβοντα, "διὸ αἰτοῦμαι," φησὶ, "μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί "μου ὑπὲρ ὑμῶν" αἰσθανομένου γὰρ ἑαυτοῦ ἐστιν οἷον κινδυνεύοντος ἐκκακεῖν τῷ ταῦτα λέγειν. μετὰ ταῦτα ζητοῦμεν, τίνι ἐφαρμόσομεν τὸ, "ἥτις ἐστὶ δόξα ὑμῶν." ὁ μὲν οὖν τις ἐρεῖ, ὅτι πρὸς τὰς θλίψεις ἀποδέδωκε, τὸ "ἥτις ἐστὶ δόξα ὑμῶν," ὡσεὶ ἔλεγεν, αἵτινές εἰσι δόξα ὑμῶν. διὰ δὲ τὸ ἑνικὸν τῆς δόξης, ὡς ἰδιώτης τῷ λόγῳ ἀποδέδωκεν ἀντὶ τοῦ αἵτινες τὸ "ἥτις." Ἄλλος δὲ τὸ "ἥτις "ἐστὶ δόξα ὑμῶν," ἤτοι πρὸς τὴν παρρησίαν ἢ τὴν προσαγωγὴν ἢ τὴν πίστιν ἀποδώσει· καὶ γὰρ ἡ παρρησία δόξα τοῦ ἔχοντός ἐστι· καὶ ἡ προσαγωγὴ, δόξα τοῦ προσαγομένου Θεῷ· καὶ ἡ πίστις, δόξα τοῦ πιστεύοντος ἂν εἶναι λέγοιτο. δύναται δὲ τὸ "διὸ

"αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν," τοιοῦτο εἶναι. διὸ αἰτοῦμαι ὑπὲρ ὑμῶν, τὸ μὴ ἐκκακεῖν ὑμᾶς ἐν ταῖς θλίψεσί μου, αἵτινές εἰσιν ὑμετέρα δόξα. καὶ δόξει γε τὰ ἑξῆς ταύτῃ μᾶλλον τῇ ἐκδοχῇ συνᾄδειν.

14 Τούτου γὰρ χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα, ἵνα δῷ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι.

Χρεία γὰρ δυνάμει κραταιωθῆναι τὸν μὴ ἐκκακήσοντα ἐπὶ θλίψεσιν. ἐρεῖ δέ τις πρὸς τὸ δεύτερον, λόγον μὲν εἶχε θλιβομένων τῶν Ἐφεσίων αἰτεῖν τὸν Παῦλον περὶ αὐτοῦ μὴ ἐκκακεῖν· γελοῖον δὲ εἶναι δόξει τὸ Παύλου θλιβομένου εὐχῆς δεῖσθαι τοὺς Ἐφεσίους, ἵνα μὴ ἐκκακῶσιν ἐν ταῖς ἐκείνου θλίψεσιν. ἀλλὰ πρὸς τοῦτο παραθετέον, "τὸν πειρασμὸν ὑμῶν τὸν ἐν τῇ σαρκί μου οὐκ "ἐξουθενήσατε, οὔτε ἐξεπτύσατε." ἐμφαίνεται γὰρ διὰ τούτων, ὅτι ἐν τῇ σαρκὶ Παύλου πειρασμὸς ἑτέροις ἐγίνετο. ἄλλως δὲ καὶ ἐπιστήσωμεν, εἰ μὴ τὸ μάλιστα τὸ πολλοὺς ταράττον ἐν τοῖς περὶ προνοίας λόγοις ἐστὶν, ὅτε τοῖς μὲν ἁγιωτάτοις καὶ δικαιοτάτοις ὁρῶσι θλίψεις μυρίας καὶ περιστάσεις συμβαινούσας, τοῖς δὲ ἀνομωτάτοις τὰ νομιζόμενα καλὰ γινόμενα. ὅτι δὲ ἐν τῇ Ἐφέσῳ καὶ περὶ τὴν Ἀσίαν πολλὰ πέπονθεν ὁ Παῦλος, γέγραπται μὲν καὶ ἐν ταῖς τῶν Ἀποστόλων Πράξεσιν. ἔξεστι δὲ καὶ ἀπ' αὐτοῦ μαθεῖν λέγοντος "εἰ κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν "Ἐφέσῳ, τί μοι τὸ ὄφελος, εἰ νεκροὶ οὐκ ἐγείρονται;" καὶ ἐν τῇ δευτέρᾳ τῇ πρὸς Κορινθίους· "οὐ θέλω γὰρ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, "περὶ τῆς θλίψεως ὑμῶν τῆς γενομένης ἐν τῇ Ἀσίᾳ, ὅτι καθ' "ὑπερβολὴν κατὰ δύναμιν ἐβαρήθημεν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς "καὶ τοῦ ζῆν· ἀλλ' αὐτοὶ ἐν ἑαυτοῖς τὸ ἀπόκριμα τοῦ θανάτου "ἐσχήκαμεν, ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ "Θεῷ τῷ ἐγείροντι τοὺς νεκροὺς, ὃς ἐκ τηλικούτων θανάτων ἐρ-"ρύσατο ἡμᾶς καὶ ῥύεται." ὅρα γὰρ ὅσα ἦν τὰ τῶν θλίψεων αὐτοῦ, ὡς λέγειν, "ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς καὶ ῥύεται."

(ΧΡΥΣΟΣΤΌΜΟΥ.) *Ὁ μακάριος δὲ Ἰωάννης φησὶ, πῶς ἐστι δόξα αὐτῶν; ὅτι οὕτως αὐτοὺς ἠγάπησεν ὁ Θεὸς, ὥστε καὶ τὸν Υἱὸν ὑπὲρ αὐτῶν δοῦναι καὶ τοὺς δούλους κακοῦν. ἵνα γὰρ οὗτοι τύχωσι*

τοσούτων ἀγαθῶν, Παῦλος ἐδεσμεῖτο. ἄρα τοῦτο τῆς πολλῆς τοῦ Θεοῦ περὶ αὐτοὺς ἀγάπης. πῶς δὲ ἐξεκάκουν ἄλλου θλιβομένου; τουτέστιν, ἐθορυβοῦντο, ἐταράττοντο. ταῦτα καὶ Θεσσαλονικεῦσι γράφει, "ὥστε μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις." οὐ μόνον γὰρ οὐκ ἀλγεῖν, ἀλλὰ καὶ χαίρειν χρή.

ΚΕΦ. Ε.

Εὐχὴ ὑπὲρ τῆς Ἐκκλησίας εἰς δύναμιν καὶ ἀγάπην Θεοῦ.

15 Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται.

Χρυσοστόμου. Τὴν διάθεσιν τῆς εὐχῆς τῆς ὑπὲρ αὐτῶν δείκνυσιν. οὐκ εἶπεν ἁπλῶς, εὔχομαι, ἀλλὰ τὴν κατανενυγμένην δέησιν διὰ τοῦ "κάμπτω τὰ γόνατα" ἐδήλωσεν. "ἐξ οὗ πᾶσα "πατρία," οὐκέτι κατὰ ἀριθμὸν Ἀγγέλων φησίν· ἀλλ' ὅταν καὶ τὰς ἄνω, καὶ τὰς κάτω ποιῇ πάντα φυλὰς, οὐχ οἷαι αἱ Ἰουδαϊκαί.

Σευηριανός φησιν, ἐν οὐρανοῖς, φησιν, ἡ τῶν δικαίων διαγωγή· ἐπὶ γῆς δὲ ἡ πάντων ἀνθρώπων. οὐ γάρ εἰσι τεταγμένοι ἐπὶ τῆς γῆς οἱ δίκαιοι οἱ μετὰ ζώντων, ἀλλ' ἰδιάζει ὥσπερ γενεά τις ἐξαίρετος ἡ τῶν ἀνακειμένων τῷ Θεῷ. καὶ λέγεται ἐπουράνιος μὲν ἡ γενεὰ τούτων ὡς καθαρά· ἡ δὲ τῶν λοιπῶν γηΐνη ὥσπερ ἐρρυπωμένη. ἐπισημαντέον δὲ ὅτι ἀφ' ὧν ὁ Ἀπόστολος δείκνυσι τὸ ὄνομα τοῦ Πατρὸς, οὐκ ἀφ' ἡμῶν ἀνῆλθεν ἄνω, ἀλλ' ἄνωθεν ἦλθεν εἰς ἡμᾶς, δηλονότι ὡς φύσει ὂν, καὶ οὐκ ὀνόματι μόνον[1]. δεῖ γὰρ πάντως μετὰ τὸ φυσικὸν εἶναι τὸ καταχρηστικόν· καὶ τῶν φυσικῶν πρῶτον τὸ ἄνωθεν, εἶτα τὸ κάτωθεν. ἐπισημαντέον δὲ, ὅτι πατριὰν εἶπεν, ὡς ἐπὶ συγγενείας, οὐ φρατρίαν. πανταχοῦ γὰρ ἡ θεία γραφὴ πατριὰς τὰς συγγενείας λέγει.

Θεόδωρος δέ φησι· τινὲς πατριὰν ἀνέγνωσαν, οὐ συνιέντες τὸ κείμενον. ἔστι δὲ φρατρία. πατριὰ μὲν γὰρ ἡ συγγένεια λέγεται,

[1] ὁ Χρυσόστομος πατριαὶ, οἱονεὶ φυλαί. Ὠριγένης ὁμοίως. Σευηριανὸς πατριὰν, ὡς ἐπὶ συγγενείας. Θεόδωρος φρατρίαι, τὰ συστήματα.

φρατρία δὲ τὸ σύστημα. ἐν δὲ τοῖς οὐρανοῖς συγγένεια οὐδεμία, συστήματα δὲ καὶ πολλά. τὸ τοίνυν "τούτου χάριν" ἄνωθεν μὲν ἀποδεδωκὼς πρὸς τὰ προκείμενα διήγησιν ἔχοντα τοῦ μεγέθους τῆς περὶ ἡμᾶς χάριτος τοῦ Θεοῦ· ἐνταῦθα δὲ αὐτῷ μετὰ τὰ παρεντεθέντα ἀναλαβὼν τοῦτο λέγει, ὅτι ὑπὲρ τούτων ἁπάντων, ὧν ἡμῖν παρεῖχε, καὶ ὡς προειπὼν οὕτως ὄντων μεγάλων καὶ θαυμαστῶν, ἑκάστοτε προσπίπτω τῷ Πατρὶ τοῦ Χριστοῦ, ὃν ἅπαν σύστημα, εἴτε ἐν οὐρανοῖς, εἴτε ἐπὶ γῆς, οἰκεῖον καλεῖται καὶ ἡγεῖται δεσπότην.

ʼΩΡΙΓΈΝΗΣ *φησὶ, τὸ κάμπτειν τὰ γόνατα σύμβολόν ἐστιν ἄλλης γονυκλισίας, τῆς γινομένης ἐν τῷ ὑποτάσσεσθαι τῷ Θεῷ, καὶ ὑποπεπτωκέναι αὐτῷ. τούτῳ γὰρ τῷ λόγῳ καὶ ὁ Ἀπόστολός φησιν· "ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμπτῃ ἐπουρανίων "καὶ ἐπιγείων καὶ καταχθονίων." καὶ λέγομεν μὴ πάντως τὰ ἐπουράνια ἔχειν σώματα γεγονατωμένα· ἔτι δὲ καὶ τὰ καταχθόνια ὁμοίως. πρὸς τούτοις οὐδὲ τὰς ἀπηλλαγμένας τούτου τοῦ σώματος ψυχάς. πατριὰς δὲ καὶ αὐτὸς ἐξέδωκεν, οὐ φρατρίας κατὰ Θεόδωρον* [m].

16 Ἵνα δώῃ ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ,
δυνάμει κραταιωθῆναι, διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν
17 ἔσω ἄνθρωπον, κατοικῆσαι Χριστὸν διὰ τῆς πίστεως ἐν
ταῖς καρδίαις ὑμῶν.

Ἔοικεν ἡ θειότης αὐτοῦ ἰδίως κατὰ τὴν γραφὴν δόξα αὐτοῦ ὀνομάζεσθαι. πλουτεῖ δὲ θειότητι πολλῇ καὶ δυσκαταλήπτῳ οὔσῃ τῇ γεννητῇ φύσει ὁ Θεός· ἀπὸ τοῦ πλούτου δὴ τούτου, ἀπὸ τῆς θειότητος καὶ τῆς δόξης αὐτοῦ μεταδιδοὺς οἷς κρίνει μεταδιδόναι δεῖν δυνάμεως καὶ κραταιότητος, δυνάμει κραταιοῖ διὰ τοῦ Πνεύματος αὐτοῦ· κραταιοῖ δὲ κατοικίζων εἰς τὸν χωροῦντα ἔσω ἄνθρωπον τὸν Χριστόν· καὶ τὸ παραδοξότατον, ὅλος ὢν ὁ Χριστὸς καθ' ἑαυτὸν ζῶν, κατοικεῖ καὶ ἐν τοῖς μετέχουσιν αὐτοῦ, κατοικεῖ δὲ διὰ τῆς πίστεως εἰς τὸν ἔσω ἄνθρωπον, τουτέστι τῷ ἡγεμονικῷ. ἐπάγει γὰρ, "ἐν ταῖς καρδίαις ὑμῶν." πῶς;

18 Ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξ-
ισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ

m Ultima verba Scholiastæ sunt, non Origenis.

19 *πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ.*

Ὅπερ ἀρχόμενος ηὔξατο, τοῦτο καὶ νῦν. τί δὲ ἔλεγεν ἐν ἀρχῇ; "ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς "δόξης δῴη ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως ἐν ἐπιγνώσει "αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς τὸ "εἰδέναι ὑμᾶς τί ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ· καὶ τίς ὁ "πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις· καὶ τί "τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς "πιστεύοντας·" καὶ νῦν τὸ αὐτό φησι, τουτέστι τὸ μυστήριον τὸ ὑπὲρ ὑμῶν οἰκονομηθὲν μετὰ ἀκριβείας εἰδέναι, "καὶ τὸ πλάτος καὶ "τὸ μῆκος καὶ τὸ βάθος καὶ τὸ ὕψος," τουτέστι τὸ μέγεθος τῆς ἀγάπης τοῦ Θεοῦ, πῶς πανταχοῦ ἐκτέταται· καὶ σωματικοῖς αὐτὴν ὑπέγραψε σχήμασι, δεικνὺς τὸν ἄνθρωπον, περιέλαβε τὰ ἄνω, τὰ κάτω, τὰ ἐκ πλαγίων. εἶπον μὲν γάρ, φησὶν, οὐκ ἔστι δὲ τῶν ἐμῶν λόγων ταῦτα διδάξαι, ἀλλὰ τοῦ Πνεύματος τοῦ Ἁγίου. "δυνάμει κραταιωθῆναι," φησὶ, πρὸς τοὺς πειρασμοὺς καὶ τὸ μὴ παραφέρεσθαι, ὥστε οὐκ ἔνι ἄλλως κραταιωθῆναι, ἀλλὰ διὰ Πνεύματος Ἁγίου, καὶ πειρασμῶν ἕνεκεν καὶ λογισμῶν. πῶς δὲ ὁ Χριστὸς κατοικεῖ ἐν ταῖς καρδίαις, ἄκουε αὐτοῦ λέγοντος τοῦ Χριστοῦ, "ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ, καὶ μονὴν παρ' αὐτῷ "ποιήσομεν," ἐν ταῖς καρδίαις ταῖς πισταῖς, ταῖς ἐρριζωμέναις ἐν τῇ ἀγάπῃ αὐτοῦ, ταῖς μὴ παραφερομέναις.

Ὠριγένης φησὶ, δοκεῖ μοι σαφῶς τὰ ἑξῆς ἐν σολοικίῳ εἰρῆσθαι, ὡς πρὸς τὴν φράσιν. πρὸς γὰρ τὸ "δῴη ὑμῖν," ἀκόλουθον ἦν εἰπεῖν ἐρριζωμένοις καὶ τεθεμελιωμένοις, ὥστε εἶναι τὸ ἑξῆς, ἵνα δῷ ὑμῖν ἐν ἀγάπῃ ἐρριζωμένοις καὶ τεθεμελιωμένοις κατὰ τὸ πλοῦτος τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, ὥστε εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως· εἰς τὸν ἔσω ἄνθρωπον λέγω, κατὰ τὰς καρδίας ὑμῶν, τουτέστι τὰ ἡγεμονικά. ὁ δὲ θέλων ἀποκαταστῆσαι τὰ κατὰ τὸν τόπον χωρὶς σολοικίας. σκέψαι, εἰ μὴ βιάσεται οὕτω τὴν φράσιν ἀποκαταστάς· "τούτου χάριν κάμπτω τὰ γόνατά μου "πρὸς τὸν Πατέρα, ἐξ οὗ πᾶσα πατρία ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς

" ὀνομάζεται, ἵνα δῷ ὑμῖν κατὰ τὸ πλοῦτος τῆς δόξης αὐτοῦ, " δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω " ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρ-" δίαις ὑμῶν, ἵνα ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ἐξισχύσητε " καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος" καὶ τὰ ἑξῆς. ὥστε κατὰ ταύτην τὴν ἐκδοχὴν μεταθετέον τὸ ἵνα, ἀπὸ τοῦ ἵνα ἐξισχύσητε, ἐπὶ τὸ ἵνα ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι ἐξισχύσητε καταλαβέσθαι· ἐν ἀγάπῃ δὲ ἐρριζωμένοις καὶ τεθεμελιωμένοις τῇ πρὸς Θεόν· δηλονότι ἐξ ὅλης ψυχῆς καὶ ἐξ ὅλης καρδίας, καὶ ἐξ ὅλης ἰσχύος, καὶ ἐξ ὅλης διανοίας, καὶ τῆς πρὸς τὸν πλησίον ἀγάπης κατοικίζεται Χριστός. καὶ ὡς φυτὰ μὲν, ἐρρίζωνται ἐν ἀγάπῃ οἱ ἐρριζωμένοι ἐν αὐτῇ, ὡς δὲ οἰκοδομὴ, τεθεμελίωνται ἐν ἀγάπῃ. ἔφη δὲ ὁ αὐτὸς Παῦλος, " Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε." ἔργον δὲ ἰδεῖν, ἐπὶ τίνος νῦν εἴρηται τὸ πλάτος, καὶ ἐπὶ τίνος τὸ μῆκος, καὶ ἐπὶ τίνος τὸ βάθος, καὶ ἐπὶ τίνος τὸ ὕψος. ἔχει δὲ αὐτὰ πάντα ὁ σταυρὸς τοῦ Χριστοῦ, δι' οὗ ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν. καὶ κατέβη εἰς τὰ κατώτατα τῆς γῆς. εἶχε γὰρ καὶ ὕψος καὶ βάθος, καὶ εἰς πᾶσαν τὴν γῆν αὐτὸς διέδραμεν, ἐπὶ τὸ πλάτος καὶ μῆκος αὐτῆς φθάσας. καὶ ὁ Χριστῷ γε συνεσταυρωμένος καὶ συνεκτεινόμενος αὐτῷ, καταλαμβάνει τὸ πλάτος, καὶ μῆκος καὶ βάθος καὶ ὕψος. ἔργον δὲ τοῦ ἁγίου καὶ τὸ γνῶναι τὴν ὑπερβάλλουσαν γνώσεως ἀγάπην τοῦ Χριστοῦ. οὐδεὶς δὲ ὑπερβάλλουσαν ἀγάπην ἔχων γνώσεως δύναταί τι ἀγαπῆσαι τῶν περισπώντων καὶ περιελκόντων ἀπὸ τῆς καταλήψεως τῆς περὶ τῆς ὑπερβαλλόντως ἀγαπωμένης γνώσεως.

Σετηριανός φησιν, ἐσχημάτισεν ὥσπερ τυπικώτερον εἰς σταυροῦ τύπον. βάθος γὰρ καὶ ὕψος καὶ πλάτος καὶ μῆκος, τί ἕτερον ἂν εἴη, ἢ τοῦ σταυροῦ φύσις; διπλοῦν δέ που ἔοικε τὸν σταυρὸν λέγειν, οὐχ ἁπλῶς· ἀλλ' ἐπειδὴ ἡ μὲν τοῦ Κυρίου οἰκονομία θεότης ἐστὶν ἄνωθεν, καὶ ἀνθρωπότης κάτωθεν, τὸ δὲ κήρυγμα ἀποστολικὸν διέτεινεν ἀπὸ ἄρκτου εἰς μεσημβρίαν, καὶ ἀπὸ ἀνατολῆς εἰς δύσιν, συναγαγὼν καὶ Κυρίου τὴν οἰκονομίαν καὶ τῶν Ἀποστόλων ὑπηρεσίαν· τὸ διπλοῦν τῆς οἰκονομίας, ὡς ἐν διπλῷ τῷ σταυρῷ ἐπιδεικνύμενος, οὕτως εἶπεν. οὐ γὰρ ἐνῆν αὐτὸν ἁπλῶς

τοὺς τόπους εἰπεῖν, τὸ ἄνω καὶ τὸ κάτω, καὶ τὴν γραμμὴν, τὸ πλάτος καὶ τὸ μῆκος "ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ "Θεοῦ," τουτέστι, τὴν ἐκκλησίαν. πλήρωμα γὰρ τὴν ἐκκλησίαν λέγει.

ΘΕΟΔΩΡΟΣ φησι, τὸ "γνῶναι" ἀντὶ τοῦ ἀπολαῦσαι λέγει, ἐπὶ πραγμάτων εἰπὼν τὴν γνῶσιν, ὡς ἐν τῷ ψαλμῷ τὸ "ἐγνώρισάς "μοι ὁδοὺς ζωῆς," ἀντὶ τοῦ ἐν ἀπολαύσει με τῆς ζωῆς κατέστησας· ὁμοίως δὲ καὶ τὸ "ἐξισχύσητε καταλαβέσθαι," τὸ ἐν ἀπολαύσει καταστῆναι τοῦ πράγματος λέγει· καὶ τοῦτο δείκνυσι διὰ τοῦ "σὺν τοῖς ἁγίοις." τὸ δὲ "πλάτος καὶ μῆκος, καὶ βάθος καὶ "ὕψος," ἵνα εἴπῃ τῆς χάριτος τὸ μέγεθος ἀπὸ τῶν παρ' ἡμῖν ὀνομάτων. εὔχομαι τοίνυν ὥστε ὑμᾶς συναπολαῦσαι τοῖς ἁγίοις, τῆς οὕτω μεγάλης καὶ θαυμαστῆς δωρεᾶς τοῦ Θεοῦ, ἣν ἡ πολλὴ τοῦ Χριστοῦ περὶ ἡμᾶς ἀγάπη παρέσχεν ἡμῖν.

20 *Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπὲρ ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν.*

(ΧΡΥΣΟΣΤΟΜΟΥ.) Ὁ μακάριος Ἰωάννης φησὶ, κατὰ τὴν δύναμιν τὴν ἐνεργοῦσαν ἐν ἡμῖν, ὅτι ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν ἐποίησε. δῆλον ἐξ ὧν ἔγραφεν αὐτός. ἐγὼ μὲν γὰρ, φησὶ, εὔχομαι, αὐτὸς δὲ καὶ χωρὶς τῆς ἐμῆς εὐχῆς, μείζονα ἐργάσεται τῶν ἡμετέρων αἰτήσεων· οὐχ ἁπλῶς μείζονα, ἀλλ' ἐκ περισσοῦ, οὐχ ἁπλῶς ἐκ περισσοῦ, ἀλλ' ὑπὲρ ἐκ περισσοῦ. καὶ δῆλον ἐκ τῆς δυνάμεως τῆς ἐνεργουμένης ἐν ἡμῖν· οὔτε γὰρ ᾐτήσαμεν ποτὲ αὐτὰ, οὔτε προσεδοκήσαμεν, οὔτε ἐνενοήσαμεν.

21 *Αὐτῷ ἡ δόξα, ἐν τῇ Ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ, εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων, ἀμήν.*

Καλῶς εἰς εὐχὴν καὶ δοξολογίαν τὸν λόγον κατέκλεισεν. ἔδει γὰρ τὸν τὰ τοσαῦτα ἡμῖν παρασχόντα δοξασθῆναι καὶ εὐλογηθῆναι, ὥστε καὶ τοῦτο μέρος ἡμῖν τοῦ μεγέθους παρὰ τοῦ Θεοῦ τὸ δοξάζειν διὰ Ἰησοῦ Χριστοῦ. ἡ δόξα αὐτοῦ ἐστιν ἐν τῇ Ἐκκλησίᾳ· αὕτη γὰρ οἶδε μόνη μένειν εἰς τὸ διηνεκές.

ΚΕΦ. ϛ.

Παραίνεσις περὶ ἀγάπης ἑνωτικῆς εἰ καὶ τὰ χαρίσματα διῄρηνται, πρὸς ὠφέλειαν.

1 Παρακαλῶ οὖν ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε.

Ὅρα τὸν Παῦλον τὰ πλείονα ἐν ἱκετηρίας τάξει φθεγγόμενον, καὶ οὐδὲν ἐπιτακτικὸν γράφοντα, οὐδὲν αὐθεντικὸν, ἀλλὰ συνεσταλμένον καὶ καθιεμένον. καίτοι γε οἱ παρακαλοῦντες ὑπὲρ τῶν αὐτῶν αὐτοῖς διαφερόντων παρακαλοῦσιν· ἀλλ' ἐμοὶ καὶ τοῦτο, φησὶ, διαφέρει· καθὼς καὶ ἑτέρωθι γράφων ἔλεγε· "νῦν ζῶμεν, "ἐὰν ὑμεῖς ἑστήκετε ἐν Κυρίῳ·" σφόδρα γὰρ ἀεὶ τῆς σωτηρίας τῶν μαθητευομένων ἐφίετο. "ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ." οὐδὲν οὕτω λαμπρὸν, ὡς δέσμιος διὰ Χριστόν. εἴ τις φιλεῖ τὸν Χριστὸν, ἔγνω τὸ λεγόμενον· οὐδὲν τῆς ἁλύσεως ἐκείνης μακαριώτερον· εἰ αὐτὸς δι' ἐμὲ γενόμενος δοῦλος, καὶ τὴν δόξαν κενώσας, οὐχ οὕτως ἡγεῖτο ἐν δόξῃ εἶναι, ὡς ὅτε ἐσταυροῦτο ὑπὲρ ἐμοῦ, τί ἐμὲ παθεῖν οὐ δεῖ; ἄκουε γὰρ αὐτοῦ λέγοντος, "δόξασόν με Πᾶτερ." τοῦτο δόξαν καλεῖς; ναὶ, φησὶν, ὑπὲρ γὰρ τῶν φιλουμένων ἐγὼ πάσχω. οὐ μάτην οὖν ὡς ἔοικε ταύτην ὁ Παῦλος τὴν ἅλυσιν προβάλλεται, ἀλλ' ὡς δι' αὐτῆς δυσωπῶν, "ἀξίως," φησὶ, "περιπατῆσαι τῆς "κλήσεως, ἧς ἐκλήθητε." πῶς; "μετὰ πάσης ταπεινοφροσύνης, "μετὰ πραότητος καὶ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν "ἀγάπῃ."

Οὐχ ἁπλῶς τὸ δέσμιον εἶναι καλὸν, ἀλλὰ τὸ διὰ Χριστόν. διὰ τοῦτό φησι, παρακαλῶ ὑμᾶς ἀξίως περιπατῆσαι τῆς κλήσεως, ἧς ἐκλήθητε. ποίας δὴ ταύτης; σῶμα ἐκλήθητε, φησὶ, κεφαλὴν ἔχετε τὸν Χριστὸν, συνήγειρε καὶ συνεκάθισε ὑμᾶς ἐχθροὺς ὄντας καὶ μυρία ὅσα ἐργασαμένους κακά. μεγάλη ἡ κλῆσις καὶ ἐπὶ μεγάλοις, οὐχ ὅτι ἀπ' ἐκείνων μόνον, ἀλλὰ καὶ ἐπὶ τοιαῦτα καὶ τοιούτῳ τρόπῳ. πῶς δέ ἐστιν ἀξίως περιπατῆσαι; μετὰ πάσης ταπεινοφροσύνης, ὁ τοιοῦτος ἀξίως περιπατεῖ· τοῦτο ἀρετῆς ἁπάσης ὑπόθεσις· μετὰ πάσης, φησὶ, ταπεινοφροσύνης, μὴ τῆς ἐν ῥήμασι, μηδὲ ἐν πράγμασι μόνης, ἀλλὰ καὶ ἐν σχήματι, καὶ ἐν

φθέγμασι καὶ ἐν τοῖς κατορθώμασιν. ἔσο ταπεινὸς ὁμοίως δὲ καὶ πρᾶος· ἔστι γὰρ ταπεινὸν μὲν εἶναι, ὀξὺν δὲ καὶ ὀργίλον, ἀλλ' οὐδὲν ὄφελος· πολλάκις γὰρ ὑπὸ τῆς ὀργῆς κατεχόμενος, πάντα ἀπώλεσεν.

2 Ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ.

Πῶς ἀνέχεσθαι δυνατὸν, ἂν ὀργίλος ᾖ, ἂν κακηγόρος; εἶπε τὸν τρόπον "ἐν ἀγάπῃ·" εἰ σὺ τοῦ πλησίον, φησὶν, οὐκ ἀνέχῃ, πῶς σου ἀνέξεται ὁ Θεός;

3 Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος, ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης.

Τί ἐστιν ἑνότης Πνεύματος; καθάπερ ἐν σώματι Πνεῦμά ἐστι τὸ πάντα συνέχον, καίτοιγε ἐν διαφόροις μέλεσιν, οὕτω καὶ ἐνταῦθα· διὰ γὰρ τοῦτο, Πνεῦμα ἐδόθη, ἵνα τοὺς γένει καὶ τρόποις διαφόροις διεστηκότας ἑνώσῃ.

Ὠριγένης φησὶ, τηρεῖ τὴν ἑνότητα τοῦ Πνεύματος ὁ κατηρτισμένος τῷ αὐτῷ νοῒ, καὶ τῇ αὐτῇ γνώμῃ τῆς ἀληθείας καὶ τοῦ λόγου καὶ τῆς σοφίας πρὸς τὸν πλησίον. Ὅταν δὲ μὴ τὸ αὐτὸ λέγωμεν πάντες καὶ διὰ τοῦτο [μὴ] ᾖ ἐν ἡμῖν σχίσματα, οὐ σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος, διακόπτομεν αὐτὴν εἰς πλείονα· εἰ μέντοι γε ὁ Θεὸς δίδωσι διαιρέσεις χαρισμάτων, ἀλλὰ τηρεῖ τὸ αὐτὸ Πνεῦμα. καὶ εἰ χαρίζεται διαιρέσεις διακονιῶν, ἀλλὰ φυλάττει τὸν αὐτὸν Κύριον· καὶ εἰ δωρεῖται διαιρέσεις ἐνεργημάτων, ἀλλ' αὐτὸς μένει Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. Ἐφεσίοις μὲν οὖν τοῖς ἤδη ἐσχηκόσι τὴν ἑνότητα τοῦ Πνεύματος, καὶ δεομένοις τηρεῖν ταύτην, λέγεται "ἐν "ἀγάπῃ σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος·" τοῖς δὲ μηδέπω ἔχουσι τὴν ἑνότητα τοῦ Πνεύματος, λέγοιτο, σπουδάζοντες καταντᾶν ἐπὶ τὴν ἑνότητα τοῦ Πνεύματος. τηρεῖται δὲ ἡ ἑνότης τοῦ Πνεύματος, τῆς ἀγάπης συνδεούσης τοὺς κατὰ τὸ Πνεῦμα ἑνουμένους, καὶ εἰς ἓν σῶμα αὐτοὺς συναγούσης τοῦ Χριστοῦ.

Θεόδωρος δέ φησι, Πνεῦμα τὸ ἀναγεννῆσαν σῶμα, εἰς ὅπερ διὰ τῆς ἀναγεννήσεως κατέστητε.

4 Καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν.

Μία πρόκειται ἡ τῶν προσδοκωμένων ἐλπίς.

(Χρυσοστόμου.) Ὁ Μακάριος δὲ Ἰωάννης φησὶν, οἱ πανταχοῦ τῆς οἰκουμένης πιστοὶ, καὶ ὄντες καὶ γενόμενοι καὶ ἐσόμενοι πάλιν, καὶ οἱ πρὸ τῆς Χριστοῦ παρουσίας εὐηρεστηκότες, ἓν σῶμα εἰσί· πῶς; ὅτι κἀκεῖνοι τὸν Χριστὸν ᾔδεσαν. πόθεν δῆλον; "Ἀβραάμ," φησιν, "ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμὴν, καὶ "εἶδε καὶ ἐχάρη·" καὶ πάλιν· "εἰ ἐπιστεύετε," φησὶ, "Μωσεῖ, "ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν." καὶ οἱ προφῆται οὐκ ἂν δὲ ἔγραψαν περὶ οὗ ἠγνόουν· οὐ γὰρ ἠγνόουν ὃ ἔλεγον· εἰδότες δὲ αὐτὸν καὶ προσεκύνουν· ὥστε κἀκεῖνοι ἓν σῶμα. οὐ διέστηκεν σῶμα Πνεύματος· ἐπεὶ οὐκ ἂν εἴη σῶμα· καὶ γὰρ καὶ ἡμῖν ἔθος ἐπὶ τῶν ἡνωμένων καὶ πολλὴν τὴν ἀκολουθίαν ἐχόντων, λέγειν, ἕν σῶμά ἐστιν· οὕτω καὶ ἡμεῖς ἐπὶ τῆς ἑνώσεως τὸ σῶμα λαμβάνομεν. μία κεφαλὴ καὶ ἓν σῶμα· εἰ δὲ μία κεφαλὴ καὶ ἓν σῶμα, τὸ σῶμα ἐξ ἐντίμων καὶ ἀτίμων σύγκειται μελῶν· πλὴν ἀλλ' οὔτε τοῦ φαυλοτάτου τὸ μεῖζον κατεξανίσταται, οὔτε τοῦτο ἐκείνου διαφθονεῖται· καίτοιγε οὐ τὴν αὐτὴν συντέλειαν τὰ πάντα εἰσφέρει, ἀλλὰ κατὰ μὲν τὸν τῆς ἀνάγκης λόγον, καὶ ὅτι πάντα ἀναγκαίως γεγένηται, καὶ εἰς χρείας διαφόρους, πάντα ὁμότιμα· εἰσὶ δὲ τὰ μὲν καιριώτατα, τὰ δὲ ἥττονα.

Ἀγάπην οὖν ζητεῖ παρ' ἡμῶν ὁ Παῦλος οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν συγκολλῶσαν καὶ ἀδιασπάστως πρὸς ἀλλήλους ἔχειν ποιοῦσαν· καὶ τοσαύτην ἕνωσιν καὶ οὕτως ἀκριβῆ παρεχομένην, ὡσανεὶ μέλη πρὸς μέλη· διὰ τοῦτό φησιν, "ἓν σῶμα." καλῶς δὲ εἶπε "καὶ ἓν Πνεῦμα·" δεικνὺς ὅτι ἀπὸ τοῦ ἑνὸς σώματος, ἓν Πνεῦμα ἔσται· ἢ ὅτι ἔστι μὲν σῶμα εἶναι ἕν, οὐχ ἓν δὲ Πνεῦμα· ὡσανεί τις καὶ αἱρετικῶν φίλος εἴη· ἢ ὅτι ἀπ' ἐκείνου δυσωπεῖ· τουτέστιν οἱ ἓν Πνεῦμα λαβόντες καὶ ἐκ μιᾶς ποτισθέντες πηγῆς, οὐκ ὀφείλετε διχονοεῖν· ἢ Πνεῦμα ἐνταῦθα, τὴν προθυμίαν φησιν. εἶτα "καθὼς ἐκλήθητε," φησὶν, "ἐν μίᾳ ἐλπίδι τῆς κλήσεως "ὑμῶν." ὁ Θεὸς ἡμᾶς, φησὶν, ἐπὶ τοῖς αὐτοῖς ὑμᾶς ἐκάλεσεν·

οὐδὲν ἑτέρῳ πλέον ἀπένειμε τοῦ ἑτέρου· πᾶσιν ἀθανασίαν· πᾶσιν ζωὴν αἰώνιον· πᾶσιν δόξαν ἀθάνατον· πᾶσιν ἀδελφότητα· πᾶσι κληρονομίαν ἐχωρίσατο· κοινὴ πάντων ἐγένετο κεφαλή· πάντας συνήγειρε καὶ συνεκάθισεν· οἱ τοίνυν ἐν τοῖς πνευματικοῖς τοσαύτην ἔχοντες ἰσοτιμίαν, πόθεν μέγα φρονεῖτε καὶ κατεπαίρεσθε;

5 Εἷς Κύριος· *μία πίστις· ἓν βάπτισμα.*

Ἰδοὺ ἡ ἐλπὶς τῆς κλήσεως· "εἷς Θεὸς καὶ Πατὴρ πάντων· ὁ "ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν" αὐτός· μὴ γὰρ σοὶ μὲν ὁ μείζων, ἐκείνῳ δὲ ὁ ἐλάττων ἐπεβλήθη· μὴ γὰρ σὺ μὲν ἀπὸ πίστεως, ἐκεῖνος δὲ ἀπὸ ἔργων ἐσώθη· μὴ γὰρ σοὶ μὲν ἀφείθη διὰ τοῦ βαπτίσματος, ἐκείνῳ δὲ οὐδέν.

6 Εἷς *Θεὸς καὶ Πατὴρ πάντων, καὶ ἐπὶ πάντων καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν.*

Τί δέ ἐστι "πάντων καὶ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν "πᾶσιν ἡμῖν;" ἐπὶ πάντων, τουτέστιν ὁ Κύριος· καὶ ἐπάνω πάντων, τουτέστιν ὁ προνοῶν καὶ διοικῶν· καὶ ἐν πᾶσι, τουτέστιν ὁ οἰκῶν· καίτοι τοῦ Υἱοῦ τοῦτο εἶναι φασὶν, ὥστε εἰ ἐλαττώσεως ἦν, οὐκ ἂν περὶ τοῦ Σωτῆρος ἐρρήθη. τί οὖν φησι; πόθεν τὰ χαρίσματα τὰ διάφορα; ἀκριβέστερον μὲν οὖν αὐτὸ ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ ἐπεξέρχεται· νῦν δὲ ἐνταῦθα μόνον ᾐνίξατο· καὶ ὅρα τί φησι· κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ· τὰ πάντων κεφαλαιωδέστερά φησι, κοινὰ πάντων ἐστὶ, τὸ βάπτισμα· τὸ διὰ πίστεως σωθῆναι· τὸ τὸν Θεὸν ἔχειν πατέρα· τὸ τοῦ αὐτοῦ Πνεύματος ἅπαντας μετέχειν. εἰ δέ τι ὁ δεῖνα πλέον ἔχει ἐν τῷ χαρίσματι, μὴ ἄλγει· ἐπεὶ καὶ ὁ πόνος αὐτῷ πλείων ἐστιν, καὶ ὁ τὰ πέντε τάλαντα λαβὼν, πέντε ἀπῃτεῖτο· ὁ δὲ τὰ δύο, δύο μόνον προσήνεγκε, καὶ οὐδὲν ἔλαττον ἔσχεν ἐκείνου· διὰ τοῦτο ἐνταῦθα ἀπὸ τῆς αὐτῆς αἰτίας παραμυθεῖται τὸν ἀκούοντα· "πρὸς καταρ- "τισμὸν τῶν ἁγίων," φησι, "εἰς ἔργον διακονίας· εἰς οἰκοδομὴν "τοῦ σώματος τοῦ Χριστοῦ." διὰ τούτου δείκνυσιν, ὅτι οὐκ ἀπὸ τῆς οἰκείας ἀξίας ὁ μὲν πλέον ὁ δὲ ἔλαττον ἔλαβεν· ἕκαστος γὰρ, πρὸς τὴν οἰκοδομὴν συντελεῖ· καὶ δι' ἑτέρους ἔλαβεν, ὡς αὐτὸς ἐμέτρησεν· ἐπεὶ καὶ ἀλλαχοῦ λέγει· "τὰ δὲ μέλη ἔθετο ἓν ἕκαστον,

“καθὼς αὐτὸς ἠθέλησεν·” καὶ οὐ λέγει τὸν λόγον, ἵνα μὴ καταβάλῃ τὰ φρονήματα τῶν ἀκουόντων· διὸ λέγει,

8 Ἀναβὰς εἰς ὕψος, ᾐχμαλώτευσεν αἰχμαλωσίαν, ἔδωκεν δόματα τοῖς ἀνθρώποις.

Τουτέστιν, τί μέγα φρονεῖς; τοῦ Θεοῦ τὸ πᾶν γέγονεν· ὁ μὲν προφήτης φησὶν ἐν τῷ ψαλμῷ, “ἔλαβες δόματα ἐν ἀνθρώποις·” αὐτὸς δὲ φησὶν, “ἔδωκες δόματα ἐν ἀνθρώποις·” τοῦτό ἐστιν ποιῶν ταυτόν.

9 Τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη εἰς τὰ κατώτερα μέρη τῆς γῆς; ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπὲρ ἄνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα.

Ταῦτα ἀκούων, μὴ μετάβασιν νόμιζε· ὅπερ γὰρ ἐν τῇ πρὸς Φιλιππησίους Ἐπιστολῇ κατασκευάζει, τοῦτο καὶ ἐνταῦθα· καθάπερ γὰρ ἐκεῖ περὶ ταπεινοφροσύνης παραινῶν, παράγει τὸν Χριστὸν, οὕτω δὴ καὶ ἐνταῦθα. ἀπὸ δὲ τοῦ ἀναβῆναι, τὴν κατάβασιν αἰνίττεται· τὰ δὲ κάτω μέρη τῆς γῆς, τὸν θάνατον φησὶν, ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπονοίας· καθάπερ καὶ ὁ Ἰακὼβ ἔλεγε· “κατάξετε “τὸ γῆρας μου μετ᾽ ὀδύνης εἰς ᾅδου·” καὶ πάλιν ἐν τῷ ψαλμῷ· “καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον·” τουτέστιν, τοῖς ἀποθανοῦσιν· ἐνταῦθα. ποίαν αἰχμαλωσίαν φησί; τὴν τοῦ διαβόλου· αἰχμάλωτον τὸν τύραννον ἔλαβε τὸν διάβολον καὶ τὸν θάνατον καὶ τὴν ἀρὰν καὶ τὴν ἁμαρτίαν· ὁρᾷς σκῦλα καὶ λαφυρά; “τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη;” τοῦτο πρὸς τοὺς Παύλου τοῦ Σαμωσάτεως. εἰς τὰ κατώτερα μέρη κατέβη τῆς γῆς, μεθ᾽ ὃ οὐκ ἔστιν ἑτέρα· “καὶ ἀνέβη ὑπερ ἄνω πάντων τῶν οὐρά“νων, ἵνα πληρώσῃ τὰ πάντα,” μεθ᾽ ὃ οὐκ ἔστιν ἕτερόν τι· τουτέστιν τῆς δεσποτείας αὐτοῦ καὶ τῆς ἐνεργείας· καὶ γὰρ πάλαι πάντα πεπλήρωτο.

Θεόδωρος δέ φησι, μήτε τὸ εἷς Κύριος ἐπ᾽ ἀναιρέσει τοῦ Πατρὸς νοητέον, μήτε τὸ εἷς Θεὸς ἐπ᾽ ἀναιρέσει τοῦ Υἱοῦ· ἀλλ᾽ ἵνα εἴπῃ, οὐ διαφόρους Κυρίους· οὐ δὲ διαφόρους νομίζομεν θεούς. ἀδιάσπαστος γὰρ ἡμῖν τῆς θεότητος καὶ τῆς κυριότητος ἡ ὁμολο-

γία· οὐ διαιρουμένων τῶν γνώμων ἡμῶν κατὰ τὸν τῶν προσώπων ἀριθμὸν, ἀλλὰ τὴν ὁμοίαν ἀποδιδόντων προσκύνησιν. "ὁ ἐπὶ πάντων" δὲ, ἵνα εἴπῃ ὁ πάντων ὑπερέχων, καὶ διὰ πάντων ἡμῶν, τὴν οἰκείαν ἐπιδεικνύμενος πρόνοιαν, ἐν πᾶσι τὲ ἡμῖν εἶναι καὶ οἰκεῖν πιστευόμενος. καὶ ἐπειδὴ διὰ πάντων ἔδειξεν αὐτοῖς τὴν ὁμόνοιαν, ἐδόκει δέ τις αὐτοῖς εἶναι διαφορὰ ἀπὸ τῆς τῶν χαρισμάτων ποικιλίας, ἐπιφέρει,

Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

Εἰ δὲ ἴδιόν τι χάρισμα ἕκαστος ἡμῶν ἔχει, ἡ διαφορὰ γέγονε, καθὼς τὴν ἑαυτοῦ δωρεὰν ἑκάστῳ ἡμῶν ὁ δεσπότης ἐπεμέτρησε Χριστός.

Ὅ τε γὰρ δεδωκὼς ἡμῖν εἷς, καὶ τὸ δοθὲν ἡμῖν Πνεῦμα ἕν· ὑπαλλάξας δὲ τὸ "ἔλαβε δόματα" οὕτως ἐν τῷ ψαλμῷ κείμενον, "ἔδωκε δόματα" εἶπε, τῇ ὑπαλλαγῇ περὶ τὴν οἰκείαν χρησάμενος ἀκολουθίαν· ἐκεῖ μὲν γὰρ πρὸς τὴν ὑπόθεσιν τὸ ἔλαβεν ἥρμοττεν, ἐνταῦθα δὲ τῷ προκειμένῳ τὸ ἔδωκεν ἀκόλουθον ἦν. βούλεται δὲ εἰπεῖν, ὅτι ἀγῶνα ὑπὲρ ἡμῶν ἐνστησόμενος πρὸς τὸν διάβολον, καὶ ὥσπερ πολέμου νόμῳ νικήσας αὐτόν· ἐπειδὴ ἀφεῖλεν ἑαυτὸν τοῦ θανάτου, πρότερος ἀναστὰς, κοινὴν ἐπὶ πάντων ἡμῶν τοῦ θανάτου τὴν λύσιν ἐποιήσατο· ὥσπερ αἰχμαλώτους τινὰς τοὺς ἀνθρώπους καὶ ὑπὸ τὴν τοῦ διαβόλου τυραννίδα κατεχομένους, τῆς ἐκείνου καταδυναστείας αὐτοὺς ἀφελὼν, ἀνῆλθεν εἰς τοὺς οὐρανούς.

Ὠριγένης δέ φησι· διὰ τοὺς συγχέοντας Πατέρα καὶ Υἱὸν, τὸ μὲν Κύριος τέτακται ἐπὶ τοῦ Υἱοῦ, τὸ δὲ εἷς Θεὸς, ἐπὶ τοῦ Πατρός· καὶ πρὸς τοὺς ἀπὸ Οὐαλεντίνου δὲ δύο διδόντας βαπτίσματα χρηστέον τῷ ῥητῷ, "ἓν βάπτισμα·" πάντων δέ ἐστιν ὁ Θεὸς καὶ Πατήρ· τὸ τινῶν μὲν εἶναι Θεὸς καὶ μὴ Πατὴρ, τινῶν δὲ Θεὸς καὶ Πατήρ· ὡς εἴτις δείξας δέκα τινὰς τὸν ἀριθμὸν ἀνθρώπους· ὧν οἱ μὲν πέντε τοῦδε τινὸς υἱοί εἰσὶν, οἱ δὲ πέντε δοῦλοι, ἔλεγεν οὗτος τῶν δέκα κύριος ἐστὶ καὶ πατήρ· πρὸς τούτοις, ἐξεταστέον τὴν διαφορὰν τῶν προθέσεων, τῆς "ἐπὶ" καὶ τῆς "διὰ," καὶ τῆς "ἐν·" καὶ σωματικῇ γε εἰκόνι χρηστέον τοιαύτῃ·

τὸ πῶς ὁ ἥλιος ἐπὶ πάντων ἐστὶ, φέρε εἰπεῖν, τῶν ἐπὶ γῆς, ταῖς δὲ αὐγαῖς λέγοιτ' ἂν εἶναι διὰ πάντων· εἰ δὲ καὶ εἰς τὸ βάθος ἑκάστου ἔφθανεν ἡ δύναμις τοῦ φωτὸς αὐτοῦ, ἐλέγετο ἂν εἶναι καὶ ἐν πᾶσιν· οὕτως τοίνυν καὶ κατὰ τὰ νοητά· τὴν μὲν ὑπεροχὴν οἰόμεθα δηλοῦσθαι διὰ τὸ "ἐπὶ πάντων·" "τὸ δὲ διαρκὲς πρὸς ἕκαστον, ἐν "τῷ διὰ πάντων·" τὸ δὲ καὶ φθάνειν "ἐν πᾶσι," τῆς δυνάμεώς ἐστι τοῦ Θεοῦ· ὥστε μηδένα εἶναι κενὸν πάντη αὐτοῦ διὰ τοῦ "ἐν πᾶσιν[n]."

Καὶ τῷ ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ.

Οὕτω νενοῆσθαι νομίζομεν· οὐκ ἐκ μέτρου μὲν δίδωσι τὸ Πνεῦμα καὶ τὴν χάριν ὁ Θεὸς "οὗ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ "ἔστι πέρας·" μέτρον δὲ δίδωσι, φειδόμενος τῶν λαμβανόντων, μὴ χωροῦντος ἑκάστου πλέον, οὗ συμφερόντως λαμβάνει. πλὴν ἐπεὶ χάρις ἐστὶν ἡ διδομένη, καὶ οὐκ ἐξ ἔργων ἐστὶν, ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις, δίδοται ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ· εἰ καὶ μὴ ἐξ ἔργων δὲ, ἀλλ' ἐπὶ τινός γε τῶν ἐφ' ἡμῖν· ἐκ πίστεως γὰρ δίδοται ἡ χάρις, ἐπὶ τῷ συνεργούσης αὐτῆς τὴν πίστιν κατακοσμηθῆναι καὶ τοῖς ἔργοις ὡς εἰπεῖν τὸν λαμβάνοντα τὴν χάριν· "καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμὲ, οὐκ εἰς κενὸν "ἐγενήθη, ἀλλὰ τοσόνδε ἐκοπίασα·" Παῦλος δὲ ἔλεγεν τὸ "ἀλλὰ "καὶ περισσότερον αὐτῶν πάντων ἐκοπίασα."

11 Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ δι-
12 δασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ.

Ἐχομένως τῶν προκειμένων καὶ ταῦτα ἐπιφέρει. εἰ γὰρ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἐστὶν ὁ Χριστὸς, ἀλλ' ἑκάστων ἁγίων ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ, ὥστε τοὺς μέν τινας εἶναι Ἀποστόλους, τοὺς δὲ προφήτας καὶ ἄλλους εὐαγγελιστὰς, καὶ μετὰ τούτους ποιμένας, καὶ ἐπὶ πᾶσι διδασκάλους. εἴπερ οὖν διδάσκαλον εἶναι χάρισμά ἐστι διδό-

[n] Ultima hæc mutila sunt.

μενον, κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ δηλονότι, καὶ ποιμένα ποιμαίνοντα μετὰ ἐπιστήμης χρὴ, πῶς δὲ καὶ εὐαγγελιστὴς τίς ἔσται, οὗ μὴ εἰσὶν ὡραῖοι ἵν' οὕτως εἴπω, οἱ πόδες τῆς ψυχῆς; ἀλλὰ καὶ προφήτην ἀπίστους ἐλέγχοντα καὶ ἀνακρίνοντα. τοιοῦτος γάρ ἐστιν ὁ τῆς κοινῆς διαθήκης προφήτης, ὃν ἀπὸ Θεοῦ καθίστασθαι τῇ Ἐκκλησίᾳ νομιστέον. εἰ δὲ ταῦτα δυνατὸν ἀεὶ εἶναι ἐν τῇ Ἐκκλησίᾳ, μή ποτε καὶ Ἀποστόλους, οἷς δίδοται τὰ σημεῖα τοῦ Ἀποστόλου κατεργάζεσθαι, δυνατὸν εὑρεθῆναι καὶ νῦν· χρεία δὲ Ἀποστόλων καὶ προφητῶν, καὶ τῶν ἑξῆς εἰς τὸν καταρτισμὸν τῶν ἁγίων, ἵνα καταρτίζωνται κατὰ τὸ ἔργον τῆς Χριστοῦ διακονίας, ὅπως οἰκοδομῆται, ἐνεργεῖται τὸ σῶμα τοῦ Χριστοῦ ἐκ τῶν ζώντων λίθων.

13 Μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς
πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς
ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ
14 Χριστοῦ· ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ
περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυ-
βείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν
15 τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς
αὐτὸν τὰ πάντα ὅς ἐστιν ἡ κεφαλὴ Χριστοῦ.

Τίνες πάντες καταντήσομεν εἰς τὴν ἑνότητα τῆς πίστεως. ζητητέον, πότερον πάντες ἁπαξαπλῶς ἄνθρωποι ἢ ἡμεῖς οἱ κληρωθέντες ἐν Χριστῷ. δόξει δὲ πρὸς τὸ πρότερον ἀποδεδόσθαι, διὰ τὸ πολλοὺς ἀνόμους εἶναι τῆς διδασκαλίας, τοὺς κλυδωνίζοντας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, σχεδὸν τοὺς πάντας ἢ τοὺς πλείστους. πλὴν φιλοτιμητέον ἐπὶ τὴν ἑνότητα τῆς πίστεως καταντῆσαι, καὶ πρὸς τῇ ἑνότητι τῆς πίστεως γενέσθαι, καὶ ἐν τῇ ἑνότητι τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, ὧν ἓν γενομένων, πᾶσαν νηπιότητα ἀποθέμενοι, ἄνδρες χρηματίσωμεν τέλειοι, τὸ μέτρον τῆς ἐν κρυπτῷ ἡλικίας, ἄκρως ἀπειληφότες, ὅπερ μέτρον ἡλικίας πληρώματος μέτρον ἐστὶ τοῦ Χριστοῦ, πάντων τῶν ἐπὶ τὸ μέτρον τῆς προειρημένης ἡλικίας ἐφθακότων, τὸ πλήρωμα τοῦ Χριστοῦ κεχωρηκότων, ὅτε οὐκέτι ἔσονται νήπιοι, οὐδὲ διὰ τὸ περὶ τῶν δογμάτων ἀνερμάτι-

στον καὶ ἀμφίβολον περὶ αὐτῶν ἐν νηπίων ἕξει πατοῦσιν, ὥσπερ ὑπὸ κλύδωνος τῶν ὑπὲρ ἑκάστου ψεύδους πιθανῶν περιφερόμενοι, καὶ παντὶ ἀνέμῳ διδασκαλίας ἐπιδιδόντες ἑαυτούς· τινῶν μὲν ἀνθρώπων[o] οὐ διακειμένων ἀλλὰ κυβευτικῶς διδασκόντων, ἄλλων δὲ μετὰ πάσης πανουργίας καὶ συντρεχείας ἀπατώντων τῶν τὴν πλάνην μεθόδοις χρῆσθαι μυρίαις καθ' ἡμῶν. καὶ ὅταν γε καταντήσωσιν οἱ ἅγιοι εἰς τὸν προειρημένον τέλειον ἄνδρα, τότε τῷ νενοηκέναι τὴν ἀγάπην ἀληθεύοντες, ἐν αὐτῇ αὐξήσωμεν εἰς τὸν Χριστόν· πάντα τὰ δοθέντα αὐτοῖς τῆς ἀληθείας σπέρματα χρώμενοι, ὡς σῶμα κεφαλῇ τῷ Χριστῷ.

Ἐπειδὴ δέ φησιν, "ἵνα μηκέτι ὦμεν νήπιοι," ζητοῦμεν πότερον ταῦτα κατὰ μετριότητα εἶπε, συμπεριλαμβάνων ἑαυτὸν οὐκ ὄντα νήπιον, ἢ ὁρῶν ὅσον ἀπολείπεται ὁ ἐκ μέρους γινώσκων καὶ ἐκ μέρους προφητεύων τῆς τελειότητος, ἀληθῶ σφησιν εἶναι νήπιος. πλὴν ὁ λέγων αὐτὸν κατὰ νηπιότητα ταῦτα εἰρηκέναι, χρήσεται τὸ "ὅτε ἤμην ὡς νήπιος, ἐλάλουν ὡς νήπιος, ἐφρόνουν ὡς νήπιος" "ὅτε δὲ γέγονα ἀνήρ, κατήργηκα καὶ τοῦ νηπίου." ὁ δὲ ἕτερος πρὸς τοῦτο ἀποκρίνεται, ὅτι συγκρίσει μὲν τῶν πολλῶν, ἐγεγόνει μὲν ὁ Παῦλος ἀνήρ· πρὸς δὲ τὰ ἀποκείμενα τοῖς ἁγίοις τέλη, ἔτι νήπιος ἦν. καὶ πάντας γὰρ ὁ προφητικὸς λόγος παιδία ὀνομάζει λέγων· "ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός." μετὰ ταῦτα ἐπιστήσεις εἰ μὴ κατὰ μετριότητα ὁ Παῦλος οὐ μόνον νήπιος εἶναι φησὶν, ἀλλὰ καὶ κλυδωνιζόμενος καὶ περιφερόμενος παντὶ ἀνέμῳ διδασκαλίας, καὶ τὰ ἑξῆς. ὁ μέντοιγε καὶ τοῦτο λέγων, μὴ ἀπὸ μετριότητος αὐτὸ εἰρῆσθαι φήσει, ὅτι ἄνθρωπος ἦν ὀξὺς καὶ εὐεπήβολος, καὶ ἑώρα τοὺς ἐπὶ ἑκάτερα ἐπιχειρουμένους λόγους ἱκανοὺς ὄντας περισπᾶσαι καὶ ἐν κλύδωνι ποιῆσαι γενέσθαι τὸν θεωροῦντα τὰς πιθανότητας. διὰ τοῦτο δὲ καὶ ὡς ἄνθρωπος περιεφέρετο παντὶ ἀνέμῳ διδασκαλίας, οὐ κατασπώμενος μὲν οὐδὲ ναυαγῶν, ὥσπερ δὲ ναῦς παλαίων ποικίλοις πνεύμασιν. ἑώρα δὲ καὶ τοὺς τῶν ἀντικειμένων λόγους, οἱονεὶ ἐν κυβείᾳ διδάσκοντας, οὐκ ὄντας εὐκαταφρονήτους, ἀλλὰ πανουργότατα λεγομένους, ὥστε ἱκανοὺς εἶναι πλανῆσαι, καὶ ἤλπιζε τάξεσθαί ποτε τῆς ἀπὸ τοῦ Θεοῦ βοηθείας πρὸς τὸ ἀποθέσθαι πάντα περισπασμὸν

[o] Quædam videntur excidisse hic et infra.

καὶ ἀληθεῦσαι ἀπερισπάστως, καὶ ἐν ἀγάπῃ αὐξῆσαι εἰς τὸν Χριστὸν, ὃν ᾔδει αὐτοῦ ὄντα κεφαλὴν καὶ παντὸς τοῦ τῆς ἐκκλησίας σώματος.

(Χρυσοστόμου.) Ὁ δὲ μακάριος Ἰωάννης φησιν, "εἰς τὴν "ἑνότητα," φησὶ, "τῆς πίστεως," τουτέστιν, ἕως ἂν δειχθῶμεν πάντες τὴν πίστιν ἔχοντες, ὅταν πάντες ὁμοίως τὸν σύνδεσμον ἐπιγινώσκωμεν, μέχρι τότε ἐργάζεσθαι χρή· ἀλλαχοῦ δὲ νηπίους ἡμᾶς φησὶ, καὶ ὅταν τέλειοι ὦμεν, ἀλλὰ πρὸς ἕτερον ὁρῶν. ἐκεῖ μὲν γὰρ πρὸς τὴν μέλλουσαν γνῶσιν, νηπίους ἐκάλεσεν· ἐνταῦθα δὲ πρὸς ἕτερον εἶπε, πρὸς τὸ ἀμετάπτωτον· ὥσπερ καὶ ἀλλαχοῦ φησι· "τελείων δέ ἐστιν ἡ στερεὰ τροφή." ὅρα γὰρ κακεῖ πῶς ἐκάλεσε τελείους. ὥσπερ οὖν καὶ ἐνταῦθα, ὡς διὰ τῶν ἐπαγομένων δηλοῖ, "ἵνα μηκέτι ὦμεν νήπιοι." αὐτό φησι τὸ μέτρον τὸ ὀλίγον, ὅπερ ἐλάβομεν, ἵνα κατέχωμεν μετὰ πάσης σπουδῆς, μετὰ στερρότητος καὶ βεβαιώσεως. "ἵνα μηκέτι" τὸ μηκέτι, δείκνυσι πάλαι τοῦτο παθόντας. καὶ τίθησι καὶ ἑαυτὸν, καὶ ἐν τάξει διηγήσεως διορθοῦται. ἐπεξῆλθε δὲ τῇ τροπῇ, δεικνὺς τὰς δισταζούσας ψυχὰς, ἐν οἵῳ κινδύνῳ εἰσίν. παντὶ "ἀνέμῳ, φησὶν, ἐν τῇ κυβείᾳ τῶν ἀν-"θρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν πλάνης." κυβευταὶ λέγονται οἱ τοῖς πεττοῖς κεχρημένοι. τοιοῦτοί εἰσιν οἱ πανοῦργοι· ἐπειδὰν ἀφελεστέρους λάβωσι· καὶ γὰρ κἀκεῖνοι μετατιθέασι καὶ μεταφέρουσιν ἅπαντα. ἐνταῦθα καὶ βίου ἥψατο.

Ἀληθεύοντες ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ
16 πάντα, ὅς ἐστιν ἡ κεφαλὴ, ὁ Χριστὸς, ἐξ οὗ πᾶν τὸ
σῶμα συναρμολογούμενον καὶ συμβιβαζόμενον, διὰ πά-
σης ἁφῆς τῆς ἐπιχορηγίας κατ' ἐνέργειαν ἐν μέτρῳ ἑνὸς
ἑκάστου μέρους τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς
οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ.

Ὅ φησι, τοῦτό ἐστι. καθάπερ τὸ σῶμα τὸ πνεῦμα τὸ ἀπὸ τοῦ ἐγκεφάλου καταβαῖνον τὸ διὰ τῶν νεύρων, τὸ αἰσθητικὸν οὐχ ἁπλῶς δίδωσι πᾶσιν, ἀλλὰ κατὰ ἀναλογίαν ἑκάστου μέλους, τῷ μὲν δυναμένῳ πλέον δέξασθαι, πλέον· τῷ δὲ ἔλαττον, ἔλαττον· οὕτω καὶ ὁ Χριστὸς, καθάπερ μελῶν, τῶν ψυχῶν εἰς αὐτὸν ἀνηρτημένων, ἡ πρόνοια αὐτοῦ καὶ ἡ χορηγία τῶν χαρισμάτων κατὰ

ἀναλογίαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέλους αὔξησιν ποιεῖται. τί δέ ἐστι "διὰ τῆς ἁφῆς τῆς ἐπιχορηγίας;" τουτέστι, διὰ τῆς αἰσθήσεως. τὸ γὰρ πνεῦμα ἐκεῖνο τὸ ἐπιχορηγούμενον τοῖς μέλεσιν ἀπὸ τῆς κεφαλῆς ἑκάστου μέλους ἁπτόμενον οὕτως ἐνεργεῖ, ὡς ἂν τις εἴποι, τὸ σῶμα ἀντιλαμβανόμενον τῆς ἐπιχορηγίας κατὰ ἀναλογίαν τῶν ἐν αὐτῷ μελῶν, οὕτω ποιεῖται τὴν αὔξησιν. ἢ ἑτέρως· τὰ μέλη κατὰ τὴν ἀναλογίαν τοῦ οἰκείου μέτρου δεχόμενα τὴν ἐπιχορηγίαν, οὕτως αὔξεται. ἢ καὶ ἑτέρως· τὸ πνεῦμα ἄνωθεν ἐπιρρεόμενον ἀφθόνως, καὶ πάντων ἁπτόμενον τῶν μελῶν καὶ χορηγούμενον, ὡς ἕκαστον δύναται δέξασθαι, οὕτως αὔξεται.

Τίνος δὲ ἕνεκεν προσέθηκεν "ἀγάπῃ;" οὐ γὰρ ἔνι κατελθεῖν ἐκεῖνο τὸ πνεῦμα, μὴ οὔσης ἀγάπης. καθάπερ γὰρ εἰ τύχοι, χεὶρ ἀποσπασθεῖσα τοῦ σώματος, τὸ πνεῦμα τὸ ἀπὸ τοῦ ἐγκεφάλου τὴν συνέχειαν ἐπιζητοῦν, καὶ μὴ εὑρὸν οὐκ ἀπάλλεται τοῦ σώματος καὶ διατρῆσαν πρὸς τὴν χεῖρα ἔρχεται, ἀλλ' ἐὰν μὴ εὕρῃ κείμενον οὐχ ἅπτεται, οὕτω καὶ ἐνταῦθα, ἐὰν μὴ ὦμεν τῇ ἀγάπῃ συνδεδεμένοι. ταῦτα δὴ πάντα πρὸς ταπεινοφροσύνην αὐτῷ εἴρηται. τί γάρ φησι; εἰ πλέον λαμβάνει ὁ δεῖνα, τὸ αὐτὸ πνεῦμα ἔλαβεν ἀπὸ τῆς αὐτῆς κεφαλῆς ἐκπεμπόμενον, ὁμοίως ἐνεργοῦν, ὁμοίως "ἁπτόμενον, συναρμολογούμενον καὶ συμβιβαζόμενον," τουτέστι, πολλῆς ἀπολαῦον τῆς ἐπιμελείας· οὐ γὰρ ἁπλῶς, ἀλλὰ σφόδρα τεχνικῶς δεῖ κεῖσθαι τὸ σῶμα· ὡς ἐὰν τὸν τόπον ἐκβῇ, οὐκέτι κεῖται. ὥστε οὐχ ἡνῶσθαι τῷ σώματι δεῖ, ἀλλὰ καὶ τοῦ οἰκείου τόπου ἐπέχειν· ὡς ἂν ὑπερβῇς, οὐχ ἥνωσαι, οὐδὲ δέχῃ τὸ πνεῦμα.

ΚΕΦ. Ζ.

Περὶ σωφροσύνης καὶ δικαιοσύνης ποιούσης ἡμᾶς θεοειδεῖς.

17 Τοῦτο οὖν λέγω καὶ μαρτύρομαι ἐν Κυρίῳ, μηκέτι
ὑμᾶς περιπατεῖν καθὼς καὶ τὰ ἔθνη περιπατεῖ, ἐν μα-
18 ταιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ· ὄντες
ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τὴν ἄγνοιαν
τὴν οὖσαν ἐν αὐτοῖς· διὰ τὴν πώρωσιν τῆς καρδίας

19 αὐτῶν· οἵτινες ἀπηλγηκότες, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ· εἰς ἐργασίαν ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ.

Ὠριγένης φησὶν, ὅτε μὲν οὖν ὁ νοῦς ἤτοι πρὸς τοῖς βιωτικοῖς ἐστι, τῇ δυνάμει ἑαυτοῦ πρὸς ταῦτα καταχρώμενος· ἢ πρός τισι δόγμασιν ἀναπεπλασμένοις ὡς ἀληθέσιν, οὐκ οὖσιν ἀληθέσιν, ἐν ματαιότητι ἐστίν· ματαία γὰρ καὶ πᾶσα φροντὶς βιωτικὴ, καὶ πάντες οἱ προσποιούμενοι εἶναι ἀληθείᾳ ψευδεῖς λόγοι· ὅτε δὲ ἡ διάνοια, ἥτις ἐστὶν διέξοδος λογικὴ ὑποσυγκέχυται, οὔτε τὴν φύσιν τῶν λεγομένων θεωροῦσα, οὔτε ἐφέπεσθαι τοῖς ποικίλοις τῶν λεγομένων δυναμένη, τότε ἐσκοτῶσθαι εὐλόγως ἂν λέγοιτο· οὔτ' οὖν ἐν ματαιότητι τοῦ νοὸς εἶναι δεῖ, οὔτε ἐσκοτισμένους τῇ διανοίᾳ· ἵνα μὴ ἀπηλλοτριωμένοι τυγχάνωμεν τῆς ζωῆς τοῦ Θεοῦ, ἀγνοίας ἐνυπαρχούσης ἡμῖν καὶ πωρώσεως καρδίας. ταῦτα δὲ ἐὰν ἐπιπλέον νεμηθῇ τὴν ψυχὴν ἡμῶν, λέγω δὲ ματαιότης νοὸς καὶ σκότωσις διανοίας, τὰ ἀλλοτριοῦντα τῆς ζωῆς τοῦ Θεοῦ, καὶ παρείσδυσιν διδόντα ἀγνοίᾳ[p] πώρωσίν τε τῆς καρδίας ἐπιτρέπονται τότε εἰς ἀναισθησίαν ἐμπεσούμεθα, συνωθοῦντες ἡμῶν τὸ συνειδὸς ἐπὶ τοῖς ἁμαρτανομένοις, καὶ παραδώσομεν ἑαυτοὺς, οὐδὲ κατὰ ποσὸν ἀνθιστάμενοι, ταῖς σαρκικαῖς ἐπιθυμίαις, τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας ἁπάσης μετὰ τοῦ πλεονεκτεῖν· ἐκείνους δὲ, ὧν τοὺς γάμους νοθεύομεν.

Εἰ δὲ θέλομεν νοῆσαι τὸ "οἵτινες ἀπηλγηκότες ἑαυτοὺς παρέ-"δωκαν τῇ ἀσελγείᾳ," συγκρίνομεν τοὺς δυσσυνειδητοῦντας καὶ βασανιζομένους, ἐπὶ τῷ συνεγνωκέναι τι ἑαυτοῖς φαῦλον, τοῖς μετὰ πάσης ἀδείας πολλὰ πλασίονα πταίουσιν. οἱ μὲν γὰρ οὐδέπω ἀπηλγήκασιν, ἀλλ' ἔτι ἀλγοῦσιν· διόπερ δυνατόν ἐστιν τυχόντας αὐτοὺς βοηθείας λογικῆς, θεραπευθῆναι· ὥστε τὸν ἑξῆς βιῶσαι ἀνεπιλήπτως χρόνον. οἱ δὲ οὐκέτι ἀλγοῦσιν ἁμαρτάνοντες· διόπερ μηδὲ ἐπὶ ποσὸν ἀντιτείνοντες, μὴ δὲ ἐγκρατευόμενοι, ἑαυτοὺς παρέδωκαν τῇ ἀσελγείᾳ εἰς ἔργον ἀκαθαρσίας πάσης ἐν πλεονεξίᾳ· πλὴν, εἰς ταῦτα πάντα κίνδυνος ἐμπεσεῖν, παντὶ τῷ ἐν ματαιότητι τοῦ νοὸς τυγχάνοντι καὶ ἐσκοτισμένῳ τῇ διανοίᾳ. ὅθεν τοῦ νοῦ καὶ τῆς διανοίας ἡμῖν ἐπιμελητέον. ἵνα ἡ μὲν διανοία

[p] Hæc valde corrupta sunt.

ᾗ πεφωτισμένη· λυομένου τοῦ σκότους ὑπὸ τοῦ ἀληθινοῦ φωτὸς, ὅπέρ ἐστιν ὁ τοῦ Θεοῦ λόγος· ὁ δὲ νοῦς ἀπὸ τῆς περὶ τὰ μάταια προσπαθείας ἀνατρεπόμενος, προηγεῖτο τῷ Θεῷ διὰ τοῦ λόγου τῆς σοφίας.

Εἰ μέντοιγε διὰ τὴν ἄγνοιαν καὶ πώρωσιν τῆς καρδίας ἀπαλλοτριοῦνται τῆς ζωῆς τοῦ Θεοῦ οἱ ἀπηλλοτριωμένοι αὐτῆς, τῷ ἐν ματαιότητι γεγονέναι αὐτῶν τὸν νοῦν καὶ ἐν σκοτισμῷ τὴν διάνοιαν, οὐκ ἐκ φύσεως ἀλλ' ἐξ αἰτιῶν τῶν παρ' ἡμῶν γινομένων, ἐκ τοῦ ἐφ' ἡμῖν, ἀλλοτριοῦνται τῆς ζωῆς ἐκεῖνοι οἱ ἀλλοτριούμενοι αὐτῆς. ἀκαθαρσίαν δὲ ἐν πλεονεξίᾳ, τὴν μοιχείαν οἴομαι εἶναι· ἀλλαχοῦ γὰρ τοῦτό φησιν ἐν τῇ πρὸς Θεσσαλονικεῖς προτέρᾳ, ἐν ᾗ ταῦτα· "τοῦτό γάρ ἐστι τὸ θέλημα τοῦ Θεοῦ, ἀπέχεσθαι ὑμᾶς "ἀπὸ τῆς πορνείας· εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος "κτᾶσθαι, ἐν ἁγιασμῷ καὶ τιμῇ· μὴ ἐν πάθει ἐπιθυμίας, καθά- "περ καὶ τὰ ἔθνη, τὰ μὴ εἰδότα τὸν Θεόν·" τὸ μὴ "ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ· διότι ἔκδικος "ὁ Κύριος περὶ πάντων τούτων καθὼς προείπομεν ὑμῖν καὶ διε- "μαρτυράμεθα· οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, "ἀλλ' ἐν ἁγιασμῷ καὶ τιμῇ· τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον "ἀθετεῖ, ἀλλ ἀτὸν Θεὸν τὸν διδόντα τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον "εἰς ὑμᾶς." παρατήρει δὲ, ὅτι προτρεπόμενος ἐπὶ τὴν ἁγνείαν ἡμᾶς, πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν φησιν, εἴτις τὴν τοῦ ἀδελφοῦ λαμβάνοι γυναῖκα· πλὴν ἔκδικος Κύριος περὶ πάντων τούτων τῶν πεπλεονεκτημένων, εἴτε ἀδελφῶν εἴτε καὶ ἀπίστων.

Χρυσοστόμος. Ὁ μακάριος Ἰωάννης φησὶν, εἰ οὖν ἄγνοιά ἐστιν, εἰ πώρωσίς ἐστι, τί ἐγκαλοῦνται; τὸν γὰρ ἀγνοοῦντα, οὐ κακῶς πάσχειν δεῖ, οὐδὲ ἐγκαλεῖσθαι· ἀλλὰ μανθάνειν δίκαιόν ἐστιν ἅπερ ἀγνοεῖ. ἀλλ' ὅρα πῶς αὐτοὺς εὐθέως ἀφαιρεῖται τῆς συγγνώμης· "οἵτινες," φησὶν, "ἀπηλγηκότες, παρέδωκαν τῇ "ἀσελγείᾳ·" δείκνυσιν ἐνταῦθα, ὅτι τῆς πωρώσεως ὁ βίος γέγονεν αὐτοῖς αἴτιος· ὁ δὲ βίος, ἐξ οἰκείας γέγονε ῥαθυμίας καὶ ἀναλγησίας· "οἵτινες," φησὶν, "ἀπηλγηκότες ἑαυτῶν, ἑαυτοὺς παρέ- "δωκαν."

Ὅταν οὖν ἀκούσῃς ὅτι παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, τούτου μέμνησο τοῦ ῥήματος, ὅτι "ἑαυτοὺς παρέδωκαν·" εἰ

γὰρ "ἑαυτοὺς παρέδωκαν," πῶς ὁ Θεὸς αὐτοὺς παρέδωκεν; εἰ δὲ ὁ Θεὸς αὐτοὺς παρέδωκε, πῶς "ἑαυτοὺς παρέδωκαν;" τὸ οὖν παρέδωκε, τουτέστι συγκεχώρηκεν. ὁρᾷς πῶς αὐτοὺς ἀποστερεῖς συγγνώμης, ἐργασίαν ἀκαθαρσίας εἰπών; οὐ παραπέσοντες, φησὶν, ἥμαρτον, ἀλλ' εἰργάζοντο αὐτὰ τὰ δεινὰ καὶ μελέτῃ τῷ πράγματι ἐκέχρηντο. ἐν πάσῃ ἀκαθαρσίᾳ· ποίας λέγει ἀκαθαρσίας; πᾶσα πορνεία, μοιχεία, παιδεραστία, φθόνος· πᾶσα ἁμαρτία, ἀκαθαρσία ἐστίν.

Θεόδωρος δέ φησι· τοῦτο λέγει συντόμως. οὐ δίκαιον ὑμᾶς ἀκόλουθα πράττειν τοῖς ἔθνεσιν, οἳ μηδὲν ἐπιστάμενοι τῶν δεόντων, ὥσπερ ἐν σκότῳ διάγουσι, τῆς εὐσεβείας μακρὰν τυγχάνοντες, καὶ τῆς τοῦ Θεοῦ ζωῆς ἀλλότριοι καθεστῶτες· ἵνα εἴπῃ, τῆς προσδοκωμένης ἀναστάσεως· τὸ δὲ "ἀπηλγηκότες," ὥσπερ τῶν ἀπὸ πάθους τινὸς μέρη πολλάκις τοῦ σώματος νενεκρωμένων· οἷς οὐ μόνον ἄλγος οὐδὲν ἐκεῖθεν ἐγγίνεται, ἀλλ' οὐδὲ ἡ τοῦ μέρους ἀφαίρεσις αἴσθησιν ἐμποιεῖ.

20 Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν, εἴγε αὐτὸν
ἠκούσατε.

Τοῦτο λέγει, ὅτι πάντως ποῦ καὶ ἠκούσατε καὶ ἐδιδάχθητε περὶ τοῦ Χριστοῦ ταῦτα, ἅπερ δὴ καὶ ἀληθῆ καθέστηκε καὶ οὕτως ἔχει· ποῖα;

22 Ἀποθέσθαι ὑμᾶς, κατὰ τὴν προτέραν ἀναστροφὴν
τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπι-
23 θυμίας τῆς ἀπάτης αὐτοῦ· ἀνανεοῦσθαι δὲ τῷ πνεύματι
24 τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον,
τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι
τῆς ἀληθείας.

Ἐπειδὴ τοῖς θνητοῖς ἕπεται τὸ ἁμαρτάνειν, ἀθάνατοι δὲ γενόμενοι ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἁμαρτεῖν οὐκ ἐπιδεχόμεθα· σύμβολον δὲ ἐκείνου ἡ τοῦ Πνεύματος ἀναγέννησις, ἣν ἐν τῷ βαπτίσματι πληροῦμεν, ὥσπερ ἀνακτιζόμενοι ἐντεῦθεν ἤδη καὶ ἀναγεννώμενοι κατὰ τύπον ἐλπίδι τῶν προσδοκωμένων, τοῦτο λέγει· ὅτι πάντως οὐκ ἀγνοεῖτε ὅτι λέλυται μὲν ὁ παλαιὸς ἄνθρωπος ὁ θνητὸς

ἐκεῖνος, καινὸς δέ τις ἀντεπεισῆκται ἄφθαρτος, οὗπερ εἰς τύπον ἐπὶ τοῦ βαπτίσματος ἀνακαινισμὸν ἐδέξασθε τὴν τοῦ Πνεύματος ἀπαρχὴν κομισάμενοι· ὥστε δίκαιον ὑμᾶς ἀκόλουθα τούτοις καὶ φρονεῖν καὶ πολιτεύεσθαι.

Χρυσοστόμου. Ὁ μακάριος Ἰωάννης ὧδε λέγει, ἄρα καὶ τοῦτο μαθεῖν ἐστιν τὸν Χριστὸν, τὸ ὀρθῶς βιοῦν· ὁ γὰρ πονηρῶς βιοὺς, ἀγνοεῖ τὸν Θεὸν, καὶ ἀγνοεῖται παρ' αὐτοῦ· ἄκουε γὰρ αὐτοῦ ἀλλαχοῦ λέγοντος, "Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις "ἀρνοῦνται."

Καθώς ἐστιν ἀληθεία ἐν τῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον.

Τουτέστιν, οὐκ ἐπὶ τούτοις συνέθου· οὐ γὰρ ματαιότης τὰ παρ' ἡμῖν, ἀλλ' ἀλήθεια· ὥσπερ τὰ δόγματα ἀληθῆ, οὕτω καὶ ὁ βίος· ματαιότης γὰρ, ἡ ἁμαρτία ἐστὶν καὶ ψεῦδος· οὗ δὲ βίος ὀρθὸς, ἀλήθεια· ἔχει γὰρ τέλος μέγα· ἡ δὲ ἀκολασία εἰς οὐδὲν τελευτᾷ· "τὸν φθειρόμενον" φησὶ "κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης αὐτοῦ."

Ὥσπερ αἱ ἐπιθυμίαι αὐτοῦ φθείρονται, οὕτω καὶ αὐτός. πῶς αἱ ἐπιθυμίαι αὐτοῦ φθείρονται; τῷ θανάτῳ πάντα λύεται· ἄκουε γὰρ τοῦ προφήτου λέγοντος "ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἀπολοῦνται "πάντες οἱ διαλογισμοὶ αὐτοῦ·" καὶ οὐ τῷ θανάτῳ μόνῳ ἀλλὰ καὶ ἄλλοις πολλοῖς· οἷον· τὸ κάλλος καὶ νόσου καὶ γήρως ἐπελθόντος, ὑπεξέστη καὶ ἀπέθανεν καὶ ἐφθάρη· ἡ ῥώμη τῆς ἰσχύος, τοῖς αὐτοῖς πάλιν ἁλίσκεται· ἡ τρυφὴ, οὐδὲ αὕτη τὴν αὐτὴν ἔχει ἐν γήρᾳ ἡδονὴν οὐδὲ τὴν αὐτὴν ἰσχύν· ἢ ἑτέρως. πάλιν τοῦτο αὐτὸν φθείρει καὶ ἀπόλλυσιν, ἡ ἐπιθυμία· καθάπερ γὰρ τὸ ἔριον, ἀφ' ὧν τίκτεται, ἀπὸ τούτων ἀπόλλυται, οὕτω καὶ ὁ παλαιὸς ἄνθρωπος· καὶ γὰρ δόξης ἔρως ἀπόλλυσι, καὶ ἡδοναὶ πολλάκις ἀπώλεσαν· τέσσαρας δὲ ἀνθρώπους ἡμῖν ἐνταῦθα ὑπογράφει· δύο μὲν, οὕτω λέγων ἀποθέμενοι τὸν παλαιὸν ἄνθρωπον, ἀνανεοῦσθε δὲ τῷ Πνεύματι τοῦ νοὸς ὑμῶν· καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον. ἐν δὲ τῇ πρὸς Ῥωμαίους, ἄλλους δύο· ὡς ὅταν λέγῃ· "βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου, ἀντιστρατευόμενον "τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμῳ τῆς "ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου·" ὁ νοῦς καὶ ἡ σάρξ· καὶ

οὗτοι πρὸς ἐκεῖνα ἔχουσι τὴν συγγένειαν· πρὸς μὲν τὸν ἔσω, ὁ καινός· πρὸς δὲ τὸν ἔξω, ὁ παλαιός. ἀλλ' ὅμως οἱ τρεῖς διεφθάρησαν· μᾶλλον δὲ τρεῖς εἰσὶ, καινὸς καὶ παλαιός· καὶ οὗτος, οὐσιώδης καὶ φυσικός.

Ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν.

Ἵνα μή τις νομίσῃ ὅτι ἐπεισάγει ἄνθρωπον, εἰπὼν παλαιὸν καὶ καινὸν, ὅρα τί φησιν· "ἀνανεοῦσθαι·" ἀνανεοῦσθαι δέ ἐστιν, ὅταν αὐτὸ τὸ γεγηρακὸς ἀνανεοῦται ἄλλο ἐξ ἄλλου γενόμενον· ὥστε τὸ μὲν ὑποκείμενον τὸ αὐτό· ἡ δὲ μεταβολὴ πρὸς τὸ συμβεβηκός· πῶς δ' ἂν γένοιτο ἡ ἀνανέωσις; "ἐν τῷ Πνεύματι τοῦ νοὸς ὑμῶν" φησιν· ὃς ἐὰν οὖν ἔχῃ πνεῦμα παλαιὸν, οὐδὲν ἐργάζεται· οὐ γὰρ ἀνέχεται τὸ πνεῦμα παλαιῶν πράξεων.

"Τῷ πνεύματι" φησιν "τοῦ νοὸς ὑμῶν," τουτέστιν, τῷ πνεύματι τῷ ἐν τῷ νῷ.

Καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον.

Ὁρᾷς ὅτι τὸ μὲν ὑποκείμενον ἕν ἐστι, μεταβολὴ δὲ τὸ ἐκδυόμενον καὶ ἐκδυόμενον; "τὸν καινὸν ἄνθρωπον" φησὶ, "τὸν κατὰ "Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας." διατί δὲ ἄνθρωπον καλεῖ τὴν ἀρετήν; καὶ διατί ἄνθρωπον τὴν κακίαν; ὅτι χωρὶς ἐνεργείας οὐδ' ἂν δειχθείη ἄνθρωπος· ὥστε οὐχ ἧττον τῆς φύσεως ταῦτα ἄνθρωπον δείκνυσιν εἴτε καλὸν εἴτε πονηρόν· ὥσπερ δὲ τὸ ἀποδύσασθαι καὶ ἐνδύσασθαι εὔκολον, οὕτως καὶ ἐπὶ ἀρετῆς καὶ κακίας ἔστιν ἰδεῖν· ὁ νέος ἰσχυρός ἐστιν· οὐκοῦν καὶ ἡμεῖς ἰσχυροὶ γενώμεθα πρὸς τὴν ἐνέργειαν τῶν ἀγαθῶν πράξεων· τὴν κτίσιν ὅρα τί φησι· τὴν οὐσίωσιν τῆς ἀρετῆς, τὴν ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραχθεῖσαν· τί δὲ, ἐκείνη οὐ κατὰ Θεὸν ἡ κτίσις; οὐδαμῶς· ἀλλὰ κατὰ τὸν διάβολον· αὐτὸς δημιουργὸς τῆς ἁμαρτίας· πῶς; ὁ γὰρ ἄνθρωπος οὐκ ἀπὸ ὕδατος οὐδὲ ἀπὸ γῆς ἐκτίσθη λοιπὸν, ἀλλ' ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας· τί ἐστι τοῦτο; υἱὸν εὐθέως αὐτὸν ἔκτισε· τοῦτο γὰρ ἀπὸ τοῦ βαπτίσματος γίνεται· αὕτη ἐστιν ἡ οὐσία ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας· ἦν ποτε δικαιοσύνη καὶ ὁσιότης ἐπὶ Ἰουδαίων, ἀλλ' οὐ τῆς ἀληθείας· ἀλλὰ τοῦ τύπου ἡ δικαιοσύνη ἐκείνη· τὸ γὰρ καθαρὸν εἶναι σώματι, τύπος καθαρότητος ἦν· καὶ

τύπος δικαιοσύνης, οὐχὶ ἀληθεία· καὶ πρὸς τὸ ψεῦδος φησὶν, ὅτι πολλοί εἰσι παρὰ τοῖς ἔξωθεν δοκοῦντες εἶναι δίκαιοι, ἀλλὰ ψευδεῖς· δικαιοσύνη δὲ ἡ καθολικὴ ἀρετὴ λέγεται· ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος "ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλέον "τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βα"σιλείαν τῶν οὐρανῶν." καὶ πάλιν δίκαιος λέγεται, ὁ μηδεμίαν ἔχων λαβήν. ἐπεὶ καὶ ἐν τοῖς δικαστηρίοις, ἐκεῖνον φαμὲν δίκαιον, τὸν ὀδυνηθέντα καὶ μὴ ἀνταδικήσαντα.

Ὠριγένης φησὶ τὸ μαθεῖν τὸν Χριστὸν, ταυτόν ἐστι τῷ μαθεῖν τὴν ἀρετήν· καὶ τὸ ἀκοῦσαι αὐτὸν οὐ διαφέρει τοῦ συνεῖναι τὸν λόγον τῶν ἀναγεγραμμένων ἐπινοιῶν τοῦ Υἱοῦ τοῦ Θεοῦ. εἴτις οὖν ἔμαθε τὸν Χριστὸν καὶ ἤκουσεν αὐτὸν ὡς Θεοῦ Λόγου, παραδεξάμενος ἃ μεμάθηκε καὶ ἤκουσεν, οὐ περιπατήσει ἐν τῇ ματαιότητι τοῦ νοὸς αὐτοῦ, οὐδὲ ἔσται τῇ διανοίᾳ ἐσκοτισμένος, οὐδὲ τῆς ζωῆς τοῦ Θεοῦ ἀπηλλοτριωμένος. μάθωμεν τοίνυν τὸν Χριστὸν, καὶ ἀκούσωμεν αὐτὸν καὶ διδαχθῶμεν ἐν αὐτῷ. οὐκ ἀπογνωστέον μέντοιγε καὶ τὸ διδαχθῆναι θείᾳ δυνάμει ὑποβαλλούσῃ τῷ νῷ ἡμῶν κεκαθαρμένον λόγον τὸν περὶ Χριστοῦ τέλειον καὶ ἀληθινὸν, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ. ἐδίδαξέ τί τὸ μαθεῖν τὸν Χριστὸν καὶ ἀκοῦσαι καὶ διδαχθῆναι, εἰπὼν, "καθώς ἐστιν ἀλήθεια "ἐν τῷ Ἰησοῦ·" ἡ γὰρ τῆς ἀληθείας πρωτότυπος οὐσία, ἐν τῷ Ἰησοῦ μόνῳ λέγοντι, "ἐγώ εἰμι ἡ ἀλήθεια." τὸ δὲ "ἀποθέσθαι "ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον," ἀσυνάρτητον ὂν, ὅρα εἰ δυνάμεθα οὕτως ἀποκαταστῆσαι· ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν, εἴγε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰηποῦ. ἵνα ὁ νοῦς ᾖ· ὅτι ὡς ἔστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ, οὕτως ἔσται καὶ ἐν ὑμῖν μαθοῦσι τὸν Χριστὸν, καὶ αὐτὸν ἀκούσασι καὶ ἐν αὐτῷ διδαχθεῖσιν, ἀποθεμένοις τὲ κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· "παλαιὸν δὲ ἄνθρωπον" ὃν δεῖ ἤδη ἀποθέσθαι, τὸν πεπαλαιωμένον ὑπὸ τῆς ἁμαρτίας λέγεσθαι νομιστέον· οὗτος γὰρ κατὰ τὴν προτέραν ἀναστροφὴν καὶ τὰς ἐπιθυμίας τῆς ἀπάτης διὰ τοῦ ἁμαρτάνειν καὶ μηδέποτε

ἀφθαρσίας τί ποιεῖν, ἀλλ' ὅλα τὰ τῆς φθορᾶς ἐργάζεσθαι, ἀεὶ φθείρεται. αἱ μὲν οὖν ἐπιθυμίαι τῆς ἀπάτης καὶ ἡ προτέρα ἀναστροφὴ, ἐνεργοῦσι τὸ φθείρεσθαι αὐτόν· καὶ οὐδέπω πάντῃ ἔφθαρται ὅσον ταῦτα ποιεῖ, ἀλλὰ φθείρεται· ὁ δὲ λόγος τοῦ Θεοῦ, οὐ φθείρει ἀλλ' ἀποκτείνει τὸν παλαιὸν ἄνθρωπον ἐπὶ τῷ ζωοποιῆσαι· "ἐγὼ γάρ," φησιν, "ἀποκτενῶ καὶ ζῆν ποιήσω·" καὶ "ὅταν ἀπέκτενεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτόν."

Ἔτι ζητήσεις, πῶς ὁ κατὰ τὴν κακίαν πεπαλαιωμένος παλαιὸς ἄνθρωπος λέγεται. καὶ μήποτε ὥσπερ ἀνακαινοῖ καὶ ἀνακτίζει ἡ ἀρετὴ, οὕτως ἡ ἐναντία αὐτῇ κακία παλαιοῖ· ὡς καὶ τῆς παλαιότητος σημεῖα γίνεσθαι περὶ τὴν ψυχὴν, οἱονεὶ τὰς ῥυτίδας, ὥσπερ γίνεται ἐπὶ τῶν γηρασκόντων σωμάτων. διὰ τοῦτο ἔνδοξον αὐτῷ παρίστησι τὴν Ἐκκλησίαν Χριστὸς, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων. ὅσον μὲν γὰρ ἔχει σημεῖα τῆς παλαιότητος, ἔχει καὶ τὴν ῥυτίδα· ὅταν δὲ ἀπόθηται τὸν παλαιὸν ἄνθρωπον ἅπαντα, ἀκμάζει καὶ πᾶσα ῥυτὶς ἐξαφανίζεται· ἀπάτης δέ ἐστιν ἐπιθυμία, ἡ μοχθηρὰ ἐπιθυμία καὶ ἡ φαύλη. "ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν. Εἰ χρὴ ἀνανεοῦσθαι κατὰ τὴν λέξιν ταύτην οὔτε ἁπλῶς ἐν τῷ πνεύματι, οὔτε ἐν τῷ νοΐ, ἀλλ' ἐν τῷ πνεύματι τοῦ νοὸς ὑμῶν," ζητητέον ἰδίᾳ, τίς ὁ νοῦς ἡμῶν, καὶ τί τὸ πνεῦμα αὐτοῦ· πρόσχες δὲ καὶ τῷ "ψαλῶ τῷ πνεύματι, ψαλῶ δὲ καὶ τῷ νοΐ· προσεύξομαι τῷ πνεύματι, προσεύξομαι καὶ τῷ νοΐ." ἐπιστήσει οὖν εἰ ὥσπερ ἐστὶ πολλὰ πνεύματα, καὶ ἕκαστον τινὶ ᾠκείωται, οὕτως ἐστὶν τί πνεῦμα ᾠκειωμένον ἡμῶν τῷ νοΐ· ὅπερ τοῦ νοὸς ἡμῶν ἀποκαθαιρομένου καὶ πᾶσαν ἀποβαλόντος ἀχλὺν, ᾠκειωμένον αὐτῷ ἀνανεοῖ ἡμᾶς. εἰ θέλομεν "ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα," νοήσωμεν τὸ "μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ· καὶ τὸ "ζῶ δὲ οὐκέτι ἐγώ· ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς," καὶ ἁπαξαπλῶς μορφωθέντα τὸν Χριστὸν ἐν ἡμῖν ὅλον καὶ κατὰ πᾶσαν πρᾶξιν δείξομεν.

25 Διὸ ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος *μετὰ τοῦ πλησίον αὐτοῦ.*

Οἱ *μὲν ἁπλούστεροι, πλέον τοῦ ἠθικοῦ οὐδὲν οἰήσονται λέγεσθαι ἐκ τοῦ λεγομένου· ἡμεῖς δὲ ἐναντίον εἶναι πειθόμενοι τῇ*

ἀληθείᾳ τὸ ψεῦδος, τὸ ἐναντίον τῇ καθηκόντως λαλουμένῃ ἀληθείᾳ πρὸς μόνον τὸν πλησίον ζητοῦμεν ψεῦδος ἀποθέσθαι, ὅπέρ ἐστιν ἡ ψευδοδοξία· ἔργον δὲ οὐ τυχόν ἐστιν πρὸς τὸ ἀποθέσθαι ἐκεῖνο τὸ ψεῦδος, καὶ τὸ οὕτως ψεῦδος ἀποθέσθαι· καὶ γὰρ δόκιμον δεῖ εἶναι τραπεζίτην καὶ πάντα δοκιμάζειν ἱκανὸν, ἵνα μόνον κατέχωμεν τὸ καλὸν, ἀπὸ δὲ παντὸς εἴδους πονηροῦ ἀπεχώμεθα· ἐναντίον δὲ τῷ κατὰ τὰς ψευδοδοξίας ψεύδει ἐστὶν ἡ σωτήριος ἀλήθεια· τὸ δὲ "λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ," εἴληπται ἀπὸ τοῦ Ζαχαρίου.

26 Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε.

Ὅτι ἀπὸ τοῦ τετάρτου ψαλμοῦ τοῦτο εἴληπται, δῆλον ἐστίν· δύο δὲ σημαίνεται ἐκ τῆς ὀργίζεσθαι φωνῆς· ἢ τὸ ἀπροαίρετον, ὅπέρ τινες ἐκάλεσαν προπάθειαν, ἥτις συμβήσεται καὶ τοῖς τελείοις ἀπροαίρετόν τι πάσχουσι κατὰ τὰ τοιάδε εἰς ὀργὴν προκαλούμενα συμπτώματα· ἕτερον δὲ, ὅταν ἤδη ἡ συγκατάθεσις παραδέχηται τὸ καθήκειν δεῖν τιμωρεῖσθαι τὸν ἠδικημένον νομιζόμενον· ὅπερ ὡς ἐφ' ἡμῖν τυγχάνον, κελεύει ἀποθέσθαι ὁ Ἀπόστολος ἡμᾶς. τὸ πρότερον οὖν τῶν σημαινομένων δηλοῦται ἐν τῷ "ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε," ἀντὶ τοῦ εἰ καὶ παρεδέξασθέ ποτε τὴν ὀργὴν, ἀλλ' ἄπρακτον καταλείψατε· τοῦτο γὰρ καὶ ὁ ἅγιος φησὶν Ἀθανάσιος.

Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.

Ἐὰν τὸν αἰσθητὸν ἥλιον ἀκούσωμεν λέγεσθαι, ἁμαρτησόμεθα, ὅτι ὀργιζόμεθα καὶ τηροῦμεν τὴν ὀργὴν, τοῦ ἡλίου δύνοντος· ὅπερ ἄτοπον εἶναι νομίζω. μήποτ' οὖν ὁ ἀληθινὸς ἥλιος ὥσπερ δύσεται ἐπὶ τοὺς πονηροὺς προφήτας κατὰ τὸ εἰρημένον, "δύσεται ὁ ἥλιος ἐπὶ τοὺς προφήτας ὑμῶν μεσημβρίας," οὕτως καὶ δύει ἐπὶ πάντας τοὺς ἁμαρτάνοντας, οὐ χαριζόμενος αὐτοῖς ἔτι ἁμαρτάνουσι τὴν ἰδίαν ἀνατολήν. ἐντέλλεται οὖν ἡμῖν ὁ Παῦλος μὴ ποιῆσαι τοιαῦτα κατὰ τὴν ὀργὴν, ὡς ἐπιδῦναι ἡμῖν τὸν ἥλιον, καὶ γενέσθαι ἐν ταῖς ψυχαῖς ἡμῶν νύκτα.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶ, μὴ ἀπερχέσθω εἰς ἀναξίους λάμψας ὁ ἥλιος· εἰ γὰρ ὁ μὲν δεσπότης ἀπὸ πολλῆς

ἀγαθότητος ἔπεμψεν, καὶ ἀφῆκέν σοι τὰ ἁμαρτήματα· σὺ δὲ τῷ πλησίον οὐκ ἀφίῃς, ὅρα πόσον τὸ κακόν;

27 Μὴ δὲ δίδοτε τόπον τῷ διαβόλῳ.

Τὸ ἀλλήλους πολεμεῖν, τόπον ἐστὶ δοῦναι τῷ διαβόλῳ· οὐδέποτε γὰρ οὕτως τόπον ἔχει ὁ διάβολος, ὡς ἐν ταῖς ἔχθραις· τὰ μυρία ἐντεῦθεν τίκτεται κακά· καὶ καθάπερ ἕως μὲν ὦσιν ἡρμοσμένοι λίθοι καὶ μηδὲν διάκενον ἔχοντες, ἑστήκασιν ἀρραγεῖς· ἐὰν δὲ ῥαγάδα τριχὸς ἐπέχουσαν τόπον συμβῇ γενέσθαι, τοῦτο πάντα καταλύει καὶ ἀπόλλυσιν, οὕτω καὶ ἐπὶ τοῦ διαβόλου· ἕως μὲν ἂν ὦμεν πεπυκνωμένοι, καὶ συνηρμοσμένοι, οὐδὲν ὅλως ἐπεισάγει τῶν αὐτοῦ· ἐπειδὰν δὲ μικρὸν ἡμᾶς διαχαυνώσῃ, καθάπέρ τις χειμάρρους ἐπεισχέεται· πανταχοῦ γὰρ ἀρχῆς αὐτῷ χρεία μόνης.

Ὠριγένης δέ φησιν, ὅμοιον τοῦτο ἐστὶ, τῷ ἐν τῷ Ἐκκλησιαστῇ εἰρημένῳ, "ἐὰν πνεῦμα τοῦ ἐξουσιάζοντος ἀναβῇ ἐπί σε, "τόπον σου μὴ ἀφῇς· ὅτι ἴαμα καταπαύσῃ ἁμαρτίας μεγάλας." τόπον δὲ δίδομεν τῷ διαβόλῳ ἢ τῷ ἐξουσιάζοντι πνεύματι ἀναβάντι ἐφ' ἡμᾶς, ὅτε οὐ πεπλήρωται ἡμῶν τὸ ἡγεμονικὸν ἁγίων μαθημάτων ἢ τῆς σωτηρίου πίστεως, καὶ λογισμῶν διαφερόντων καὶ συμβουλευόντων ἡμῖν τὰ ἄριστα· κατὰ γὰρ τὸν [πατέρα Ἰωάννου] Ζαχαρίαν, "ἐπὶ τὰ κλίματα τῆς ψυχῆς ἐπισκηνοῖ ὁ Σατανᾶς," καὶ αἱ τοιαίδε συγκαταθέσεις, τοῖς χείροσιν αἱ ῥοπαὶ ἐπὶ τὰς συγκαταθέσεις προκαλοῦνται τὸν διάβολον εἰσελθεῖν ἡμῶν εἰς τὰς ψυχάς· καὶ ἐπὶ τοῦ Ἰούδα γοῦν γέγραπται τοῦ προδότου, "πρότερον μὲν τοῦ διαβόλου ἤδη βεβληκότος εἰς τὴν καρδίαν ἵνα "παραδῷ αὐτὸν Ἰούδα Σίμωνος Ἰσκαριώτου·" μετὰ δὲ ταῦτα ὅτι "μετὰ τὸ ψωμίον εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς." ὡς εἰσβεβληκότος τοῦ διαβόλου εἰς τὴν καρδίαν Ἰούδα, ἵνα παραδῷ τὸν Κύριον. πρὸς τὸ βληθὲν στὰς ὁ Ἰούδας ἦν, οὐκ ἂν ὕστερον εὑρήκει τόπον εἰς αὐτὸν εἰσελθεῖν ὁ Σατανᾶς [p].

28 Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ καὶ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσὶν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι.

p Ultima valde mutila sunt.

Ἐπείπερ ἐν ταῖς τοῦ βίου πραγματείαις ἀναστρεφόμενοι, προφάσει τοῦ πορισμοῦ τῶν ἐπιτηδείων, καὶ πολλοὶ τῶν πεπιστευκέναι νομιζομένων, κἂν δοκῶσι καθαρεύειν ἀπὸ εἰδωλολατρείας καὶ πάσης πορνείας, οὐκ εὐκόλως ἀφίστανται τοῦ βλέπειν ἐν τῷ ὠνεῖσθαι καὶ πιπράσκειν καὶ συμπραγματεύεσθαί τισι, διὰ τοῦτο οὐκ ὤκνησεν ὡς ἔτι κλεπτόντων καὶ ταῦτα ἐν Ἐφέσῳ τινῶν οἱονεὶ ἐλέγξαι, ὡς εἰδὼς τοὺς τοιούτους· τὸν δὲ δίκαιον πορισμὸν δηλοῖ αὐτοῦ, τὸ "ἐργαζόμενος τὸ ἀγαθόν·" τῶν μὲν ἀδίκως ποριζόντων, οὐ τὸ ἀγαθὸν, ἀλλὰ τὸ πονηρὸν ἐργαζομένων· τῶν δὲ μετ' εὐλαβείας περιποιούντων αὐτοῖς τὰ ἀναγκαῖα, καὶ ἐν τούτῳ τὸ ἀγαθὸν ἐργαζομένων.

Χρυσοστόμου. Ὁ μακάριος Ἰωάννης φησὶ, ποῦ οἱ καθαροὶ οἱ λεγόμενοι, οἱ παντὸς ῥύπου γέμοντες, καὶ τοῦτο ἑαυτοὺς ὀνομάζειν τολμῶντες; ἔτι γάρ ἐστιν ἀπολύσασθαι τὸ ἔγκλημα· οὐ τὸ στῆναι μόνον τοῦ ἁμαρτήματος, ἀλλὰ καὶ τὸ ἀγαθόν τι ἐργάσασθαι· ὁρᾶτε πῶς ἀπολύεσθαι τὰ ἁμαρτήματα χρή; ἔκλεψαν; τοῦτο ἔστι τὸ ἁμάρτημα· οὐκ ἔκλεψαν; τοῦτο οὐκ ἔστι τὸ ἁμάρτημα λῦσαι· ἀλλὰ πῶς; ἐκοπίασαν καὶ ἑτέροις μετέδωκαν, οὕτως ἔλυσαν τὰ ἁμαρτήματα· οὐχ ἁπλῶς ἡμᾶς ἐργάζεσθαι βούλεται, ἀλλ' ὥστε κοπιᾶν· ὥστε καὶ ἑτέροις μεταδιδόναι.

29 Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω.

Τί ἐστι σαπρός; ὅν φησι καὶ ἀργόν· καταλαλία, αἰσχρολογία, εὐτραπελία, μωρολογία· ὁρᾷς πῶς τὰς ῥίζας ἐκκόπτει τῆς ὀργῆς, τὸ ψεῦδος, τὴν κλοπὴν, τὴν ἄκαιρον διάλεξιν· τὸ δὲ "μηκέτι "κλεπτέτω," οὐκ ἐκείνοις συγγινώσκων τοιοῦτό φησιν, ὅσον τοὺς ἠδικημένους πρᾴους καθιστῶν, καὶ τὸ μηκέτι τὰ αὐτὰ παθεῖν ἀρκεῖσθαι παραινῶν· οὐ γὰρ πραγμάτων μόνον, ἀλλὰ καὶ ῥημάτων τίνομεν δίκας.

Ὠριγένης φησὶν, ἀγαθὸς λόγος ἐστὶ πρὸς οἰκοδομὴν τῆς χρείας, διδοὺς "χάριν τοῖς ἀκούουσιν," ὁ διδασκαλικὸς, καὶ ἐπ' ἀρέτην μὲν προτρεπτικὸς, κακίας δὲ ἀποστερητικός· "σαπρὸς" δὲ, ὁ συναύξων τὴν κακίαν καὶ ἐρεθίζων ἐπὶ τὰ χείρονα.

30 Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως.

Εἴπερ ἡ λύπη πάθος ἐστὶ, καὶ καλῶς ἀποδίδοται περὶ αὐτῆς, ὅτι ἔστι δόξα πρόσφατος κακοῦ παρουσίας ἐφ' ᾧ καθήκει συστέλλεσθαι· οὔτε δὲ δοξάζει τὸ Ἅγιον Πνεῦμα, οὔτε ἵνα δοθῇ δοξάζειν, δοξάζει τὸ κακὸν αὐτῷ παρεῖναι, οὐ λυπήσεται τὸ Ἅγιον Πνεῦμα. μήποτ' οὖν τὸ ὅσον ἐφ' ἡμῖν τάδε πράττοντες, λυποῦμεν τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ. καὶ ὁ Κύριος δέ φησιν ἐν τῷ Ἰεζεκιήλ· "καὶ "ἐν πᾶσι τούτοις ἐλύπησέ με τάδε πολλάκις ἡμῖν εἰρημένα." ἃ περὶ ὀργῆς καὶ θυμοῦ, ὕπνου τὲ καὶ τῶν ἀνθρωποπαθῶν φωνῶν χρήσιμα. καὶ εἰς τὸν λόγον τὸν περὶ τοῦ "μὴ λυπεῖτε τὸ Πνεῦμα "τὸ Ἅγιον τοῦ Θεοῦ." ἐσφραγίσθημεν δὲ τῷ Ἁγίῳ Πνεύματι, ἵνα τὸν τύπον τοῦ Ἁγίου Πνεύματος δεξάμενοι, ἀμερίστου μείναντος τοῦ σφραγίσαντος, τοὺς τύπους λάβοντες τοῦ Ἁγίου Πνεύματος, ἅγιοι γενώμεθα, καὶ τὸ πνεῦμα τοῦ ἀνθρώπου καθέκαστον ἡμῶν τὸ ἐν ἡμῖν ἅγιον γένηται· οἶμαι δὲ ὅτι καὶ ἡ ψυχή. τῷ Πνεύματι μὲν οὖν τῷ Ἁγίῳ ὁ σφραγιζόμενος σφραγίζεται, ὁ δὲ Θεός ἐστιν ὁ σφραγίζων. σφραγίζεται δὲ ὑπὸ τοῦ Πατρὸς τῷ Ἁγίῳ Πνεύματι πᾶς ὁ ἐκ τοῦ πιστεύειν τῷ Θεῷ σφραγίσας ὅτι ἀληθής ἐστιν ὁ Θεός· καὶ σφραγίζεται, ἵνα τηρήσας τὴν σφραγίδα καὶ δείξας αὐτὴν ἐν ἡμέρᾳ ἀπολυτρώσεως ἄθραυστον, τοῖς ἀπολυτρουμένοις συναριθμηθῇ.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησί· τοῦτο λέγει, ὅπερ καὶ ἐν τῇ πρὸς Θεσσαλονικέας, φησὶν, ἐν Ἐπιστολῇ· "ὁ γὰρ "ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν·" οὕτω καὶ ἐνταῦθα· ἂν εἴπῃς ὑβριστικὸν ῥῆμα· ἂν πλήξῃς τὸν ἀδελφὸν, οὐκ ἐκεῖνον ἔπληξας, ἀλλὰ τὸ Πνεῦμα ἐλύπησας· εἶτα καὶ ἡ προσθήκη τῆς εὐεργεσίας, ἵνα μείζων γένηται ἡ κατηγορία· "καὶ μὴ λυπῆτε "τὸ Πνεῦμα τὸ Ἅγιόν," φησιν, "ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν "ἀπολυτρώσεως." τοῦτο ἡμᾶς ἔδειξεν ἀγέλην βασιλικὴν, τοῦτο ἡμᾶς πάντων τῶν πρώτων ἀπέστησε· τοῦτο οὐκ ἀφῆκεν ὑποκεῖσθαι μετὰ τῶν ὑπευθύνων τῆς ὀργῆς τοῦ Θεοῦ, καὶ σὺ αὐτὸ λυπεῖς; ὁρᾷς πῶς ἐκεῖ μὲν φοβερῶς, "ὁ γὰρ ἀθετῶν," φησὶν, οὐκ "ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεόν·" ἐνταῦθα δὲ ἐντρεπτικῶς καὶ

δυσωπητικῶς, "μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον," φησὶν, "ἐν ᾧ "ἐσφραγίσθητε;" ἡ σφραγὶς αὕτη ἐπὶ τοῦ στόματος κείσθω· μὴ ἀνέλῃς τὰ σήμαντρα. στόμα πνευματικὸν οὐδὲν τοιοῦτον φθέγγεται ἀνάξιον τοῦ χαρίσματος. ὁ Θεὸς δὲ τῆς εἰρήνης, φυλάξει ἡμῶν καὶ τὸν νοῦν καὶ τὴν γλῶσσαν, καὶ τειχίσει ἀσφαλεῖ τειχίῳ, τῷ αὐτοῦ φόβῳ· ἐν Ἰησοῦ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Τριὰς μονὰς, ἐλέησον. τόμος β'.

ΤΟΜΟΣ Γ.

Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ
31 *βλασφημία ἀρθήτω ἀφ' ὑμῶν, σὺν πάσῃ κακίᾳ.*

Ὠριγένης φησὶ, γενικὸν μὲν τινὲς πάθος ᾠήθησαν εἶναι τὴν ὀργὴν, καὶ αὐτὴν τάξαντες ὑπὸ γένος τὴν ἐπιθυμίαν. καὶ ὅρον γε ἀποδεδώκασι τῆς ὀργῆς τοιοῦτον. ὀργή ἐστιν ἐπιθυμία πονηρίας τοῦ δοκοῦντος οὐ προσηκόντως ἠδικηκέναι. εἴδη δὲ πολλὰ τῆς ὀργῆς ἀναγράψαντες, συγκατατάττουσιν αὐτοῖς, τὴν πικρίαν μὲν εἶναι ὀργὴν δυσπαράδεκτον, ἢ παραχρῆμα ἐκρηγνυμένην. εἰλῆφθαι δέ φασι τὸ δυσπαράδεκτον κατὰ τὸ μὴ ῥᾴδιον αὐτὴν εἶναι τοῖς ἐκτὸς προσδέχεσθαι· θυμὸν δὲ ὀργὴν ἐναρχομένην. ἔοικε δὲ ἡ γραφὴ σφόδρα πολλαχοῦ διαφορὰν εἰδέναι θυμοῦ καὶ ὀργῆς, ὥσπερ καὶ ἐν τῷ "Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με·" οὐχ ὁμοίως δὲ ὁριούμεθα τὸν ἐλέγχοντα θυμὸν Θεοῦ, καὶ τὸν θυμὸν διαρθῆναι ἀφ' ὑμῶν· οὐδὲ τὴν παιδεύουσαν ὀργὴν Κυρίου, καὶ τὴν ἡμετέραν τροπικώτερον εἴρηται· τὰ δὲ περὶ ἡμῶν ὀνομαζόμενα ὁμολογουμένως πάθη ἐστὶ καὶ ἁμαρτήματα. κεῖται δὲ τὸ ὄνομα τῆς πικρίας καὶ ἐν τῷ Ἱερεμίᾳ, "καὶ ἡ πικρία γάρ σου," φησὶν, ἀνέβη πρός με." οἶμαι οὖν πικρίαν μὲν νῦν λέγεσθαι παρὰ τῷ Ἀποστόλῳ, καθὸ λέγομεν τινὰς πικροὺς ἐναντίους τοῖς γλυκέσι· καὶ ἡ συνήθεια γὰρ γλυκεῖς ἀνθρώπους οἶδε καὶ πικρούς. θυμὸν δὲ τὴν ἐναρχομένην ἐπί τινα γενέσθαι ὀργὴν ἐν τῇ ψυχῇ. ὀργὴν δὲ

τάχα οὐ τὸ γένος τούτων καὶ ἑτέρων παραπλησίων, ἀλλὰ τὴν ἤδη ἑτοίμην καὶ ἐνεργητικὴν πρὸς τὴν τιμωρίαν τοῦ ἠδικηκέναι νομιζομένου. καὶ ὡς ἐπίπαν παρακολουθεῖ τοῖς πάθεσι τούτοις ἡ κραυγὴ, κεκραγότων τῶν πικραινομένων καὶ θυμουμένων καὶ ὀργιζομένων, καὶ θορυβωδέστερον λαλούντων, καὶ προφερομένων λόγους καὶ πικρίας καὶ θυμοῦ καὶ ὀργῆς. διὸ πρὸς τοῖς προτέροις κεκραυγητέον[q], ἀσκητέον ἀρθῆναι ἀφ' ἡμῶν, ἣν προσφέρονται ἀπὸ παθῶν ὀργιζόμενοι πολλάκις, οἱ κατὰ τοῦ θείου τολμῶντες ἐν τῷ καιρῷ τῆς ὀργῆς λαλεῖν, ὅταν πᾶσα ἡ κατηγορία περὶ οὗτινος οὖν λαμβάνηται αὖθις ἐν τῇ βλασφημίᾳ. βλασφημεῖν γὰρ λέγονται οἱ κακῶς λέγοντες ἐκείνους, οὓς λέγουσι κακῶς, ἀκολούθως τοῖς περὶ πικρίας καὶ θυμοῦ καὶ ὀργῆς καὶ κραυγῆς.

Λέγεται δεῖν ἀποτίθεσθαι καὶ τὴν βλασφημίαν· εἰ μέντοι γε καὶ τὴν βλασφημίαν τάσσοιμεν ἐπὶ πάσης φωνῆς τῆς κακῶς τὸ θεῖον λεγούσης, οὐ μόνον ἐκ λύπης καὶ ὀργῆς κατὰ τοὺς καιροὺς τῆς δυσαρεστήσεως δυσφημούντων τῶν ἀνθρώπων, ἀλλὰ πολλάκις καὶ κατὰ ἄγνοιαν τοῦ περὶ ἀληθείας λόγου, ὡς δῆλον ἐκ τῶν παρὰ τοῖς ἑτεροδόξοις δογμάτων. βλασφημεῖ δὲ καὶ ὁ τὸν ἀληθῆ λόγον ψευδῆ ἀποφαινόμενος εἶναι, ἢ τὸν ψευδῆ ἀληθῆ, καὶ μάλιστα περὶ Θεοῦ καὶ τῶν τοῦ Θεοῦ πραγμάτων. τίς οὖν οὕτως δόκιμος τραπεζίτης, ὡς εἰδέναι πάντα δοκιμάζειν, καὶ τὸ μὲν καλὸν κατέχειν, ἀπὸ δὲ παντὸς εἴδους πονηροῦ ἀπέχεσθαι; ἐπεὶ δέ τινες οἴονται εὐλόγως ποτὲ γίνεσθαι ὀργὴν, μὴ καλῶς προστιθέντες τῷ Εὐαγγελίῳ τὸ "εἰκῆ" κατὰ τὸ ῥητὸν, "ὃς ἂν ὀργισθῇ τῷ ἀδελφῷ αὐτοῦ, ἔνοχος "ἔσται τῇ κρίσει·" ἀνέγνωσαν γάρ τινες, "ὃς ἐὰν ὀργισθῇ τῷ "ἀδελφῷ αὐτοῦ εἰκῆ," δυσωπήσωμεν αὐτοὺς ἐκ τοῦ προκειμένου ῥητοῦ, λέγοντες, "πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ, καὶ κραυγὴ, "καὶ βλασφημία ἀρθήτω ὑφ' ὑμῶν·" σαφῶς γὰρ ἐνθάδε ἡ πᾶσα φωνὴ κατὰ κοινοῦ ἐπὶ πάντων εἴρηται, ὡς μηδεμιᾶς πικρίας συγχωρουμένης, μηδὲ θυμοῦ τινος ἐπιτρεπομένου, μηδὲ ὀργῆς τινος εὐλόγως συνερχομένης. καὶ ἐν τριακοστῷ ἕκτῳ ψαλμῷ, ὡς πάσης ὀργῆς ἁμαρτίας οὔσης, ὁμοίως δὲ καὶ θυμοῦ, λέγεται, "παῦσαι "ἀπὸ ὀργῆς καὶ ἐγκατάλειπε θυμόν." οὐκοῦν οὐκ ἔστι ποτὲ εὐλόγως ὀργισθῆναί τινι, καὶ οὐ μόνον γε πᾶσαν κακίαν καὶ πάντα

[q] Forsan rep. καὶ κραυγήν.

θυμὸν, καὶ πᾶσαν ὀργὴν, καὶ πᾶσαν βλασφημίαν φιλοπονητέον ἀρθῆναι ἀφ᾽ ἡμῶν, ἀλλὰ ταῦτα σὺν πάσῃ τῇ κακίᾳ. κακίαν δὲ ἐκλαμβάνομεν, ἢ τὴν ἐναντίαν ἕξιν τῇ ἀρχῇ, ἢ τὴν πονηρίαν.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶ, πικρίαν εἶναι τὴν ὕπουλον καὶ δολερὰν κατάστασιν, ὡς ἐπὶ τῶν κυνῶν τῶν ὑλακτούντων, ἀλλὰ καὶ περισαινόντων καὶ λαθραίως δακνόντων.

32 Γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ἡμῖν.

Ὠριγένης φησὶ, ἡμεῖς μὲν τὸ ἐναντίον τῷ πικρῷ γλυκὺ ὠνομάσαμεν. ἔοικε δὲ ὁ Παῦλος τὴν ἐναντίαν τάξιν τῇ πικρίᾳ χρηστότητα νῦν λέγειν μεταφορικῶς ἀπὸ τῶν βρωμάτων· οὕτως οὖν δυνάμεθα νοεῖν τὸ "γίνεσθε εἰς ἀλλήλους χρηστοὶ," ἀντὶ τοῦ εὐπρόσιτοί τινες καὶ κατὰ τὸ ἦθος γλυκεῖς τε καὶ προσηνεῖς. τοῦτο δὲ γίνεται εἰ τὸ ὠμὸν καὶ ἀνηλεὲς καὶ ἀσυμπαθὲς πρὸς τὸν πλησίον ἀποθέμενοι, εὔσπλαγχνοι πρὸς πάντας γινόμεθα· διὰ τούτων οὐ μόνον τοῖς πέλας, ἀλλὰ καὶ ἑαυτοῖς τὰ μέγιστα χαριζόμενοι· ἑαυτοῖς ἑτέρου ὄντος, παρὰ τὸ χαριζόμενοι ἀλλήλοις, ἐπείπερ ὅσα ἂν ἐν τῷ εὐεργετεῖν ποιῶμεν ἑτέρους καλῶς, ταῦτα καὶ διὰ τὸ τέλος καὶ διὰ τὸ συσσώμους ἡμᾶς εἶναι μᾶλλον εἰς ἡμᾶς ἀναφέρεται, ἤπερ εἰς οὓς δοκοῦμεν εὖ πεποιηκέναι. ταῦτα δὲ ἑαυτοῖς χαριζόμεθα, ὅσα καὶ ὁ Θεὸς ἡμῖν ἐν Χριστῷ ἐχαρίσατο, οἱονεὶ παραδεχόμενοι αὐτὰ καὶ τηροῦντες· καὶ μιμούμενοι τὸν χαρισάμενον, καὶ τὸν τρόπον τοῦ χαρίζεσθαι αὐτόν.

Ἄλλος δέ τις, μηδὲν ἡγούμενος διαφέρειν τὸ χαριζόμενοι ἑαυτοῖς τοῦ χαριζόμενοι ἀλλήλοις, ἰσοδυναμοῦν οἰήσεται λέγεσθαι τὸ χαριζόμενοι ἀλλήλοις, μάλιστα διὰ τὸ "καθὼς ὁ Θεὸς ἐν Χριστῷ "ἐχαρίσατο ἡμῖν," καὶ ἐνέγκε ταῦτα, ἐπὶ τὴν ἄφεσιν τῶν ἁμαρτημάτων, λέγων, δεῖν ἡμᾶς ἀφιέναι τοῖς εἰς ἡμᾶς ἁμαρτάνουσιν, ὡς καὶ ἡμῖν ἀφῆκε τὰ ἁμαρτήματα ὁ Θεός. πῶς δὲ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ἡμῖν τὰ ἁμαρτήματα; ἢ ὅτι ἐν Χριστῷ ὢν ὁ Πατὴρ ἀφῆκεν ἡμῖν τὰ παραπτώματα· ἐν Χριστῷ δὲ ἐχαρίσατο ἡμῖν καὶ τὰ ἀγαθά· εἴ γε ἐν Χριστῷ σοφία ἐστὶν, ἣν ἐχαρίσατο ἡμῖν, καὶ ἀλήθεια καὶ δικαιοσύνη.

(Χρυσοστόμου.) Ὁ δὲ μακάριος Ἰωάννης φησὶ, καὶ τοῦτο μέγα ἔχει αἴνιγμα, οὐχ ἁπλῶς ἀκινδύνως ἐχαρίσατο, φησὶν, ἀλλὰ μετὰ τοῦ κινδύνου τοῦ Υἱοῦ. ἵνα σοὶ συγγνῷ, τὸν Υἱὸν ἔθυσε. σὺ δὲ πολλάκις τὸ ἀδάπανον καὶ ἀκίνδυνον ὁρῶν, τὴν συγχώρησιν οὐ ποιῇ.

Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά·
1 καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν
2 ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ, εἰς
ὀσμὴν εὐωδίας.

Ἵνα μὴ νομίσῃς ἀνάγκης εἶναι τὸ πρᾶγμα, ἄκουσον τί φησιν, ὅτι ἑαυτὸν παρέδωκεν. ὡς ὁ δεσπότης σε ἠγάπησεν, ἀγάπησον σὺ τὸν φίλον, μᾶλλον δὲ οὐδὲ οὕτως δυνήσῃ, πλὴν ἀλλ' ὡς δύνασαι. ἰδοὺ καὶ ἄλλη παράκλησις εὐγενεστέρα, "ὡς τέκνα ἀγαπητὰ," φησί· καὶ ἄλλην ἔχετε ἀγάπην τοῦ μιμεῖσθαι αὐτὸν, οὐ τὸ παθεῖν δὲ μόνον, ἀλλὰ καὶ τὸ τέκνα καλεῖσθαι, καὶ ἀγαπητά. ἐπειδὴ γὰρ οὐ πάντες τοὺς πατέρας μιμοῦνται, ἀλλὰ τὰ ἀγαπητὰ," διὰ τοῦτό φησιν, "ὡς τέκνα ἀγαπητά·" καὶ "περιπατεῖτε ἐν ἀγάπῃ." ἰδοῦ πάντων ἡ ὑπόθεσις ταύτης οὔσης οὐκ ὀργὴ, οὐ θυμὸς, οὐ κραυγὴ, οὐ βλασφημία, ἀλλὰ πάντα ἀνῄρηται. διὸ ὕστερον τὸ κεφάλαιον τίθησι· διὰ ταύτης ἐσώθης, διὰ ταύτης Υἱὸς γέγονας, "καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς," σὺ τῶν φίλων φείδῃ, ἐκεῖνος τῶν ἐχθρῶν. οὐκοῦν πολλῷ μεῖζον τὸ παρὰ τοῦ δεσπότου γενόμενον; τὸ γὰρ καθὼς ποῦ σώζεται, ἢ δηλονότι ἐὰν τοῖς ἐχθροῖς καὶ ἡμεῖς εὖ ποιῶμεν. "καὶ παρέδωκεν ἑαυτὸν προσφορὰν "καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας." ὁρᾷς τὸ ὑπὲρ ἐχθρῶν παθεῖν, ὅτι ὀσμὴ εὐωδίας ἐστι, θυσία εὐπρόσδεκτος; κἂν ἀποθάνῃς, τότε ἔσῃ θυσία. τοῦτο μιμήσασθαι ἐστὶ τὸν Θεόν.

Πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα ἢ πλεονεξία μηδὲ
3 ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις· καὶ αἰσχρό-
4 της, καὶ μωρολογία, ἀλλὰ μᾶλλον εὐχαριστία.

Μὴ εἴπῃς ἀστεῖα, μὴ αἰσχρὰ, μηδὲ πράξῃς, καὶ κατέσβεσας τὴν φλόγα· "μηδὲ ὀνομαζέσθω παρ' ὑμῖν," φησί· τουτέστι, μηδαμοῦ μηδὲ φαινέσθω· οἱ γὰρ λόγοι τῶν πραγμάτων εἰσὶν ὁδοί. εἶτα ἵνα μὴ δόξῃ φορτικός τις εἶναι καὶ βαρὺς, καὶ εὐτραπελίαν ἐκκόπτων, ἐπήγαγε καὶ τὴν αἰτίαν, εἰπὼν τὰ μὴ ἀνήκοντα· ταῦτα

οὐδὲν πρὸς ἡμᾶς, φησὶν, "ἀλλὰ μᾶλλον εὐχαριστία." τί ὠφελεῖ τὸ ἀστεῖον εἰπεῖν; γέλωτα ἐκίνησας μόνον· μηδεὶς ἔστω λόγος ἀργός· οὐ διαχύσεως ὁ παρὼν καιρὸς, ἀλλὰ πένθους. ὁ Χριστὸς ἐσταυρώθη διὰ τὰ σὰ κακὰ, σὺ δὲ γελᾷς;

Ὠριγένης δέ φησιν, ἡ μὲν πρὸς πόρνην κοινωνία, κατὰ τὸ ἔθος τῆς γραφῆς πορνεία ὀνομάζεται· πᾶσα δὲ ἡ κατὰ τὸν τόπον τῶν σαρκικῶν γαργαλισμῶν ἁμαρτία, οὐ μόνον κατὰ τὰς μοιχείας καὶ παιδοφθορίας, ἀλλὰ καὶ κατὰ τὰ ἄλλα, ὅσα ἐπενόησεν ἡ ἀνθρωπίνη ἀκολασία, ἐν διαφόροις καὶ παντοδαπαῖς παρατριβαῖς, ἀκαθαρσία γενικῶς ὠνόμασται. τὴν πλεονεξίαν δὲ ἤτοι ἁπλούστερον ἐκδεικτέον, ἢ ὡς ἐν ἄλλοις παρεστήσαμεν τὴν μοιχείαν· ὅτε καὶ ἐχρησάμεθα τῷ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἕκαστον τὸν ἀδελφὸν αὐτοῦ. πᾶσαν δὲ τὴν ἀκαθαρσίαν δεῖ φυλάξασθαι, ἐπεὶ τοῦτο πρέπει ἁγίοις· αἰσχρότης δέ τίς ἐστι, καθ' ἕκαστον εἶδος ἀκολασίας· καὶ ὁμοίως γε αἰσχρότης ἐστὶ καὶ ἀκαθαρσία· ἐμφαίνει γὰρ καὶ τὸ ἀκάθαρτον καὶ τὸ αἰσχρὸν ἑκάστη πρᾶξις ἡ κατὰ τὸν τόπον τῆς εἰς τὸ ἀποκρίνειν ἐνεργείας· ταῦτα δὲ ἐπὶ τῶν παρὰ φύσιν λεκτέον, οὐκ ἐπὶ τοῦ γάμου. Ἴδωμεν δὲ τίς καὶ ἡ μωρολογία, ἣν καὶ αὐτὴν οὐδὲ ὀνομάζεσθαι χρὴ ἐν τοῖς ἁγίοις. καὶ ὁ μὲν οὖν τις φήσει ἁπλούστερον τὴν λέξιν ἐξειληφὼς, μωρολογίαν εἶναι τὴν ἀσκουμένην ὑπὸ τῶν μωρολόγων καὶ γελωτοποιῶν· ὅρα δὲ μὴ μωρολογεῖν λεκτέον, καὶ τοὺς ὁτιδήποτε σοφίας καὶ συνέσεως ἠλλοτριωμένον πάντας, καὶ μωρὸν ἐν τοῖς δογματιζομένοις ὑπ' αὐτῶν. δόξει δὲ συνᾴδειν τῷ ἁπλούστερον ἐκδέξασθαι τὴν μωρολογίαν, ἡ ἐπιφερομένη αὐτῇ εὐτραπελία, ἥντινα ἰδιωτῶν συνήθεια τάσσει, ἀπὸ τῶν οὐ μόνον ἀπὸ μωρολογίας, ἀλλὰ καὶ ἀφ' οἱασδήποτε αἰτίας γέλωτα κινούντων. οὐκ ἀνῆκε δὲ τοῖς ἁγίοις οὐδὲ αὐτὴ, ἀλλὰ μᾶλλον ἡ ἐν πᾶσι πρὸς Θεὸν εὐχαριστία. ἥγ' οὖν εὐχαριστία, καθ' ἣν εὐχαρίστους καὶ χαρίεντας τινὰς φαμέν. μωρολόγον μὲν οὖν καὶ εὐτράπελον οὐ δεῖ εἶναι, εὐχάριστον δὲ καὶ χαρίεντα· καὶ ἐπεὶ ἀσύνηθές ἐστι τὸ εἰπεῖν, "ἀλλὰ μᾶλλον εὐχαριστία·" τάχα ἀντὶ τούτου ἐχρήσατο τῇ ἐπ' ἄλλου κειμένῃ λέξει, καὶ εἶπεν, "ἀλλὰ μᾶλλον εὐχαριστία·" καὶ μή ποτε ἔθος ἐστὶ τῷ ὀνόματι τῆς εὐχαριστίας, καὶ τοῦ εὐχαρίστου τοὺς ἀπὸ Ἑβραίων χρῆσθαι, ἀντὶ τῆς εὐχα-

ριστίας καὶ εὐχαρίτου· τοιοῦτο δὲ ἐνομίσαμεν εἶναι καὶ τὸ ἐν Παροιμίαις οὕτως εἰρημένον, “γυνὴ εὐχάριστος ἐγείρει ἀνδρὶ “δόξαν,” ἀντὶ τοῦ εὐχάριτος γυνή· ὀνομάζεσθαι δὲ ἂν ἐδόξαμεν τὸ “γυνὴ εὐχάριστος” ἀντὶ τοῦ εὐχάριτος ἐκλαμβάνοντες, εἰ μὴ αἱ λοιπαὶ ἐκδόσεις συνῇδον ταύτῃ τῇ ἐκδοχῇ. ὁ μὲν γὰρ Ἀκύλας οὕτως ἡρμήνευσε· “γυνὴ χάριτος ἀντέχεται δόξης.” Θεοδοτίων δὲ καὶ Σύμμαχος, “γυνὴ χάριτος ἀνθέξεται δόξης.”

5 Τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος, ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ.

Παρατηρητέον *ὅτι ἓξ ἀπαγορεύσας ἁμαρτήματα, πορνείαν καὶ ἀκαθαρσίαν, καὶ πλεονεξίαν, καὶ αἰσχρότητα, καὶ μωρολογίαν, καὶ εὐτραπελίαν, οὐ κατὰ τὰ ἓξ ἐπιφέρει, ὥστε τὸν ἐνεχόμενον τινὶ αὐτῶν μὴ ἔχειν κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ, ἀλλὰ τρία, λέγω δὲ πορνείαν, καὶ ἀκαθαρσίαν πᾶσαν, καὶ πλεονεξίαν. εἰ γὰρ μὴ εἶχον κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ, καὶ ὁ μωρολογίᾳ καὶ εὐτραπελίᾳ ἔνοχος, ὠμότερον ἂν τινι ἐφαίνετο τὸ κατὰ τὴν κρίσιν ἐπὶ μηδενὶ συγγινώσκουσαν τῇ ἀσθενεῖ ἡμῶν φύσει. ἄλλως μὲν γὰρ οὐδὲ ταῦτα ἀνῆκε, πλὴν οὐχ ὥστε πραττομένων αὐτῶν ἐκπίπτειν τινὰ τῆς κληρονομίας τοῦ Χριστοῦ καὶ Θεοῦ· λείπει καὶ περὶ τῆς αἰσχρότητος ἐπιστῆσαι δόξαις ἀρὰν εὔλογον εἶναι τὸ λέγεσθαι, πᾶς πόρνος ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ἢ αἰσχρὸς οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ· ἀλλὰ μήποτε ἡ αἰσχρότης ἐστιν ἐν τῷ κατὰ τὸ κρυπτὸν μόνον παθητικῶς μεμολυσμένῳ, ᾗ καὶ πυρωθεὶς τίς ἀνέστειλε τὴν ἐπὶ τὴν πορνείαν, ἢ τὴν ἐπὶ τὴν ἀκαθαρσίαν ὁρμήν· καὶ ἐν τοῖς ἀνωτέρω δὲ, τὰ μὲν κωλύοντα κληρονομίαν ἔχειν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ τοῦ Θεοῦ, κατ' ἰδίαν ὀνομάσας φησὶ, “μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν.” Εἶτα ἐν ἰδίᾳ χώρᾳ διῃρημένῃ ἀπὸ τῶν προτέρων ἐπήνεγκε τὴν αἰσχρότητα καὶ μωρολογίαν καὶ εὐτραπελίαν. ἐπειδὴ δὲ ἐν τοῖς ἀνωτέρω ὑπενοήσαμεν τὴν πλεονεξίαν τετάχθαι ἐπὶ τῆς μοιχείας, ζητοῦμεν ἐκ τοῦ “ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης·” πότερον ἀνατρέπεται ἐκείνη ἡ ἐκδοχὴ, ἢ ἔτι δύναται χώραν ἔχειν. εὕρομεν δὴ πολ-*

λαχοῦ τῶν προφητῶν τὴν εἰδωλολατρίαν πορνείαν ὠνομασμένην, ἐν τῷ "ἐπόρνευον ὀπίσω τῶν εἰδώλων αὐτῶν." δύναται δέ τις καὶ τὴν πορνείαν τάξαι ἐπὶ τῆς εἰδωλολατρίας, ἐκ τοῦ λέγειν, "πνεύ-"ματι πορνείας ἐπλανήθησαν." ἐὰν δὲ πλεονέκτης ᾖ, ὁ ὅθεν μὴ δεῖ περιποιῶν ἑαυτῷ ἀργύριον, εἰδωλολατρία λέγεται ἡ πλεονεξία, οἱονεὶ λατρευόντων τοῖς ἐγγεγραμμένοις εἰδώλοις ἐν τοῖς ἀργυρίοις· καὶ τὰ ἐν αὐτοῖς ἐντετυπωμένα εἴδωλα, οἶμαι δέ που καὶ τὴν φιλαργυρίαν εἰδωλολατρίαν ὠνομᾶσθαι παρὰ τῷ Ἀποστόλῳ.

(Χρυσόστομος.) Ὁ μακάριος Ἰωάννης φησι, ἦσαν, ὡς ἔοικε, τινὲς καὶ παρὰ τοῖς Ἐφεσίοις, οἱ τὰς χεῖρας ἐκλύοντες τοῦ λαοῦ, καὶ τὸ παρὰ Ἐζεκιὴλ εἰρημένον εἰς ἔργον ἄγοντες, μᾶλλον δὲ τὰ τῶν ψευδοπροφητῶν ποιοῦντες, "οἳ δρακὸς κριθῶν ἐκφαυλίζοντες "τὸν Θεὸν ἐνώπιον τοῦ λαοῦ αὐτοῦ," καὶ λέγοντες, ὑπερβολῆς ἔχεσθαι τὸ ῥῆμα· ὅταν εἴπωμεν ὅτι ὁ μωρὸν καλέσας τὸν ἀδελφὸν εἰς γέενναν ἀπέρχεται, καὶ ὅτι ὁ πλεονέκτης εἰδωλολάτρης ἐστὶ, καὶ πάσας οὕτω τὰς ἐντολὰς ἐκφαυλίζοντες· τούτους αἰνιττόμενος ὁ Ἀπόστολος φησὶ, "τοῦτο γάρ ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος "ἢ ἀκάθαρτος, ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει "κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ." εἶτα ἐπάγει, "μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις·" κενοί εἰσιν οὗτοι οἱ λόγοι. "Οἱ πρόσχαιρον ἔχοντες χάριν," καὶ οὐδαμῶς ἐπὶ τῶν ἔργων δεικνύμενοι· ἀπάτη γὰρ τὸ πνεῦμα ἐστί.

6 Διὰ τοῦτο ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

Διὰ τὴν πορνείαν φησὶ, διὰ τὴν πλεονεξίαν, διὰ τὴν ἀκαθαρσίαν, ἢ καὶ διὰ ταῦτα καὶ διὰ τὴν ἀπάτην, ἐπειδή ἐστιν ἀπατεῶνος. υἱοὺς ἀπειθείας, τοὺς σφόδρα ἀπειθεῖς καλει.

7 Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν. ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ.

Ὅρα πῶς συνετῶς προέτρεψεν· πρῶτον ἀπὸ τοῦ Χριστοῦ, ὅτι ἀγαπᾶτε ἀλλήλους καὶ μηδένα ἀδικεῖτε προτρέπει· πάλιν ἀπὸ τῆς κολάσεως καὶ τῆς γεέννης· "ἦτε γάρ ποτε σκότος," φησί· "νῦν δὲ "φῶς ἐν Κυρίῳ·" ὅπερ λέγει καὶ ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ, "τίνα οὖν καρπὸν εἴχετε τότε, ἐφ' οἷς νῦν ἐπαισχύνεσθε;" καὶ

ἀναμιμνήσκει αὐτοὺς τῆς προτέρας κακίας· τουτέστιν, ἐννοήσατε τί ἦτε ποτε ὑμεῖς, καὶ τί γεγόνατε· μὴ πάλιν δρομεῖτε πρὸς τὴν προτέραν κακίαν· μὴ δὲ ἐνυβρίζετε τοῦ Θεοῦ τὴν χάριν· ἦτε ποτὲ σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ· οὐκ ἀπὸ τῆς ὑμετέρας ἀρετῆς, ἀλλὰ διὰ τῆς τοῦ Θεοῦ χάριτος τοῦτο ὑμῖν ὑπῆρξε· τουτέστιν, καὶ ὑμεῖς τῶν αὐτῶν ἄξιοι ἦτε ποτὲ, ἀλλ' οὐκέτι.

ΚΕΦ. Η.

Περὶ τοῦ ζῆν ἐπαξίως τοῦ ἁγιασμοῦ, ἔργοις τὴν κακίαν ἐλέγχοντας, οὐ λόγοις, πνεύματι πληρουμένους διὰ ψαλμῶν, μὴ οἴνῳ.

Ὡς τέκνα τοίνυν φωτὸς περιπατεῖτε.

Τί δέ ἐστι "τέκνα φωτός;" τὸν καρπὸν τοῦ Πνεύματος φησίν· ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ δικαιοσύνῃ καὶ ἀγαθωσύνῃ καὶ ἀληθείᾳ.

10 Δοκιμάζοντες, τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ.

"Ἐν πάσῃ," φησὶν, "ἀγαθωσύνῃ·" τοῦτο πρὸς τοὺς ὀργιζομένους, πρὸς τοὺς πικρούς· καὶ "δικαιοσύνῃ·" πρὸς τοὺς πλεονεκτοῦντας· καὶ "ἀληθείᾳ," πρὸς τὴν ψευδῆ ἡδονήν· οὐκ ἐκεῖνα ἃ εἶπον φησὶν, ἀλλὰ τὰ ἐναντία· ἐν πᾶσι, τουτέστιν, καρπὸν φέρειν πνευματικόν· "δοκιμάζοντες τί ἐστιν εὐαρέστον τῷ Κυρίῳ·" ἄρα παιδικῆς ἐκεῖνα διανοίας καὶ ἀτελοῦς.

Ὠριγένης φησὶ, κενοὺς ἔοικε φάσκειν λόγους, τοὺς διά τινος πιθανότητος ἀνατρέπειν θέλοντας τὸν περὶ τῶν προσαγομένων τοῖς κακῶς βεβιωκόσι κολάσεων λόγον· ἀπάτης γ' οὖν φησιν εἶναι τοὺς τοιούτους λόγους καὶ κενοὺς, τῷ πάντως ἔρχεσθαι τὴν λεγομένην ὀργὴν τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας· ἀπειθείας δὲ υἱοὺς ὀνομάζει τοὺς ἀπειθεῖς· οἱονεὶ τῆς κατὰ τὴν ἀπείθειαν κακίας μητρὸς γινομένης καὶ γεννώσης αὐτοὺς, ἔχοντας οἱονεὶ τὸν τῆς μητρὸς χαρακτῆρα· οὕτως καὶ υἱοὺς καὶ τέκνα πορνείας, καὶ υἱοὺς θανάτου, καὶ υἱοὺς γεέννης, καὶ ἄλλα τούτοις παραπλήσιά ἐστι πολλαχοῦ τῶν γραφῶν εὑρεῖν.

Μὴ οὖν γίνεσθε συμμέτοχοι αὐτῶν.

Τηρήσεις τὴν μέτοχος καὶ συμμέτοχος φωνήν· μήποτε ὁ μὲν

μέτοχος, ἐπὶ κρείττονος εἴρηται· ὁ δὲ συμμέτοχος, ἐπὶ χείρονος· οἷον, "διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ "τοὺς μετόχους σου." καὶ "μέτοχοι γὰρ Χριστοῦ γεγόναμεν, "ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως μέχρι τέλους βεβαίαν "κατάσχωμεν." οὐ μέμνημαι δὲ ἀλλαχοῦ παρὰ τὴν ἐνεστηκυῖαν λέξιν τὸν συμμέτοχον εἰρῆσθαι· πλὴν φανερὸν ἐνταῦθα ὅτι ἐπὶ χειρόνων ἐστὶν ὁ συμμέτοχος.

Ἦτε γάρ ποτε σκότος· νῦν δὲ φῶς ἐν Κυρίῳ.

Εἰ δυνατὸν τὸν ποτὲ σκότος μεταβαλὸν γενέσθαι φῶς, οὐκ εἰσὶν ἀπολλύμεναι φύσεις. ὥσπερ δὲ οἱ δίκαιοι φῶς εἰσὶ τοῦ κόσμου, οὕτως οἱ ἀσεβεῖς σκότος ἂν εἶναι λέγοιντο· καὶ οἱ μὲν δίκαιοι φῶς ὄντες, ἐν φωτὶ ὄψονται φῶς· οἱ δὲ ἄδικοι σκότος τυγχάνοντες, λαός εἰσι καθημένος ἐν σκότει, μηδὲν βλέποντες. ἀπὸ δὲ τῶν καρπῶν, ἐπιγνωσόμεθα τοὺς ὄντας φῶς ἢ σκότος· πᾶς μὲν γὰρ ὁ φαῦλα πράσσων, μισεῖ τὸ φῶς, καὶ μὴ ἐρχόμενος πρὸς τὸ φῶς, σκότος ἐστι καὶ υἱὸς σκότους καὶ νυκτός· ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἐρχόμενος πρὸς τὸ φῶς, φῶς ἐστι, καὶ υἱὸς φωτὸς καὶ ἡμέρας. πρὸς τούτοις ἐπιστήσεις, εἰ μὴ ὡς ὄντων τινῶν φώτων, ἀλλ' οὐκ ἐν Κυρίῳ, λέγεται περὶ τῶν δικαίων τὸ "νῦν δὲ φῶς ἐν Κυρίῳ·" καὶ μάλιστά γε τοῖς πεφωτισμένοις ἐν φωτὶ γνώσεως Ἐφεσίοις ἔπρεπε λέγεσθαι τὸ "νῦν δὲ φῶς ἐν "Κυρίῳ·" "ὡς τέκνα φωτὸς περιπατεῖτε." εἴπερ "ὁ Θεὸς φῶς "ἐστι, καὶ σκοτία ἐν αὐτῷ οὐκ ἔστιν οὐδεμία," τὰ τέκνα τοῦ Θεοῦ τέκνα ἐστὶ φωτός· "ὁ γὰρ καρπὸς τοῦ φωτὸς, ἐν πάσῃ "ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ." πρὸς τοὺς διαχωρίζοντας τὸν δίκαιον ἀπὸ τοῦ ἀγαθοῦ, καὶ οἰομένους τὸν μὲν δημιουργὸν εἶναι δίκαιον· ὃν δὲ οἴονται ὑπὲρ αὐτὸν ἀγαθὸν Θεὸν, χρήσιμα τὰ ῥητά. ἐπείπερ ὁ τοῦ φωτὸς καρπὸς, καὶ ἐν ἀγαθωσύνῃ ἐστὶ καὶ ἐν δικαιωσύνῃ καὶ ἐν ἀληθείᾳ· ὅπου οὖν ἀγαθωσύνη, ἐκεῖ δικαιοσύνη· καὶ ὅπου ἀλήθεια, ἐκεῖ δικαιοσύνη· παρὰ δὲ τῷ ἀγαθῷ πατρὶ, ἀγαθωσύνη καὶ ἀλήθεια· παρ' αὐτῷ ἄρα καὶ οὐ παρ' ἄλλῳ ἐστὶν ἡ δικαιοσύνη. ἐπιστήσεις δὲ αὐτοὺς, καὶ ἐκ τοῦ τὸν Χριστὸν εἶναι δικαιοσύνην· ἐν μὲν οὖν τῷ εὐεργετικῷ, ἐμφαίνεται ἡ ἀγαθωσύνη· ἐν δὲ τῷ κατ' ἀξίαν ἀπονεμητικῷ, ἡ δικαιοσύνη· ἐν δὲ τῷ ἐπιστημονικῷ τοῦ τῶν ὅλων λόγου, ἡ ἀλήθεια.

Δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ.

Χρεία τοῦ μετὰ βουλῆς πάντα ποιεῖν, ἵνα περισκοποῦντες ἕκαστον τῶν πρακτέων ἀπὸ ἐξετάσεως, τὰ μὲν δοκιμαστὰ καὶ εὐάρεστα τῷ Θεῷ παραδεξώμεθα ὡς δόκιμοι τραπεζῖται· τὰ δὲ ἀδόκιμα καὶ δυσάρεστα αὐτῷ ἀποσειώμεθα· ἐπεὶ δὲ ἀπήρτηται τὰ τῆς φράσεως, δοκεῖ μοι οὕτως ἂν ἀποκαταστῆναι· "μὴ οὖν "γίνεσθε συμμέτοχοι αὐτῶν· δοκιμάζοντες τί ἐστιν εὐάρεστον "τῷ Κυρίῳ." εἰ καὶ ἦτε ποτὲ σκότος· νῦν δὲ φῶς ὄντες ἐν Κυρίῳ, ὡς τέκνα φωτὸς περιπατεῖτε, τοὺς καρποὺς ἐπιδεικνύμενοι τοῦ φωτός· ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· καὶ μὴ "συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους·" καὶ ἐν ἄλλοις, τὸ μὲν τοῦ καρποῦ ὄνομα ἔταξεν ἐπὶ τοῦ Πνεύματος· τὸ δὲ τοῦ ἔργου, ἐπὶ τῆς σαρκός· εἰπὼν, "φανερὰ δέ ἐστι τὰ ἔργα "τῆς σαρκὸς, ἅτινά ἐστι, πορνεία," καὶ τὰ ἑξῆς· "ὁ δὲ καρπὸς "τοῦ Πνεύματος ἐστιν, ἀγάπη, χαρὰ, εἰρήνη," καὶ τὰ ἑξῆς· νῦν μέντοι γε τὰ τοῦ σκότους ἔργα, ἄκαρπα εἶναι φησὶν, οἷς κοινωνεῖ ὁ ποιῶν αὐτά.

11 Μᾶλλον δὲ καὶ ἐλέγχετε.

Ἐν ταῖς ἐντολαῖς εἶναι νομιστέον, καὶ τὸ ἐλέγχειν. ὅπερ ποιήσει ὁ μὴ ἀκουσόμενος ἂν, "ὑποκριτὰ, ἔκβαλε πρῶτον ἐκ τοῦ "ὀφθαλμοῦ σου τὴν δοκὸν, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ "κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου·" δι' ὅπερ καὶ οἱ προφῆται μηδαμῶς ἐλέγχοις ὑπεύθυνοι τυγχάνοντες, ἤλεγχον τοὺς ἁμαρτάνοντας.

12 Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν.

Τίνων αὐτῶν οὐ πάνυ σαφῶς προεῖπεν, εἰ μὴ ἄρα τίς ἀναφέρῃ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας τὴν λέξιν· ὥστε οὕτως αὐτὴν ἔχειν· τὰ γὰρ κρυφῇ γινόμενα ὑπὸ τῶν υἱῶν τῆς ἀπειθείας, αἰσχρόν ἐστι καὶ λέγειν, ἅτινα ἦν πορνεία καὶ ἀκαθαρσία.

13 Τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς, φανεροῦνται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης φησίν· εἶπεν ὅτι φῶς ἐστε· τὸ δὲ φῶς ἐλέγχει τὰ ἐν τῷ σκότει γινόμενα· ἂν ἦτε,

φησὶν, ὑμεῖς ἐνάρετοι καὶ θαυμαστοὶ, λαθεῖν οὐ δυνήσονται οἱ πονηροί· καθάπερ γὰρ λύχνου κειμένου πάντες φωτίζονται, καὶ ὁ λῃστὴς οὐκ ἂν ὑπεισέλθοι· οὕτως τοῦ φωτὸς ὑμῶν λάμποντος, ἁλώσονται οἱ πονηροὶ ἐλεγχόμενοι· ἄρα δὲ ἐλέγχειν δεῖ· πῶς οὖν φησι, "μὴ κρίνετε ἵνα μὴ κριθῆτε;" περὶ τῶν ἐλαχίστων ἁμαρτημάτων εἶπεν· ἀμέλει ἐπήγαγεν· "τί βλέπεις τὸ κάρφος τὸ "ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ "δοκὸν οὐ κατανοεῖς." τί δέ ἐστιν ὅ φησιν; ὥσπερ τὸ τραῦμα, ἕως ἂν ἐμφωλεύῃ καλυπτόμενον ἄνωθεν καὶ διὰ βάθους τρέχει, οὐδεμιᾶς ἀπολαύει τῆς ἐπιμελείας, οὕτως καὶ ἁμαρτία· ἕως μὲν ἂν κρύπτηται, καθάπερ ἐν σκότῳ μετὰ ἀδείας τολμᾶται πολλῆς· ἐπειδὰν δὲ φανερωθῇ, γίνεται φῶς· οὐχὶ αὐτὴ ἡ ἁμαρτία· πῶς γάρ; ἀλλ' ὁ ἐργασάμενος, ὅταν εἰς μέσον ἐνεχθῇ, ὅταν κολασθῇ, ὅταν νουθετηθῇ, ὅταν μετανοήσῃ, ὅταν ἀφέσεως τύχῃ· ἢ τοῦτο φησὶν, ἢ ἐκεῖνο· ὅτι ὁ μὲν ὑμέτερος βίος φανερὸς ὢν, φῶς ἐστιν· οὐδεὶς γὰρ τὸν ἄληπτον κρύπτει βίον· τὰ δὲ κρυπτόμενα, διὰ τὸ ἐσκοτίσθαι κρύπτεται.

14 Διὸ λέγει ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιψαύσεις τοῦ Χριστοῦ.

Καθευδόντα καὶ νεκρὸν, τὸν ἐν ἁμαρτίαις φησί· καὶ γὰρ δυσωδίας πνεῖ ὡς ὁ νεκρός· καὶ ἀνενέργητός ἐστιν ὡς ὁ καθεύδων· καὶ οὐδένα ὁρᾷ ὡς ἐκεῖνος, ἀλλ' ὀνειρώττει καὶ φαντάζεται. "καὶ "ἐπιψαύσεις," φησὶ, "τοῦ Χριστοῦ." οἱ δὲ φασὶν, "ἐπιφαύσει "σοι ὁ Χριστός·" μᾶλλον δὲ τοῦτό ἐστιν· ἀπόστηθι τῆς ἁμαρτίας, καὶ δυνήσῃ τὸν Χριστὸν ἰδεῖν· ὁ γὰρ τὰ φαῦλα πράσσων, μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς· ὁ τοίνυν μὴ πράττων, ἔρχεται καὶ ἐπιψαύσει τοῦ Χριστοῦ. ἀλλ' οὐ περὶ τῶν ἀπίστων τοῦτο μόνον φησί· πολλοὶ γὰρ καὶ τῶν πιστῶν οὐδὲν ἧττον τῆς κακίας ἔχονται· εἰσὶ δὲ οἳ καὶ πολλῷ μᾶλλον· διὸ καὶ πρὸς τούτους ἀναγκαῖον εἰπεῖν, "ἔγειρε ὁ καθεύδων, καὶ ἀνάστα ἐκ "τῶν νεκρῶν, καὶ ἐπιψαύσει σοι ὁ Χριστός·" πρὸς τούτοις ἁρμόττει καὶ τοῦτο εἰπεῖν· "ὁ Θεὸς οὐκ ἔστι νεκρῶν, ἀλλὰ ζώντων."

Ὠριγένης δέ φησιν, ἐπείπερ τὰ ἐλεγχόμενα ἔργα τοῦ σκότους ὑπὸ τοῦ φωτὸς φανεροῦται, μεταβαλλόντων τῶν ἐλεγχομένων εἰς φῶς, λέγεται τοῖς καθεύδουσι καὶ ἐν νεκρότητι τυγχάνουσιν

ἐκ τοῦ τὰ ἄκαρπα ἔργα τοῦ σκότους πεποιηκέναι, τὸ "ἔγειραι "ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ "Χριστός." ζητήσαι δ' ἄν τις, τί λέγει κατὰ τὸ ἐνθάδε γεγραμμένον, "διὸ λέγει, ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν." ὁ μὲν οὖν τις φήσει ἔν τινι τῶν προφητῶν ἀνεγνωκότα ταῦτα τὸν Ἀπόστολον, ἐνθάδε αὐτὸν ἀναγεγραφέναι· ἕτερος δὲ αὐτὸν τὸν Ἀπόστολον προσωποποιεῖν τινὰ ἐκ τοῦ Πνεύματος λεγόμενα εἰς προτροπὴν τὴν ἐπὶ μετάνοιαν· ἔτι δὲ ζητήσεις, πῶς τῷ αὐτῷ λέγεται ὡς μὲν ζῶντι καὶ καθεύδοντι "ἔγειρε ὁ καθεύδων·" ὡς δὲ τεθνηκότι, τὸ "ἀνάστα ἐκ τῶν νεκρῶν·" μήποτ' οὖν ἐπείπερ ἐστι καὶ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ, ὅπερ ἐπὶ κρείττονος τετηρήκαμεν λέγεσθαι· ἔστι δέ τι καὶ δεύτερον ἡ ψυχὴ, τὸ καὶ νόσου καὶ θανάτου ἐκ τῶν ἁμαρτημάτων δεκτικὸν, τὸ μὲν "ἔγειρε "ὁ καθεύδων" λέγεται διὰ τὸ πνεῦμα· τὸ δὲ "ἀνάστα ἐκ τῶν "νεκρῶν," διὰ τὴν ψυχήν· ἐπείπερ "ψυχὴ ἡ ἁμαρτάνουσα, αὕτη "ἀποθανεῖται·" τοῦ δὲ πνεύματος, οὐδαμοῦ εὕρομεν θάνατον· φῶς δὲ ὢν ἀληθινὸν ὁ Χριστὸς, ἐπιφαύσει τῷ ἐγειρομένῳ ἀπὸ ὕπνου καὶ ἀναστάντι ἐκ νεκρῶν.

Σετηριανὸς δέ φησι· τὸ "ἔγειρε ὁ καθεύδων," καὶ τὰ ἑξῆς, οὐδαμοῦ τῆς παλαιᾶς ἢ τῆς καινῆς εὑρίσκομεν γεγραμμένον· τί οὖν ἐστιν; χάρισμα ἦν τότε καὶ προσευχῆς καὶ ψαλμῶν, ὑποβάλλοντος τοῦ πνεύματος, καθὼς λέγει ἐν τῇ πρὸς Κορινθίους· ἕκαστος ὑμῶν "ψαλμὸν ἔχει, προσευχὴν ἔχει· τί οὖν ἐστι προσ"εύξομαι τῷ πνεύματι, προσεύξομαι καὶ τῷ νοΐ· ψαλῶ τῷ πνεύ"ματι, ψαλῶ καὶ τῷ νοΐ;" δῆλον οὖν ὅτι ἐν ἑνὶ τούτων τῶν πνευματικῶν ψαλμῶν ἤτοι προσευχῶν, ἔκειτο τοῦτο ὃ ἐμνημόνευσεν.

15 Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσο-
16 φοι, ἀλλ' ὡς σοφοὶ, ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ
ἡμέραι πονηραί εἰσι. διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες,
ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου.

Ὠριγένης φησὶν, ὁ δοκιμάζων καθ' ἕκαστον ὧν λέγει καὶ πράττει καὶ ἐννοεῖ τὸ εὐάρεστον τῷ Κυρίῳ, δυνήσεται καὶ βλέπειν ἀκριβῶς ἐκ τῆς πολλῆς προσοχῆς, πῶς περιπατήσει· ὁ δὲ βλέπων ἀκριβῶς πῶς περιπατήσει, πάντως ἐστὶ σοφός. καὶ ἐπεὶ

πρόθεσιν τινὲς ἔχουσι χρηστοτέραν, οὐ σοφοὶ δὲ τυγχάνοντες θέλουσι βλέπειν ἀκριβῶς πῶς περιπατοῦσι, προσέθηκε τὸ, "μὴ ὡς "ἄσοφοι, ἀλλ' ὡς σοφοί." σοφίας δὲ ἔργον τὸ βλέπειν ἀκριβῶς καὶ τὰ εὐθικὰ [r], *"ἐξαγοραζόμενοι τὸν καιρὸν, ὅτι αἱ ἡμέραι πονηραί "εἰσιν·" οἱονεὶ, ἑαυτοῖς τὸν καιρὸν ὠνούμενοι ἔχοντα ὡς πρὸς τὸν ἀνθρώπινον βίον πονηρὰς ἡμέρας. ὅτε οὖν εἴς τι δέον τὸν καιρὸν καταναλίσκομεν, ὠνησάμεθα αὐτὸν καὶ ἀντηγοράσαμεν ἑαυτοῖς ὡσπερεὶ πεπραμένον τῇ τῶν ἀνθρώπων κακίᾳ. οὐδεὶς δὲ βιωτικώτερον ζῶν, καὶ ἐν φροντίσιν ἢ μερίμναις τυγχάνων, ἐώνηται ἑαυτῷ τὸν καιρὸν, ἀλλ' ὁ μόνος εἴς τι δέον καὶ τὴν κτῆσιν τοῦ μακαρίου βίου ἀναλίσκων αὐτόν· ἐξαγοραζόμενοι δὲ τὸν καιρὸν ὄντα ἐν ἡμέραις πονηραῖς, οἱονεὶ μεταποιοῦμεν τὰς πονηρὰς ἡμέρας εἰς ἀγαθάς· καὶ ὡσπερεὶ ἑαυτοῖς ποιοῦμεν αὐτὰς εἶναι, οὐ τοῦ ἐνστῶτος αἰῶνος ἡμέρας πονηρὰς, ἀλλὰ τοῦ μέλλοντος αἰῶνος ἡμέρας ἀγαθάς.*

17 *Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου.*

Διὰ ποῖον τοῦτο ἢ τὸ βλέπειν ἀκριβῶς πῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί; "μὴ γίνεσθε ἄφρονες·" εἰ γὰρ ἔσεσθε ἄφρονες, ἀκριβῶς οὐ περιπατήσετε, οὐδὲ ὡς σοφοί· προστάσσει δὲ αὐτοῖς τὸ τοῦ Κυρίου ἐξετάζειν θέλημα, καὶ συνιέναι αὐτὸ, ἵν' ὅπου τι περὶ τοῦ πράττειν καταλάβοιεν, αὐτὸ πράττωσιν ὡς θέλημα Κυρίου· ὅπου δὲ πάσχουσι, φέρουσιν αὐτὸ ὡς θέλημά τι γινόμενον Κυρίου.

(Χρυσοστόμου.) *Ὁ δὲ μακάριος Ἰωάννης φησιν, οὐχὶ ποικίλους ἡμᾶς καὶ παντοδαποὺς εἶναι βουλόμενος ταῦτα παραινεῖ· ἀλλὰ τί φησιν; οὐκ ἔστιν ὑμέτερος καιρός· νῦν πάροικοί ἐστε καὶ παρεπίδημοι καὶ ξένοι, καὶ ἀλλότριοι· μὴ ζητεῖτε τιμὰς, μὴ ζητεῖτε δόξαν, μὴ δυναστείαν, μηδὲ ἐκδίκησιν· πάντα φέρετε, καὶ τούτῳ τὸν καιρὸν ἐξαγοράζεσθε· πολλὰ πάθετε, πᾶν ὅ τι οὖν θέλωσιν. ἐννόησον τινὰ οἰκίαν ἔχοντα λαμπρὰν, εἶτα τινὰς ἐπεισερχομένους, ὥστε αὐτὸν ἀνελεῖν, κἀκεῖνον πολλὰ διδόντα καὶ ἐξαιρούμενον ἑαυτὸν, τότε λέγομεν, ὅτι ἐξηγόρασεν ἑαυτόν. οὕτω*

[r] An *ἠθικά*?

καὶ σὺ οἰκίαν ἔχεις μεγάλην καὶ πίστιν ἀληθῆ· ἐπέρχονται ὥστε λαβεῖν πάντα· δὸς ὅ τι οὖν ἀπαιτήσει τις, μόνον τὸ κεφάλαιον διάσωσον, τὴν πίστιν λέγω. "ὅτι αἱ ἡμέραι πονηραί εἰσιν·" οὐ τὴν οὐσίαν ἢ τὰ κτίσματα διαβάλλει, ἀλλὰ τὰ ἐν αὐτοῖς γινόμενα, καθάπερ ἡμῖν ἔθος λέγειν, χαλεπὴν ἡμέραν διήγαγον.

Σευηριανὸς δέ φησιν, ὁ ἐξαγοραζόμενος τὸν ἀλλότριον δοῦλον, ἐξαγοράζεται καὶ κτᾶται αὐτόν. ἐπεὶ οὖν ὁ καιρὸς ὁ παρὼν δουλεύει τοῖς πονηροῖς, ἐξαγοράσασθε αὐτὸν, ὥστε καταχρήσασθαι αὐτῷ πρὸς εὐσέβειαν.

18 Καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν Πνεύματι.

Ὠριγένης φησὶ, δύναται μὲν καὶ ἁπλούστερον ταῦτα νοεῖσθαι, ἀσωτίας οὔσης ἐν τῇ χρήσει τοῦ μεθύειν ποιοῦντος οἴνου. δύναται δὲ καὶ οἶνος, ἐν ᾧ ἐστιν ἀσωτία, νοεῖσθαι, περὶ οὗ ἐν ᾠδῇ μεγάλῃ λέγεται· "θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν, καὶ θυμὸς "ἀσπίδων ἀνίατος," ὅν τινα πάντες οἱ ἐξιστάμενοι καὶ μεθύοντες τὸν λογισμὸν πίνουσι, πολλὴν ἔχοντα τὴν ἀσωτίαν. πρὸς ἀντιδιαστολὴν δὲ ἐκείνου τοῦ οἴνου τοῦ μεθύσκοντος, ἐν ᾧ ἐστιν ἀσωτία, ἐναντίος νοεῖται ὁ πεπληρωμένος πνεύματι, καὶ πᾶν ὃ χωρεῖ τοῦ θειοτέρου λαμβάνων. πολλάκις δὲ τετηρήκαμεν τῷ ὀνόματι τοῦ πνεύματος χωρὶς προσθήκης γεγραμμένον, ὅτι ἐπὶ κρείττονος εἴρηται, ὅπερ καὶ ἐνθάδε σημαίνεται.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶ, καὶ τούτου ἡ ἀμετρία θυμώδεις ποιεῖ καὶ θρασεῖς καὶ ἀκροσφαλεῖς, ὀργίλους τε καὶ χαλεπούς· εἰς εὐφροσύνην ὁ οἶνος δέδοται, οὐκ εἰς μέθην. "δότε γὰρ," φησὶν, "οἶνον τοῖς ἐν λύπῃ, καὶ μέθην τοῖς ἐν "ὀδύνῃ." εἰκότως· τὸ γὰρ τραχὺ καὶ σκυθρωπὸν οἶδε μαλάττειν· "οἶνος γὰρ εὐφραίνει καρδίαν ἀνθρώπου." οὐκ ἄρα ἐκ τοῦ οἴνου ἡ μέθη, ἀλλ' ἐκ τῆς ἀμετρίας. ὁ οἶνος δι' οὐδὲν ἕτερον ἡμῖν δέδοται, ἢ δι' ὑγίειαν σώματος, ἀλλὰ καὶ πρὸς τοῦτο ἐμποδίζει ἡ ἀμετρία· ἄκουε δὲ καὶ τοῦ μακαρίου τούτου γράφοντος Τιμοθέῳ "ὀλίγῳ "οἴνῳ χρῶ, διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθε-"νείας."

19 Ἀλλὰ πληροῦσθε Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλ-
μοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ
20 ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ, εὐχαριστοῦν-
τες πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι Κυρίου ἡμῶν
21 Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ Πατρί· ὑποτασσόμενοι
ἀλλήλοις ἐν φόβῳ Χριστοῦ.

Βούλει, φησὶν, εὐφραίνεσθαι; βούλει τὴν ἡμέραν ἀναλίσκειν; ἐγώ σοι δίδωμι πότον πνευματικόν. μάθε ψάλλειν, καὶ ὄψει τοῦ Πνεύματος τὴν ἡδονήν· οἱ ψάλλοντες γὰρ Πνεύματος πληροῦνται Ἁγίου, ὥσπερ οἱ ᾄδοντες τὰς σατανικὰς ᾠδὰς πνεύματος ἀκαθάρτου. τί ἐστιν ἐν ταῖς καρδίαις ὑμῶν τῷ Κυρίῳ; τουτέστι, μετὰ συνέσεως προσέχοντες. οἱ γὰρ οὐ προσέχοντες, ἁπλῶς ψάλλουσι τὰ ῥήματα φθεγγόμενοι, τῆς καρδίας ῥεμβομένης ἑτέρωθι· "πάν-" τοτε," φησὶν, "ὑπὲρ πάντων εὐχαριστοῦντες·" "ἐν ὀνόματι," φησὶ, "τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῷ Θεῷ καὶ Πατρὶ, "ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ·" "τὰ αἰτήματα "ὑμῶν," φησὶ, "μετὰ εὐχαριστίας γνωριζέσθω πρὸς τὸν Θεόν." οὐδὲν γὰρ οὕτως εὐφραίνει τὸν Θεὸν, ὡς ὅταν ᾖ τις εὐχάριστος. μάλιστα δὲ δυνάμεθα εὐχαριστεῖν, ἀπάγοντες τῶν προειρημένων τὴν ψυχὴν τὴν ἡμετέραν, διακαθαίροντες αὐτὴν τούτοις οἷς εἶπον. "ἀλλὰ πληροῦσθε," φησὶν, "ἐν Πνεύματι." ἄρα ἐν ἡμῖν τοῦτο· καὶ γὰρ ἐν ἡμῖν· ὅταν γὰρ ψεῦδος, ὅταν ὀργὴν, ὅταν πικρίαν, ὅταν πορνείαν, ὅταν ἀκαθαρσίαν, ὅταν πλεονεξίαν ἀποσοβήσωμεν τῆς ψυχῆς τῆς ἡμετέρας, ὅταν γενώμεθα χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καὶ πᾶσαν ἀρετὴν ἐπιτηδεύσωμεν, τί τὸ κωλύον τὸ Πνεῦμα τὸ Ἅγιον ἐπελθεῖν καὶ πληρῶσαι τὴν καρδίαν ἡμῶν;

Ὠριγένης δέ φησιν, οἱ μὲν ὕμνοι δύναμιν καὶ θειότητα καταγγέλλουσι τοῦ Θεοῦ· καὶ εἴη ἂν ὁ ἐπιστήμων τοῦ θεολογεῖν ἐν ὕμνοις πνευματικοῖς· τάχα δὲ ὁ περὶ τῶν πρακτέων διαλαμβάνων, καὶ τῶν οἷς δεῖ ἐνεργεῖν διὰ τοῦ ὡς ψαλτηρίου ὀργάνου σωματικοῦ ἡμῶν· οὗτος ἐν ψαλμοῖς ἐστι πνευματικοῖς. ὁ δὲ ἄλλως φυσιολογῶν περὶ τῆς τοῦ κόσμου τάξεως, καὶ τῶν λοιπῶν δημιουργημάτων, οὗτος ἐν ᾠδαῖς πνευματικαῖς· καὶ χρή γε ᾄδειν κατὰ τὴν

φυσιολογίαν, καὶ ψάλλειν κατὰ τὴν περὶ τῶν ἠθῶν διέξοδον τῷ Κυρίῳ, διακείμενον γνησίως πρὸς τὰ λεγόμενα· τοῦτο γάρ ἐστι τὸ ψάλλειν καὶ ᾄδειν τῇ καρδίᾳ τῷ Κυρίῳ.

Εὐχαριστοῦντες πάντοτε ὑπὲρ πάντων ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τῷ Θεῷ καὶ πατρί.

*Καὶ ἐν τῇ πρὸς Θεσσαλονικεῖς προτέρᾳ φησί· "πάντοτε "χαίρετε, ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε." ταύτην δὴ τηρήσει τὴν ἐντολὴν ὁ διειληφὼς περὶ τῆς προνοίας φθανούσης καὶ ἐπὶ τὰ β ἀσσαρίων πωλούμενα πέντε στρουθία, ὧν ἓν οὐ πίπτει εἰς παγίδα, χωρὶς τοῦ ἐν οὐρανοῖς Πατρός. τὸ δὲ ἐν παντὶ εὐχαριστεῖν, καὶ ὑπὲρ πάντων εὐχαριστεῖν ἐστιν· οὐκοῦν καὶ ἐπὶ ταῖς περιστάσεσιν εὐχαριστητέον· ἐπεί περ καὶ αὗται τῶν ἐφ᾽ οἷς δεῖ εὐχαριστεῖν εἰσί· καὶ ὥσπερ δεῖ εὐχαριστεῖν τὸν ἐν τῷ κόσμῳ ἐν τῷ μεταλαμβάνειν τοῦ κόσμου, καὶ καταθεᾶσθαι τοῦ κάλλους αὐτοῦ καὶ θεωρεῖν ὅσα [n] * * διὰ τὸ λογικόν· οὕτω καὶ ἐπὶ τοῖς ἐν μέρει εὐχαριστητέον. τὸν δὲ εὐχαριστοῦντα τῷ Θεῷ καὶ Πατρὶ, ἐν τῷ μεσίτῃ Θεοῦ καὶ ἀνθρώπων εὐχαριστεῖν χρὴ, ὥστε ἡμᾶς ποιῆσαι τὸ [o] ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εὐχαριστεῖν τῷ Θεῷ καὶ Πατρὶ, "ὑποτασσόμενοι, φη- "σὶν, ἀλλήλοις ἐν φόβῳ Χριστοῦ." πάνυ τοῦτο καθαιρετικόν ἐστιν τοῦ φίλαρχον εἶναι καὶ φιλόπρωτον. πᾶσι γὰρ αὕτη δέδοται ἐντολή· "ἐλεύθερος γὰρ ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, "ἵνα πάντας κερδήσω." ἀλλὰ καὶ ἡ λέγουσα ἐντολὴ "δουλεύετε "ἀλλήλοις," προτάσσει τοῦτο. διόπερ διὰ τῆς ἀγάπης ἐδούλευσαν ταῖς ἐκκλησίαις οἱ Ἀπόστολοι, λειτουργοῦντες καὶ ὑπηρετοῦντες τῇ τῶν ἀνθρώπων σωτηρίᾳ· καὶ αὐτὸς δὲ ὁ Σωτὴρ τὴν δούλου μορφὴν ἀνείληφεν, οὐ τοσοῦτον δι᾽ ἄλλο τι, ὅσον διὰ τὸ δεδουλευκέναι τοῖς μαθηταῖς, ὥστε καὶ βαλόντα ποτὲ αὐτὸν ὕδωρ εἰς τὸν νιπτῆρα πλύνειν τοὺς πόδας τῶν μαθητῶν. ἀλλὰ καὶ τὸ "ὁ θέλων ἐν ὑμῖν εἶναι μέγας, ἔσται πάντων δοῦλος," ὁ νοήσας ὑποτάσσεται κατὰ τὸ δουλεύειν οἷς δεῖ. ἔξεστι μέντοι γε τὸν δουλεύοντα ποιεῖν τὰ ἐν τῷ δουλεύειν τὰ πρόσφορα τοῖς δουλευομένοις δοκεῖν μὴ ὑποτάσσεσθαι, ὅτε παρ᾽ αὐτὸ μὴ ἐπίστασθαι τὰ*

[n] Duo verba hic legi non possunt. [o] Fors. τοῦτο.

συμφέροντα οἱ δουλευόμενοι, ἐπιτάσσουσι τοῖς δουλεύειν ἐθέλουσι ποιεῖν τὰ μὴ κατάλληλα αὐτοῖς· πλὴν καὶ τότε ὁ πρὸς τὸ συμφέρον ποιῶν καὶ δουλεύει καὶ ὑποτάσσεται τῇ χρείᾳ τοῦ ᾧ δουλεύει, διὰ τὸν κατὰ τὸν λόγον τοῦ Θεοῦ ἀπαθῆ καὶ μακαριοποιὸν φόβον. τοῦτο γὰρ νομίζω δηλοῦσθαι ἐκ τοῦ, "ἐν φόβῳ Χριστοῦ."

ΚΕΦ. Θ.

Διάταξις οἰκειακῶν καθηκόντων ἀρχομένοις καὶ ἄρχουσιν κατὰ Χριστόν.

22 *Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν*
23 *ὡς τῷ Κυρίῳ· ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικὸς, ὡς*
καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας.

Πᾶσαν συζυγίαν ἀνδρὸς καὶ γυναικὸς, ὁ λόγος οὗτος σύμβολον εἶναι θέλει Χριστοῦ καὶ ἐκκλησίας· τοῦ μὲν ἀνδρὸς, εἶτα τοῦ γάμου κατὰ λόγον οἰκονομεῖ, μιμούμενος Χριστὸν τὸν τῆς ἐκκλησίας νυμφίον· τῆς δὲ γυναικὸς, ἐὰν δεόντως τῷ ἀνδρὶ συνοικῇ, ζηλούσης τὴν, ἵν' οὕτως εἴπω, συμβίωσιν πρὸς τὸν Χριστὸν τῆς ἐκκλησίας· οὕτω γὰρ ὁ ἀνὴρ ἔσται κεφαλὴ τῆς γυναικὸς, ὁμοίως τῷ καὶ τὸν Χριστὸν τῆς ἐκκλησίας. εἰ μέντοι γε μὴ οὕτω συναρμοσθεῖεν ἀλλήλοις ἀνὴρ καὶ γυνὴ, οὐκ ἂν λεχθείη ἐπὶ τούτων, ὅτι ὁ δέ τις κεφαλή ἐστι τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς τῆς ἐκκλησίας. φιλοτιμείσθω οὖν ἕκαστος ἀνὴρ εἶναι πρὸς τὴν γυναῖκα, ὡς ὁ Χριστὸς πρὸς τὴν ἐκκλησίαν· καὶ ἑκάστη πρὸς τὸν ἄνδρα, ὡς ἡ ἐκκλησία πρὸς τὸν Χριστόν· καὶ πάντα δὲ τὰ Χριστοῦ νοείτω καὶ ποιείτω ἀνὴρ, καὶ τὰ τῆς ἐκκλησίας ἡ γυνή.

Θεόδωρος *δέ φησιν, ἣν γὰρ ἐπέχει τάξιν ὁ Χριστὸς τῇ ἐκκλησίᾳ, τὸ αὐτό ἐστιν ὁ Σωτήρ· ἀντὶ τοῦ ὁ τὴν αἰτίαν παρασχόμενος τῇ συστάσει τοῦ ἐκκλησιαστικοῦ σώματος, ταύτην ἐπέχει τὴν τάξιν ὁ ἀνὴρ τῇ γυναικί· ἅτε δὴ τὸ εἶναί τε καὶ συνεστάναι ἐκεῖθεν λαβούσῃ.*

(Χρυσοστόμου.) *Ὁ μακάριος δὲ Ἰωάννης φησι· πῶς οὖν ἀλλαχοῦ λέγει, "ἐὰν μή τις ἀποτάξηται καὶ γυναικὶ καὶ ἀνδρὶ, οὐ "δύναταί ἀκολουθῆσαί μοι." Εἰ γὰρ ὡς τῷ Κυρίῳ ἀποτάσσεσθαι χρὴ, καὶ διὰ τὸν Κύριον ἀφίστασθαι ἀεὶ καὶ σφόδρα μὲν οὖν χρὴ,*

ἀλλὰ τὸ ὡς οὐ πάντως πανταχοῦ ἰσοτιμίας ἐστίν. ἢ τοῦτό φησιν, ὡς εἰδυῖαι, ὅτι τῷ Κυρίῳ δουλεύετε, ὅπερ ἀλλαχοῦ φησιν, ὅτι εἰ καὶ μὴ διὰ τὸν ἄνδρα, ἀλλὰ προηγουμένως διὰ τὸν Κύριον, ὅταν ὑπείκῃς τῷ ἀνδρὶ, ὡς τῷ Κυρίῳ δουλεύουσα. εἰ γὰρ ὁ ἀρχαῖς ταύταις ἔξωθεν ταῖς πολιτικαῖς ἀντιτασσόμενος τῇ Κυρίου καὶ Θεοῦ διαταγῇ ἀνθείκῃς· πολλῷ μᾶλλον ἡ τῷ ἀνδρὶ μὴ ὑποτασσομένη. οὕτως ἐξ ἀρχῆς ἠθέλησεν ὁ Θεός. πειθώμεθα οὖν τὸν μὲν ἄνδρα κεῖσθαι ἐν τάξει κεφαλῆς, τὴν δὲ γυναῖκα ἐν τάξει σώματος. εἶτα καὶ ἀπὸ λογισμῶν "ὅτι ἀνὴρ κεφαλή ἐστι τῆς γυναι-" "κὸς," φησὶ, "καθὼς καὶ ὁ Χριστὸς τῆς ἐκκλησίας, καὶ αὐτός" "ἐστι σωτὴρ τοῦ σώματος." καὶ γὰρ ἡ κεφαλὴ τοῦ σώματος σωτηρία ἐστίν. ἤδη προκατεβάλετο τῷ ἀνδρὶ τῆς ἀγάπης τὴν ὑπόθεσιν καὶ τὴν πρόνοιαν, ἑκάστῳ τὴν προσήκουσαν ἀπονέμων χώραν· τούτῳ μὲν τὴν ἀρχικὴν καὶ προνοητικὴν, ἐκείνῃ δὲ τὴν ὑποτακτικήν.

Ὡς οὖν "ἡ ἐκκλησία, ὑποτάσσεται τῷ Χριστῷ·" τί ἐστιν ἡ ἐκκλησία; ἄνδρες καὶ γυναῖκες· οὕτω καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν, ὡς τῷ Θεῷ.

25 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν.

Ἤκουσας τῆς ὑποταγῆς τὴν ὑπερβολήν; ἐπῄνεσας τὸν Παῦλον ἅτε ὡς συγκροτοῦντα τὸν βίον ἡμῖν; ἀλλ' ἄκουσον ἃ καὶ παρὰ σοῦ ἀπαιτεῖ. πάλιν γὰρ τῷ αὐτῷ ὑποδείγματι κέχρηται, "οἱ" "ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε" "τὴν ἐκκλησίαν." εἶδες μέτρον ὑπακοῆς; ἄκουσον καὶ μέτρον ἀγάπης. βούλει τὴν γυναῖκα ὑπακούειν ὡς τῷ Χριστῷ τὴν ἐκκλησίαν; προνόει καὶ αὐτὸς αὐτῆς, ὡς ὁ Χριστὸς τῆς ἐκκλησίας, κἂν τὴν ψυχὴν ὑπὲρ αὐτῆς δοῦναι δέῃ· μὴ παραιτήσῃ, κἂν ταῦτα πάθῃς. οὐδὲν οὐδέπω πεποίηκας οἷον ὁ Χριστός. σὺ μὲν γὰρ ἤδη συναφθεὶς ταῦτα ποιεῖς· ἐκεῖνος δὲ ὑπὲρ ἀποστρεφομένης αὐτὸν καὶ μισούσης, καὶ ὥσπερ οὕτως αὐτῆς διακειμένης, οὐκ ἀπειλαῖς οὐδὲ ὕβρεσιν, οὐδὲ φόβῳ, οὐδὲ ἑτέρῳ οὐδενὶ τοιούτῳ, ὑφ' ἑαυτὸν αὐτὴν ἐποιήσατο. οὕτω καὶ σὺ πρὸς τὴν γυναῖκα ἔχε. δυνήσῃ γὰρ αὐτὴν ὑπὸ τοὺς πόδας ἀγαγεῖν τοὺς σοὺς, τῇ πολλῇ περὶ

αὐτὴν προνοίᾳ, τῇ ἀγάπῃ, τῇ φιλίᾳ. οὐδὲν γὰρ τούτων τυραννικώτερον τῶν δεσμῶν· καὶ μάλιστα ἀνδρὶ καὶ γυναικί. κἂν πάθῃς τι ὑπὲρ αὐτῆς, μὴ ὀνειδίσῃς· οὐδὲ γὰρ ὁ Χριστὸς τοῦτο ἐποίησε· καὶ ἑαυτὸν, φησὶν, παρέδωκεν ὑπὲρ αὐτῆς, "ἵνα αὐτὴν ἁγιάσῃ καθαρίσας." ἄρα ἀκάθαρτος ἦν, ἄρα μῶμον εἶχεν, ἄρα ἄμορφος ἦν, ἄρα εὐτελής. οἵαν ἂν λάβῃς γυναῖκα, οὐ τοιαύτην λήψῃ νύμφην, οἵαν ὁ Χριστὸς τὴν ἐκκλησίαν, οὐδὲ τοσοῦτον σοῦ ἀπέχουσαν, ὅσον ἡ ἐκκλησία τοῦ Χριστοῦ· ἀλλ' ὅμως οὐκ ἐβδελύξατο, οὐκ ἐμίσησε διὰ τὴν ὑπερβολὴν τῆς ἀμορφίας, καὶ τοιαύτην λαβὼν, καλλωπίζει αὐτὴν καὶ λούει. καὶ οὐδὲ τοῦτο παραιτεῖται.

26 Ἵνα αὐτὴν ἁγιάσῃ, καθαρίσας τῷ λουτρῷ τοῦ ὕδατος
27 ἐν ῥήματι, ἵνα παραστήσῃ αὐτὴν ἑαυτῷ ἔνδοξον, τὴν
ἐκκλησίαν, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων, ἀλλ' ἵνα ᾖ ἁγία καὶ ἄμωμος.

Τῷ λουτρῷ λούει αὐτῆς τὴν ἀκαθαρσίαν· ἐν ῥήματι, φησί· ποίῳ; ἐν ὀνόματι Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος· καὶ οὐχ ἁπλῶς αὐτὴν ἐκόσμησεν, ἀλλ' ἔνδοξον ἐποίησε, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων. "οὕτως ὀφείλουσιν οἱ ἄνδρες, φησὶν, "ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα." τί δὴ τοῦτό ἐστιν; ὡς εἰς μείζονα εἰκόνα καὶ σφοδρότερον ἦλθεν ὑπόδειγμα, ἢ οὐ τοῦτο, ἀλλ' ὡς ἐγγύτερον καὶ σαφέστερον καὶ δικαίωμα ἕτερον· ἐκεῖνο γὰρ οὐκ ἦν πολλῆς ἀνάγκης· ἐκεῖνο Χριστὸς ἦν καὶ Θεὸς ἦν, καὶ ἑαυτὸν παρέδωκεν· ἑτέρωθεν αὐτὸ μεθοδεύει λοιπὸν λέγων, "οὕτως ὀφείλουσιν·" οὐ γὰρ χάρις ἐστὶ τὸ πρᾶγμα, ἀλλ' ὀφειλή· καὶ "ὡς τὰ ἑαυτῶν σώματα·" καὶ διατί;

29 Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν.

Τουτέστιν θεραπεύει μετὰ πολλῆς τῆς ἐπιμελείας· πῶς αὐτοῦ ἐστὶ σάρξ; "τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου," φησὶν, "καὶ "σὰρξ ἐκ τῆς σαρκός μου." ἀπὸ γὰρ τῆς ἡμετέρας γέγονεν ὅλης· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ "καὶ ἔσονται," φησὶν, "οἱ δύο εἰς "σάρκα μίαν."

"Καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν·" πάλιν ἐπὶ τὸ πρῶτον ὑπόδειγμα ἦλθεν, ὅτι μέλη ἐσμὲν τοῦ σώματος αὐτοῦ, ἐκ

τῆς σαρκὸς αὐτοῦ, καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ· ὥσπερ γὰρ ἀπὸ τοῦ Ἀδὰμ ἐκ τῆς σαρκὸς καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ ἡ γυνὴ γέγονε, ταῦτα γάρ ἐστιν ἡμῖν τὰ κυριώτατα σάρκες καὶ ὀστᾶ· τὰ μὲν ὥσπέρ τις τρόπις ὑποκείμενα, τὰ δὲ ὥσπερ οἰκοδομία· ἀλλ' ἐκεῖνο μὲν δῆλον· τοῦτο δὲ πῶς; ὥσπερ ἐκεῖ τοσαύτη ἐγγύτης ἐστὶν, οὕτω, φησὶ, καὶ ἐνταῦθα· τί ἐστιν "ἐκ τῆς σαρκὸς αὐτοῦ;" τουτέστιν, γνησίως ἐξ αὐτοῦ. καὶ πῶς τοῦ Χριστοῦ μέλη οὕτως ἐσμέν; ὅτι κατ' αὐτὸν γεγενήμεθα· καὶ πῶς ἐκ τῆς σαρκὸς αὐτοῦ; ἴστε ὅσοι μετέχετε μυστηρίων· "ὅτι ὀστοῦν αὐτοῦ οὐ συντριβήσεται" φησίν· ἐκ τούτου εὐθέως ἀναπλαττόμεθα· καὶ πῶς, πάλιν ἄκουε τοῦ μακαρίου τούτου λέγοντος, "ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵ- "ματος καὶ σαρκὸς, παραπλησίως καὶ αὐτὸς μετέσχεν τῶν αὐτῶν" ἀλλ' ἐνταῦθα οὗτος ἡμῖν ἐκοινώνησεν, οὐχ ἡμεῖς αὐτῷ· πῶς οὖν ἐκ τῆς σαρκὸς αὐτοῦ ἔσμεν καὶ ἐκ τῶν ὀστέων αὐτοῦ; τινὲς τὸ αἷμα φασὶ καὶ τὸ ὕδωρ· οὐκ ἔστιν δέ· ἀλλ' ὥσπερ ἄνευ συνουσίας ἐκεῖνος γεγένηται ἐκ Πνεύματος Ἁγίου, τοῦτο καὶ ἡμεῖς γινόμεθα ἐν τῷ λουτρῷ.

Ὅρα ποῖα ὑποδείγματα ὥστε πιστευθῆναι τὴν γέννησιν ἐκείνην· πῶς οὖν ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστῶν αὐτοῦ; τουτέστιν, ἐξ ὁλοκλήρου τῆς οὐσίας αὐτοῦ ἐπλάσθη ὁ Ἀδάμ· ἐτέχθη ὁ Χριστὸς, πῶς ἐκ τῆς πλευρᾶς αὐτοῦ ἔλαβεν· ἐν τῷ σταύρῳ ἡ ἀναίρεσις ἐγένετο, καὶ ἡμεῖς τῆς αὐτῆς οὐσίας αὐτῷ.

Σετηριανός δέ φησιν, ἐπειδὴ προσήχθη ἀμνὸς, καὶ τὸ σῶμα αὐτοῦ ἐσθίομεν, φιλεῖ δὲ ἀναδιδόσθαι ἡ τροφὴ εἰς τὸ σῶμα τοῦ ἐσθίοντος, δηλονότι πνευματικῶς τὸ σῶμα αὐτοῦ ἐσθιόμενον, ἀναδίδοται ἡμῶν εἰς τὸ σῶμα· καὶ οὕτως σὰρξ ἐκ τῆς σαρκὸς, καὶ ὀστοῦν ἐκ τῶν ὀστῶν αὐτοῦ.

Θεόδωρος δέ φησιν, ὥσπερ μέρος ἐγένετο τοῦ Ἀδὰμ ἡ γυνὴ ἐκ τῶν ὀστῶν αὐτοῦ καὶ ἐκ τῆς σαρκὸς αὐτοῦ ληφθεῖσα, οὕτως καὶ ἡμεῖς τοῦ δεσποτικοῦ σώματος ἐσμὲν μέλη, ὥσπερ ἐκ τῆς σαρκὸς αὐτοῦ καὶ ἐκ τῶν ὀστέων αὐτοῦ γεγονότες.

Ὠριγένης φησὶν, εἰ οὕτως δεῖ τὰς γυναῖκας ὑποτάσσεσθαι τοῖς ἀνδράσιν, ὡς ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, ἁγίως καὶ ἀπαθῶς καὶ ἀναμαρτήτως δεήσει βιούσας τὰς γυναῖκας ὑποτάσσεσθαι τοῖς ἀνδράσιν, ὥσπερ ἡ ἐκκλησία ὑποτάσσεται τῷ

Χριστῷ, ἁγίως καὶ ἀπαθῶς καὶ ἀναμαρτήτως βιοῦσα· σπῖλοι δέ εἰσιν, οἷον φακοὶ γινόμενοι ἐπὶ τοῦ σώματος καὶ μελανίαι καὶ ἀλφοὶ καὶ μυρμηκίαι· τούτων γὰρ περιαιρεθέντων, ὡραιοτέρα γένοιτ᾽ ἂν γυνή· καὶ τὰ ἀνάλογον αὐτοῖς νοείσθω γινόμενα καὶ περὶ τὴν ψυχήν· ἅτινα οὐδενός ἐστιν ἢ τοῦ λόγου περιελεῖν.

27 **Ἵνα παραστήσῃ ἑαυτῷ τὴν ἰδίαν νύμφην, μὴ ἔχουσαν σπῖλον ἢ ῥυτίδα ἤ τί τῶν τοιούτων, ἀλλ᾽ ἵνα ᾖ ἁγία καὶ ἄμωμος.**

Ῥυτίδες δὲ, σημεῖον εἰσὶ γήρως· οὕτως εἴ τις ἴχνη τοῦ παλαιοῦ ἐπιμένοι ἔχων, μὴ ἀεὶ ἀνακαινούμενος, ῥερυτιδῶσθαι ἂν λέγοιτο κατὰ τὴν ψυχήν.

31 **Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.**

Παρατηρητέον ὥσπερ καὶ ἐν ἄλλοις πεποιήκαμεν, ὅτι πολλάκις οὐκ αὐταῖς λέξεσιν ἐκτίθενται τὴν παλαιὰν γραφὴν οἱ τὴν καινὴν διαθήκην γράφοντες· καὶ περὶ μὲν τούτου, ἐν μὲν τῇ Γενέσει οὕτω γέγραπται· "ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα "αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται πρὸς τὴν "γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν·" ἐνθάδε δὲ, ἀντὶ τοῦ "ἕνεκεν τούτου," πεποίηκεν ὁ Παῦλος "ἀντὶ τούτου·" παραλέλοιπέν τε τὸ μετὰ "τὸν πατέρα" εἰρημένον, "αὐτοῦ," καὶ μετὰ τὸ "τὴν μητέρα" δεύτερον εἰρημένον, "αὐτοῦ·" ἀλλὰ καὶ τὸ "προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ."

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶν, ἰδοὺ καὶ τρίτον δικαίωμα· ὅτι καὶ τοὺς γεννησαμένους τίς ἀφεὶς, καὶ ἐξ ὧν ἔφυ, ἐκείνῃ συμπλέκεται· καὶ λοιπὸν ἡ σὰρξ, ὁ πατὴρ καὶ ὁ παῖς καὶ ἡ μητήρ ἐστιν ἐκ τῆς ἑκατέρου συνουσίας συγχυθείσης· καὶ γὰρ μιγέντων τῶν σπερμάτων, πάλιν τίκτεται ὁ παῖς· ὥστε τοὺς τρεῖς εἶναι μίαν σάρκα· ἀλλὰ πάλιν γίνεται μία σὰρξ διὰ τῆς συνουσίας, ἀναδιδομένη πάλιν· καὶ πολλῷ μᾶλλον αὐτὴ ἢ τὸ παιδίον· τί δήποτε; ὅτι ἐξ ἀρχῆς οὕτω γέγονεν· μή μοι λέγε τάδε ἐστὶν καὶ τάδε ἐστίν. οὐχ ὁρᾷς ὅτι καὶ ἐν τῇ σαρκὶ πολλὰ ἔχομεν ἐλαττώματα; ὁ μέν ἐστι χωλός· ὁ δὲ, διεστραμμένους ἔχει τοὺς πόδας· ἕτερος χεῖρας ἔχει ξηράς· ἄλλος ἄλλό τι μέλος

ἀσθενὲς, καὶ οὐκ ἀλγεῖ οὐδὲ ἐκκόπτει, ἀλλὰ καὶ προτίθησιν αὐτὸ πολλάκις τοῦ ἄλλου· εἰκότως· αὐτοῦ γάρ ἐστιν. ὅσην γὰρ ἕκαστος πρὸς ἑαυτὸν ἀγάπην ἔχει, τοσαύτην πρὸς τὴν γυναῖκα ἡμᾶς βούλεται ἔχειν· φύσεως μιᾶς κοινωνοῦμεν, ἀλλὰ πλέον τοῦτο ἡμῖν τὸ δικαίωμα τὸ πρὸς τὴν γυναῖκα, ἐπειδὴ δύο σώματα· ἀλλ' ὁ μὲν κεφαλὴ, ὁ δὲ σῶμα· κεφαλὴ δὲ Χριστοῦ ὁ Θεός· οὕτω καὶ ἐγὼ φημὶ, ὅτι ὥσπερ ἓν σῶμα, οὕτω Χριστὸς καὶ Πατὴρ εὑρίσκεται· ἄρα καὶ ὁ Πατὴρ κεφαλὴ ἡμῶν ὤν, δύο τίθησιν ὑποδείγματα, τὸ τοῦ σώματος, τὸ τοῦ Χριστοῦ.

32 Τὸ μυστήριον τοῦτο, μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν.

Μέγα φησὶ καὶ θαυμαστὸν ᾐνίξατο ὁ μακάριος Μωϋσῆς, μᾶλλον δὲ ὁ Θεός· τέως μέντοι φησὶν εἰς Χριστὸν λέγω, ὅτι καὶ αὐτὸς τὸν Πατέρα ἀφεὶς, κατῆλθε καὶ ἦλθε πρὸς τὴν νύμφην, καὶ ἐγένετο εἰς πνεῦμα ἕν· ὁ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι· καὶ καλῶς εἶπε μέγα μυστήριον· ὡσανεὶ ἔλεγε· πλὴν οὐχ ἡ προσηγορία ἀνατρέπει τὴν ἀγάπην· "ἡ δὲ γυνὴ, ἵνα φοβῆται τὸν "ἄνδρα·" ἀρχὴ δευτέρα ἐστὶν, ἡ γυνή· μήτε αὕτη τὴν ἰσοτιμίαν ἀπαιτείτω, ὑπὸ γὰρ τὴν κεφαλήν ἐστιν· μήτε ἐκεῖνος ὡς ὑποτεταγμένης καταφρονείτω· σῶμα γάρ ἐστι· κἂν καταφρονῇ τοῦ σώματος ἡ κεφαλὴ, καὶ αὐτὴ προσαπολεῖται· ἀλλ' ἀντίρροπον τῆς ὑπακοῆς εἰσαγαγέτω τὴν ἀγάπην· καὶ πῶς ἂν γένοιτο ἀγάπη φησὶ, φόβου ὄντος; μάλιστα τότε ἂν γένοιτο· ἡ γὰρ φοβουμένη, καὶ ἀγαπᾷ· ἡ ἀγαπῶσα, καὶ φοβεῖται· ὡς κεφαλὴν ἀγαπᾷ, ὡς μέλος.

Ἐπεὶ καὶ ἡ κεφαλὴ, μέλος ἐστὶ τοῦ παντὸς σώματος, διὰ τοῦτο τὴν μὲν ὑπέταξε, τὸν δὲ ἐπέθηκεν, ἵνα εἰρήνη ᾖ· ἔνθα γὰρ ἰσοτιμία, εἰρήνη οὐκ ἄν ποτε γένοιτο· ἀλλὰ ἀνάγκη μίαν εἶναι τὴν ἀρχὴν ἐπὶ τῶν σωματικῶν· ἐπεὶ ἐὰν ὦσι πνευματικοὶ, ἔσται εἰρήνη.

ΘΕΟΔΩΡΟΣ δέ φησιν, ὅπερ φησὶν εἴρηται ἐν ἀρχῇ τῆς δημιουργίας περὶ τῶν γυναικῶν καὶ τῶν ἀνδρῶν, τοῦτο μυστικώτερον ἐπὶ τοῦ Χριστοῦ καὶ τῆς ἐκκλησίας πεπλήρωται· πάντες γὰρ τῆς ἐξ πατρὸς καὶ μητρὸς γεννήσεως ἔξω γενόμενοι, ἅτε δὴ καὶ

θανάτῳ χωρισθέντες τῆς ζωῆς ἐκείνης, πνευματικῇ τῇ ἀναγεννήσει τὴν ἀνάστασιν δεχόμεθα· ἀπορρήτῳ λόγῳ τῷ Χριστῷ συναπτόμενοι, καὶ τὴν πρὸς αὐτὸν ὁμοιότητα τῆς ἀθανασίας ἀκριβῆ λαμβάνοντες.

Σετηριανὸς *φησὶν, οὐ τὸ μυστήριον, ἀλλ' ὁ Θεός· τί οὖν ἐστιν ὃ λέγει; ὅτι αὕτη ἡ πλάσις τοῦ Ἀδὰμ καὶ τῆς Εὔας τῆς ἐξ αὐτοῦ, καὶ ἡ συνάφεια, τύπος γέγονε τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας· δι' ὅπερ φησὶν, "ὀστοῦν ἐκ τῶν ὀστέων αὐτοῦ ἐσμὲν, "καὶ σὰρξ ἐκ τῆς σαρκὸς αὐτοῦ," εἰ ἐκ τοῦ Ἀδὰμ ἦν ἡ Εὔα· τὸ οὖν "ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν Ἐκκλησίαν," τὸ τοῦ γάμου μυστήριον λέγει· ἀντὶ τοῦ τύπος ἐστὶν τὰ κατὰ τὸν γαμικὸν νόμον καὶ τὴν ἐξ ἀρχῆς δημιουργίαν τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας· διὰ τοῦτο ἐπήγαγεν,*

33 *Πλὴν καὶ ὑμεῖς οἱ καθ' ἕνα. ἵνα ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα οὕτως ἀγαπᾷ ὡς ἑαυτόν.*

Διὰ τί εἶπεν "οἱ καθ' ἕκαστον;" ἐπειδὴ τὰ κατὰ τὸν Ἀδὰμ ἦν τύπος τῆς Ἐκκλησίας καὶ τῶν Χριστοῦ, διὰ τοῦτο εἶπεν, "καὶ "ὑμεῖς οἱ καθ' ἕκαστον" ἀγαπᾶτε· τὸ μὲν γὰρ μυστήριον οὗ ἦν τύπος ὁ γάμος, γεγένηται καὶ ἀληθές ἐστιν· δεῖ δὲ καὶ τὸν τύπον αὐτῶν πληροῦσθαι, καὶ ἕκαστον ἀγαπᾶν τὴν ἑαυτοῦ γυναῖκα.

1 *Τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν Κυρίῳ·*
2 *τοῦτο γάρ ἐστι δίκαιον· τίμα τὸν πατέρα σου καὶ τὴν*
3 *μητέρα, ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ· ἵνα εὖ*
σοι γένηται καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς.

Ὠριγένης *φησὶν, ἀμφίβολόν ἐστι τὸ ῥητόν· ἤτοι γὰρ τοῖς ἐν Κυρίῳ γονεῦσιν χρὴ ὑπακούειν τὰ τέκνα, ἢ ἐν Κυρίῳ δεῖ ὑπακούειν τὰ τέκνα τοῖς γονεῦσιν· καὶ οὐδετέραν γε τῶν ἐκδοχῶν ἀποδοκιμαστέον· τοῖς τε γὰρ ἐν Κυρίῳ γονεῦσιν ὁποῖος ὁ Παῦλος ἦν Κορινθίων, ὑπακουστέον· ἀλλ' ἐν Κυρίῳ προστάττουσιν οὐκ ἐναντία τῷ τοῦ Κυρίου βουλήματι· δίκαιον δὲ τὸ ὑπακούειν καθ' ἕτερον· ἅμα δὲ καὶ σημειώσῃ πρὸς ἑτεροδόξους διαχωρίζοντας δίκαιον Θεὸν ἀπὸ ἀγαθοῦ, ὅτι τοῖς μαθηταῖς τοῦ ὡς φασὶν ἀγαθοῦ προστάσσει τὸ ὡς ἂν ἐκεῖνοι λέγοιεν πρόσταγμα τοῦ ἑτέρου Θεοῦ, εἴγε ὁ ἕτερος δίκαιός ἐστιν· καὶ φησὶν ὁ Παῦλος δίκαιον εἶναι*

τὸ τὰ τέκνα ὑπακούειν τοῖς γονεῦσιν ἐν Κυρίῳ· ἢ ἐν Κυρίῳ ὑπακούειν τοῖς γονεῦσιν.

Τὸ δὲ ῥητὸν, εἴληπται ἀπὸ τῆς Ἐξόδου οὕτως ἔχον· "τίμα "τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ "ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου "δίδωσί σοι·" καὶ ἐνθάδε δὲ ἐκτιθέμενος ὁ Ἀπόστολος τὴν λέξιν, παραλέλοιπεν τὰ μετὰ "τὴν μητέρα σου" καὶ πεποίηκεν, ἀντὶ τοῦ "καὶ ἵνα μακροχρόνιος γένῃ," "καὶ ἔσῃ μακροχρόνιος·" παραλέλοιπέν τε μετὰ τὸ "ἐπὶ τῆς γῆς," τὸ "ἧς Κύριος ὁ Θεός σου "δίδωσί σοι." ἔστι δὲ ἡ ἐντολὴ πέμπτη τῆς Δεκαλόγου· διὸ ζητητέον, πῶς δεῖ ἐκλαβεῖν τὸ "ἥτις ἐστὶν ἐντολὴ πρώτη·" πρώτης εἰρημένης ἐντολῆς, τὸ "οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν "ἐμοῦ·" τινὲς μὲν οὖν οὕτως ἀνέγνωσαν· ἥτις ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ· ὡς τῶν πρὸ αὐτῆς ἐντολῶν οὐ περιεχουσῶν ἐπαγγελίαν. ἐπὶ γὰρ ταύτης οἴονται πρώτην ἐπαγγελίαν κεῖσθαι, τὴν "ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς· "ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι."

Ἐοίκασιν δὲ οὗτοι, μὴ τετηρηκέναι ἐπαγγελίαν κειμένην καὶ ἐπὶ τῆς δευτέρας ἐντολῆς, "οὐ ποιήσεις γάρ," φησι, "σεαυτῷ "εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν "τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσ"κυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσῃς αὐτοῖς. ἐγὼ γάρ εἰμι "Κύριος ὁ Θεός σου· Θεὸς ζηλωτὴς, ἀποδιδοὺς ἁμαρτίας πατέρων "ἐπὶ τέκνα, ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με· καὶ "ποιῶν ἔλεος εἰς χιλιάδας, τοῖς ἀγαπῶσί με, καὶ τοῖς φυλάσ"σουσι τὰ προστάγματά μου." παρατήρει γὰρ ὅτι ἐπαγγελία ἐστὶ τὸ "ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με καὶ τοῖς "φυλάσσουσι τὰ προστάγματά μου." μήποτ' οὖν ἐπεὶ ἡ Δεκάλογος πρώτη τῷ λαῷ νομοθεσία μετὰ τὸ ἐξελθεῖν τὴν Αἴγυπτον, εἴρηται, ἑκάστη τῶν δέκα ἐντολῶν πρώτη ἐστὶν ἐν πρώτοις τῶν ἑξῆς εἰρημένη. ὁ μέντοιγε θέλων ἐπιμένειν τῇ ἀποδόσει τοῦ "ἥτις "ἐστὶν ἐντολὴ πρώτη ἐν ἐπαγγελίᾳ," ἐρεῖ, ὅτι ἰδία μέν ἐστι τῆς "τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου" ἐντολῆς ἡ ἐπαγγελία, ἡ "ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός "σου διδωσί σοι·" οὐκ ἰδία δὲ τῆς "οὐ ποιήσεις σεαυτῷ εἴδωλον

"οὐδὲ παντὸς ὁμοίωμα," ἢ "ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί "με, καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου" πάλιν δὲ αὖ καὶ πρὸς τοῦτο ἐνστήσεται, ὁ τὴν δεκάλογον ὅλην περιέχειν πρώτας ἐντολὰς διηγούμενος· ἐρεῖ γὰρ τὸ μακροχρόνιον γενέσθαι ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεὸς δίδωσι τοῖς ἁγίοις, οὐ διὰ μόνην δίδοσθαι τὴν "τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου" ἐντολὴν, ἀλλὰ καὶ δι' ἄλλας μυρίας· δεήσει τε τὸν τοιοῦτον συναγαγεῖν ἐντολὰς, αἷς ἐπιφέρεται τὸ "ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ "Θεός σου δίδωσί σοι."

Μετὰ ταῦτα ζητητέον περὶ τῆς χαριζομένης ἐπαγγελίας τὸ μακροχρόνιον ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεὸς δίδωσι τοῖς ἁγίοις· καὶ οὐκ ἀγνοητέον γε, ὅτι κατὰ τὸ ῥητὸν ἡγοῦνται τοῦτο γίνεσθαι οἱ Ἰουδαῖοι· ἀλλ' ὁρῶμεν οὐ πάντως τοῦτο ἀληθές· φησὶ δὲ καὶ ὁ προφήτης· "οἴ μοι ὅτι ἡ παροικία μου ἐμακρύνθη." ζητητέον οὖν τὴν ἀγαθὴν γῆν ἣν Κύριος ὁ Θεὸς ἐν ἐπαγγελίᾳ δίδωσι τῷ καταλιπόντι τὴν πνευματικὴν Αἴγυπτον, καὶ μετὰ πάσης μακροθυμίας καὶ ὑπομονῆς ὁδεύσαντι τὴν πνευματικὴν ἔρημον, τὴν πολλὴν καὶ φοβερὰν, καὶ νικήσαντι οὓς πατάσσει Κύριος βασιλεῖς μεγάλους, καὶ οὓς ἀνεῖλεν Κύριος βασιλεῖς κραταιούς.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶ, καθάπερ σῶμα τίς πλάττων, πρῶτον μὲν τὴν κεφαλὴν, ἔπειτα τὴν αὐχένα, εἶτα τοὺς πόδας τίθησιν, οὕτω καὶ ὁ μακάριος Παῦλος τῷ λόγῳ πρόεισιν· εἶπεν περὶ τοῦ ἀνδρός· εἶπεν περὶ τῆς γυναικὸς τῆς δευτέρας ἀρχῆς· χωρεῖ λοιπὸν ὁδῷ βαδίζων, ἐπὶ τὴν πρώτην· αὕτη δέ ἐστιν ἡ τῶν παίδων. τῆς μὲν γὰρ γυναικὸς ἄρχει ἀνήρ· τῶν δὲ παίδων ὁ ἀνὴρ καὶ ἡ γυνή· ὅρα οὖν τί φησι· "τὰ τέκνα ὑπακούετε τοῖς "γονεῦσιν ὑμῶν ἐν Κυρίῳ· αὕτη γάρ ἐστιν ἐντολὴ πρώτη ἐν "ἐπαγγελίαις·" οὐδὲν ἐνταῦθα περὶ Χριστοῦ διαλέγεται· οὐδὲν περὶ τῶν ὑψηλῶν· ἔτι γὰρ πρὸς ἁπαλὰς διαλέγεται διανοίας· διὸ καὶ βραχείαν ποιεῖται τὴν παραίνεσιν, ἅτε οὐ δυναμένων τῶν παίδων μακρῷ παρακολουθῆσαι λόγῳ· ἀλλ' ἃ μάλιστα ψυχὴ νηπιώδης ἀκοῦσαι ποθεῖ, ταῦτα φησίν· ὅτι μακροχρόνιος ἔσται. εἰ γάρ τις ἐξετάζοι, διατί μὴ περὶ βασιλείας διελέχθη, ἀλλὰ τὴν ἐν τῷ νόμῳ κειμένην ἐντολὴν αὐτοῖς ἔθηκεν, ὡς ἅτε νηπιωδεστέροις οὖσιν· καὶ εἰδὼς ὅτι τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς οὕτω δια-

κειμένων κατὰ τὸν νόμον ὃν ἔθηκεν, οὐ πολλοῦ καμάτου ἐστὶ τὰ παιδία ὑποτάξαι· ὅταν γὰρ πρᾶγμα τὴν ἀρχὴν καὶ τὴν ὑπόθεσιν λάβῃ καλὴν, ὁδῷ πάντα καὶ νόμῳ προβαίνει λοιπόν[q].

Πρώτην δέ φησι αὐτὴν ἐντολὴν εἶναι, οὐ τῇ τάξει, ἀλλὰ τῇ ἐπαγγελίᾳ· ἐκείναις μὲν οὖν οὐ κεῖται μισθὸς, ἅτε περὶ κακῶν διατεταγμέναις καὶ τῆς τῶν κακῶν ἀναχωρήσεως· ἐν ταύταις δὲ, ἅτε ἀγαθῶν ἐργασίας οὔσης, καὶ ἐπαγγελία κεῖται· καὶ ὅρα πῶς θαυμαστὴν κρηπῖδα τέθεικε τῇ τῆς ἀρετῆς ὁδῷ, τὴν εἰς γονέας τιμὴν καὶ αἰδῶ· ἀπαγαγὼν τῶν πονηρῶν πράξεων, καὶ μέλλων εἰς τὰ ἀγαθὰ ἐμβαίνειν, τοῦτο πρῶτον ἐπέταξε τὴν εἰς τοὺς γονέας τιμήν· ἐπειδὴ καὶ πρὸ πάντων, τοῦ ζῆν μετὰ τὸν Θεὸν οὗτοι γεγόνασιν αἴτιοι· παραινέσας τοίνυν ἅπερ ἐχρῆν τοῖς παισὶ, μεταβαίνει ἐπὶ τοὺς πατέρας καὶ φησὶ,

4 Καὶ οἱ πατέρες, μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

Οὐκ εἶπεν ἀγαπᾶτε αὐτά· τοῦτο γὰρ καὶ ἀκόντων αὐτῶν ἡ φύσις ἐπισπᾶται, καὶ περιττὸν ἦν περὶ τῶν τοιούτων νόμον τιθέναι· ἀλλὰ τί φησιν; "μὴ παροργίζετε τὰ τέκνα ὑμῶν·" οἷον οἱ πολλοὶ ποιοῦσιν· ἀποκληρονόμους ἐργαζόμενοι καὶ ἀποκηρύκτους ποιοῦντες, καὶ φορτικῶς ἐπικείμενοι, οὐχ ὡς ἐλευθέροις, ἀλλ' ὡς ἀνδραπόδοις· "ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ "Κυρίου·" ὁρᾷς ὅτι τῶν πνευματικῶν ὄντων καὶ τὰ σαρκικὰ ἕψεται. βούλει εἶναι τὸν υἱὸν πειθήνιον, ἐξ ἀρχῆς αὐτὸν ἔκτρεφε ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου.

5 Οἱ δοῦλοι, ὑπακούετε τοῖς κυρίοις κατὰ σάρκα, μετὰ
φόβου καὶ τρόμου, ἐν ἁπλότητι καρδίας ὑμῶν, ὡς τῷ
6 Χριστῷ· μὴ κατ' ὀφθαλμοδουλίαν ὡς ἀνθρωπάρεσκοι,
ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ· ποιοῦντες τὸ θέλημα τοῦ
7 Θεοῦ ἐκ ψυχῆς μετ' εὐνοίας· δουλεύοντες τῷ Κυρίῳ καὶ
8 οὐκ ἀνθρώποις· εἰδότες ὅτι ὃ ἐάν τι ἕκαστος ποιήσῃ ἀγα-

[q] *ἐγὼ νομίζω ὅτι πρώτην αὐτὴν ἔφη καὶ τῇ τάξει· μετὰ γὰρ τὰ πρὸς τὸν Θεὸν δίκαια, καὶ τὰς περὶ αὐτοῦ δοθείσας ἐντολὰς, πρώτη ἐστιν ἡ περὶ τοὺς γονέας τιμὴ τῶν περὶ τοὺς ἀνθρώπους ἐντολῶν.* Hoc Schol. in marg.

θὸν, τοῦτο κομιεῖται παρὰ τοῦ Κυρίου· εἴτε δοῦλος, εἴτε ἐλεύθερος.

Οὐκ ἐνταῦθα δίδωσιν αὐτοῖς τὴν ὑπόσχεσιν, ἀλλ' ἐν τῷ μέλλοντι· καὶ φιλοσοφεῖν διδάσκει· εἰ γὰρ καὶ τῷ ἀξιώματι τῶν παίδων εἰσὶν ἐλάττους, ἀλλὰ τῷ φρονήματι μείζους.

Εὐθέως δὲ τὴν λελυπημένην ἀνέστησε ψυχήν· εὐθέως παρεμυθήσατο· ὄνομα δουλείας ἐστὶ μόνον· κατὰ σάρκα ἡ δεσποτεία ἐστὶν πρόσκαιρος καὶ βραχεῖα· ὅπερ γὰρ ἂν ᾖ σαρκικὸν, ἐπίκαιρόν ἐστι· "μετὰ φόβου" φησὶ "καὶ τρόμου" ὁρᾷς ὅτι οὐ τὸν αὐτὸν ἀπαιτεῖ παρὰ γυναικὸς καὶ δούλων φόβον; ἐκεῖ μὲν γὰρ ἁπλῶς εἶπεν, "ἡ δὲ γυνὴ ἵνα φοβῆται τὸν ἄνδρα," ἐνταῦθα δὲ, μετ' ἐπιτάσεως, "ἐν ἁπλότητι" φησὶ "καρδίας ὑμῶν, ὡς τῷ Χριστῷ·" συνεχῶς τοῦτο λέγει· εἰ γὰρ τοὺς ἐλευθέρους ἀλλήλοις ὑποτάσσεσθαι κελεύω διὰ τὸν τοῦ Θεοῦ φόβον, καθάπερ ἀνωτέρω ἔλεγεν, "ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Χριστοῦ·" εἰ γὰρ τὴν γυναῖκα προστάσσω φοβεῖσθαι τὸν ἄνδρα, πολλῷ μᾶλλον τὸν οἰκέτην. οὐ γὰρ δυσγένεια τὸ πρᾶγμα ἐστὶν, ἀλλ' ἡ πρώτη εὐγένεια τὸ εἰδέναι ἐλαττοῦσθαι καὶ μετριάζειν καὶ εἴκειν τῷ πλησίον· "ἐν ἁπλό-" "τητι," φησὶ, "καρδίας·" ἐπειδὴ ἔνι καὶ μετὰ φόβου καὶ τρόμου δουλεύειν, οὐκ ἐξ εὐνοίας δὲ, ἀλλὰ κακουργοῦντας τοὺς αὐτῶν δεσπότας· καὶ ταύτην ἀναιρεῖ τὴν κακουργίαν, λέγων· "ἐν ἁπλότητι καρ-" "δίας ὑμῶν ὡς τῷ Χριστῷ· μὴ κατ' ὀφθαλμοδουλείαν ὡς ἀνθρωπω-" "πάρεσκοι, ἀλλ' ὡς δοῦλοι τοῦ Χριστοῦ· ποιοῦντες τὸ θέλημα τοῦ" "Θεοῦ ἐκ ψυχῆς μετ' εὐνοίας· δουλεύοντες τῷ Κυρίῳ καὶ οὐκ" "ἀνθρώποις·" ὁρᾷς πόσον ἐδεήθη, ὥστε τοῦτο ἐμφυτεῦσαι τὸ καλὸν τὸ μετ' εὐνοίας λέγω; ὁρῶμεν γὰρ πολλοὺς, φόβῳ καὶ ἀπειλῇ πολλὰ ποιοῦντας· αὐτὸς δεῖξον, φησὶν, ὅτι ὡς Χριστοῦ δοῦλος δουλεύεις· ποίησον εἶναι σὸν τὸ κατόρθωμα, μὴ τῆς ἀνάγκης, ὡς Θεῷ δουλεύων καὶ οὐκ ὡς ἀνθρώποις ἀρέσκων· εἰ γὰρ ἀνθρώποις ἀρέσαι βούλει, Χριστοῦ δοῦλος οὐκ εἶ· ἀπὸ προαιρέσεως, μὴ ἐξ ἀνάγκης.

Εἰδότες ὅτι ὃ ἄν τις ἐργάσηται ἀγαθὸν, τοῦτο κομιεῖται παρὰ Κυρίου εἴτε δοῦλος εἴτε ἐλεύθερος.

Ἐπειδὴ εἰκὸς ἦν πολλοὺς τῶν δεσποτῶν ἀπίστους ὄντας, μὴ

ἀμείβεσθαι τοὺς οἰκέτας τῆς ὑπακοῆς, ὅρα πῶς αὐτοὺς παρεμυθήσατο· ὥστε μὴ ὑποπτεύειν τὴν ἀνταπόδοσιν, ἀλλὰ σφόδρα θαρρεῖν ὑπὲρ τῆς ἀμοιβῆς.

9 *Καὶ οἱ κύριοι τὰ αὐτὰ ποιεῖτε πρὸς αὐτοὺς, ἀνιέντες τὴν ἀπειλήν· εἰδότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν, Κύριός ἐστιν ἐν οὐρανοῖς, καὶ προσωποληψία οὐκ ἔστι παρ' αὐτῷ.*

"Τὰ αὐτὰ" ποῖα; μετ' εὐνοίας δουλεύετε· ἀλλ' οὐκ εἶπεν δουλεύετε· καίτοιγε εἰπὼν "τὰ αὐτὰ", τοῦτο ἐδήλωσεν, δουλεύει γὰρ καὶ ὁ δεσπότης· μὴ ὡς ἀνθρωπαρέσκοι φησίν· μετὰ φόβου καὶ τρόμου τοῦ πρὸς Θεόν· δεδοικότες, μήποτε ὑμῖν ἐγκαλέσῃ ὑπὲρ τῆς εἰς τοὺς δούλους ἀμελείας· "ἀνιέντες" φησὶ, "τὴν ἀπει-"λήν·" ἀντὶ τοῦ μὴ φορτικοὶ, μηδὲ ἐπαχθεῖς· "εἰδότες ὅτι καὶ "αὐτῶν ὑμῶν Κύριός ἐστιν ἐν οὐρανοῖς·" τουτέστιν "ᾧ μέτρῳ "μετρεῖς, ἀντιμετρηθήσεταί σοι·" "καὶ προσωποληψία" φησὶν, "οὐκ ἔστι παρ' αὐτῷ·" μὴ νομίσῃς ὅτι τὰ εἰς δοῦλον γινόμενα ὡς εἰς δοῦλον οὕτως ἀφήσει· οἱ μὲν γὰρ ἔξωθεν νόμοι διαφορὰν ἴσασι τούτων τῶν γενῶν, ἅτε ἀνθρώπων ὄντες νόμοι· ὁ δὲ νόμος ὁ τοῦ κοινοῦ δεσπότου, οὐδεμίαν οἶδεν διαφοράν· ἅτε κοινῇ πάντας εὖ ποιῶν, καὶ πᾶσι τῶν αὐτῶν μεταδιδούς.

Ὠριγένης *δέ φησιν, τίνα "τὰ αὐτὰ" τῶν προειρημένων; οἶμαι οὖν ὅτι "ἐν ἁπλότητι καρδίας·" καὶ τὸ "ποιοῦντες τὸ "θέλημα τοῦ Θεοῦ," καὶ τὸ "ἐκ ψυχῆς καὶ μετ' εὐνοίας" τῆς πρὸς τοὺς οἰκέτας.*

ΚΕΦ. Ι.

Ἐν σχήματι ὁπλίσεως περὶ τῆς κατὰ Χριστὸν δυνάμεως.

10 *Τὸ λοιπὸν, ἀδελφοί μου ἐνδυναμοῦσθε ἐν Κυρίῳ, καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ.*

Τὸ "δυναμοῦσθε ἐν Κυρίῳ," δυναμοῦσθαι ἐστὶν ἐν λόγῳ καὶ ἐν σοφίᾳ, καὶ τῇ τῆς ἀληθείας θεωρίᾳ, καὶ πάσαις ταῖς Χριστοῦ ἐπινοίαις· οὗ μέγιστόν ἐστι τὸ τῆς ἰσχύος κράτος, καὶ κραταιότερον ἀρετῆς καὶ τῶν εἰδῶν αὐτῆς· ἅτινα πάντα εἰσὶ δυνάμεις,

ὥσπερ αἱ κακίαι ἀδυναμία· ἔστι δέ τις τῶν ἀρετῶν, ὡς φασὶν οἱ περὶ ταῦτα δεινοὶ, ἀθεώρητος, ἡ καλουμένη ἰσχύς· ὠνομασμένη οὕτως, τῷ ἀναλογίαν τινὰ ἔχειν πρὸς τὴν σωματικὴν ἰσχύν· καὶ ἄλλη θεωρητὸς, κάλλος ἀπὸ τοῦ σωματικοῦ ὠνομασμένη, καθ' ὃ κάλλος λέγεται, "περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν "σου δυνατὲ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου·" καὶ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων πρὸς τὴν νύμφην, "ὅλη καλὴ εἶ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί·" καὶ πάλιν ἐν τεσσαρακοστῷ τετάρτῳ ψαλμῷ "καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου."

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶν, "ἐνδυναμοῦσθε "ἐν Κυρίῳ·" τί ἐστιν ἐν Κυρίῳ; ἐν τῇ ἐλπίδι τῇ εἰς αὐτὸν, διὰ τῆς αὐτοῦ βοηθείας· ἐπειδὴ γὰρ πολλὰ ἐπέταξεν, ἅπερ ἔδει γενέσθαι, μὴ δείσητε, φησίν· ἐπιρρίψατε, φησὶν, τὴν ἐλπίδα ἐπὶ τὸν Θεὸν, καὶ πάντα ἐξευμαρίσει.

11 Καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτοῦ, ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ, πρὸς τὸ δύνασθαι ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου.

Τί ἐστι μεθοδεία; μεθοδεῦσαι ἐστὶ τὸ ἀπατῆσαι καὶ διὰ συντόμου ἑλεῖν· ὅπερ καὶ ἐπὶ τῶν τεχνῶν γίνεται, καὶ ἐν λόγοις καὶ ἐν ἔργοις καὶ ἐν παλαίσμασιν ἐπὶ τῶν παραγόντων ἡμᾶς· οἷόν τι λέγω· "οὐδέποτε φανερὰ προτίθησιν τὰ ἁμαρτήματα, ἀλλ' "ἑτέρως αὐτὰ κατασκευάζει ὁ ἐχθρὸς μεθοδεύων·" τουτέστιν, πιθανὰ κατασκευάζων, ἐπικαλύμμασι κεχρημένος.

Ὠριγένης δέ φησιν, ἐκ τῶν ἑξῆς καὶ τῶν περὶ τοῦ Σωτῆρος ἀναγεγραμμένων, ἔστιν εἰπεῖν πανοπλίαν εἶναι τοῦ Θεοῦ τὸν Χριστόν· ὥστε ταὐτὸν εἶναι τὸ "ἐνδύσασθε τὴν πανοπλίαν τοῦ "Θεοῦ," τῷ "ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν·" ἡ γὰρ ζώνη μέν ἐστιν ἡ ἀλήθεια· θώραξ δὲ ἡ δικαιοσύνη· ὁ Σωτὴρ δέ ἐστιν ἡ ἀλήθεια καὶ ἡ δικαιοσύνη· δηλονότι ὁ Σωτήρ ἐστιν ἡ ζώνη καὶ ὁ θώραξ.

Ἀνάλογον δὲ τούτοις αὐτοῖς ἂν εἴη ἡ ἑτοιμασία τοῦ Εὐαγγελίου τῆς εἰρήνης, καὶ ὁ τῆς πίστεως θυρεὸς, καὶ ἡ τοῦ σωτηρίου περικεφαλαία, καὶ ἡ τοῦ Πνεύματος μάχαιρα· ὅπέρ ἐστι ῥῆμα Θεοῦ ὁ ζῶν λόγος καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν

μάχαιραν δίστομον. ποίαν δὲ κἂν ἐπινοῆσαι ἄλλην ἔστιν λέγεσθαι πανοπλίαν Θεοῦ, ἣν χρὴ ἐνδύσασθαι τὸν ἐνστησάμενον πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, ἢ τὴν ἀρετὴν ἥτις ἐστιν ὁ Χριστός; τοῦτον γὰρ κατὰ πάσας τὰς ἐπινοίας αὐτοῦ ἐνδυσάμενος, ἱκανὸς ἔσται στῆναι πρὸς πάσας τὰς μεθοδείας τῆς κακίας, ἐνεργουμένας ὑπὸ τοῦ πατρὸς αὐτῆς διαβόλου.

Καὶ καθὸ μὲν τὴν ἀλήθειαν ἔζωσταί τις, οὐκ ἐξελκυσθήσεται ἐπὶ τοῦ συγκαταθέσθαι τοῖς ὑπὲρ τοῦ ψεύδους πιθανοῖς καὶ σοφισματώδεσι λόγοις· καθὸ δὲ τὴν δικαιοσύνην ἠμφίεται, ἄτρωτος ἔσται ἀπὸ τῶν βελῶν τῆς ἀδικίας, οὐδενὸς αὐτῶν καθικνουμένου καὶ ἄδικον ποιοῦντος τὸν ἐνδεδυμένον τὴν δικαιοσύνην· καὶ ὁ ὑποδησάμενος δὲ καλὰ ὑποδήματα τῆς ἑτοιμασίας τοῦ Εὐαγγελίου τῆς εἰρήνης, ὡς ἕτοιμος καὶ ἑτοιμάσας εἰς τὴν ἔξοδον τὰ ἔργα αὐτοῦ, καὶ διὰ τοῦτο εἰρήνης ἄνθρωπος γεγονὼς, οὔτε πολεμικόν τι καὶ στασιῶδες ἐργάσεται, οὔτε τοῖς ἀνετοίμοις συγκαταδικασθήσεται· χώραν τε οὐχ ἕξει ἡ ἐχθρὰ τῇ σωτηρίᾳ τοῦ τῶν ἀνθρώπων γένους ἀπιστία, ἔνθα ὁ τῆς πίστεως ἐστὶ θυρεός· ἄθραυστός τε διαφυλαχθήσεται τὴν κεφαλὴν τῆς ψυχῆς, ἐν ᾗ ἐστι τὰ θεῖα καὶ νοητὰ αἰσθητήρια, ὁ τὴν περικεφαλαίαν τοῦ σωτηρίου περικείμενος· ἀλλὰ καὶ ὡς γενναῖος στρατιώτης, πάντα τὰ πολέμια τῇ ἀληθείᾳ δόγματα κατακόψει καὶ ἀνελεῖ ὁ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστιν ῥῆμα Κυρίου, κρατῶν.

12 Ὅτι οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας· πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.

Νομίζω πρὸς αἷμα καὶ σάρκα εἶναι, πειρασμοὺς τοὺς λεγομένους παρ' αὐτῷ ἀνθρωπίνους πειρασμούς· ὅτε ἡ σὰρξ ἐπιθυμοῦσα κατὰ τοῦ πνεύματος, προσκαλεῖται ἡμᾶς ἐπὶ τὸ ποιῆσαι τὰ ἔργα αὐτῆς· οὐκέτι δὲ ἀνθρώπινος πειρασμὸς, οὐδὲ πρὸς αἷμα καὶ σάρκα ἡ πάλη, ὅτι ἤτοι ὁ Σατανᾶς μετασχηματιζόμενος εἰς ἄγγελον φωτὸς, ἀγωνίζεται ἡμᾶς πεῖσαι προσέχειν αὐτῷ ὡς ἀγγέλῳ φωτὸς, ἢ τί τῶν παραπλησίων τούτοις, ἃ γίνεται ἐν πάσῃ δυνάμει

καὶ σημείοις καὶ τέρασι ψεύδους, καὶ ἐν πάσῃ ἀπάτῃ ἀδικίας· καὶ εἰ πεῖσαι δέ τινα ὁ ἐχθρὸς παραδέξασθαι αὐτὸν ὡς Κύριον, ἐροῦντα ἐν αὐτῷ, τάδε λέγει Κύριος· ὥστε καὶ ὑπολαβεῖν τινὰ ἑαυτὸν προφήτην γεγονέναι τοῦ τῶν ὅλων Θεοῦ, ταῦτ᾽ ἂν ποιῆσαι, οὐχ ὡς αἷμα καὶ σὰρξ ἢ ἀνθρώπινος πειρασμὸς παλαίσας τῷ μέχρι τούτων ἑαυτὸν φρουρήσαντι· δι᾽ ὅπερ, οὐδαμῶς δοτέον τῷ διαβόλῳ.

Ἐρεῖ δέ τις τὸ " οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα " ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας" καὶ τὰ ἑξῆς, λέγεσθαι, ἵνα διδασκώμεθα μηδὲ τὰ νομιζόμενα ἀπὸ τοῦ φρονήματος ἔρχεσθαι τῆς σαρκὸς ἡμῖν ἁμαρτήματα, πρῶτον νομίζειν ἔρχεσθαι ἡμῖν ἀπὸ τῆς σαρκὸς καὶ τοῦ αἵματος, ἀλλ᾽ ἀπό τινων δυνάμεων ταῦτα ἐνεργουσῶν· εἰσὶ γάρ τινες δαίμονες ἐνεργοῦντες τοὺς ἔρωτας καὶ τὰ φίλτρα, ὡς δηλοῖ καὶ ὁ προφήτης λέγων· " πνεύματι " πορνείας ἐπλανήθησαν·" τόδ᾽ ὅμοιον εἰπεῖν, καὶ περὶ ἄλλων δαιμόνων, θυμὸν καὶ ὀργὴν ἐμποιούντων· οὓς ἀνακόπτοντες καὶ οἱ περίεργοι λέγονται θυμοκάτοχά τινα ποιεῖν· τὸ μισεῖν δὲ, οὐ χωρὶς τῶν ἐνεργούντων ποιοῦμεν, ὅτε μισοῦμεν, δαιμόνων—καὶ τοῦτο δέ τις ἐκ τῶν λεγομένων μισήτρων οὐκ ἀτόπως κατασκευάσει. ἐπεὶ οὖν βούλεται φησὶν, ἡμᾶς ὁ Ἀπόστολος διδάξαι, οὐκ ἀπὸ τῆς φύσεως τοῦ σώματος ἔρχεσθαι ἡμῖν τὸ ἁμαρτάνειν, διὰ τοῦτο λέγει, " οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, " ἀλλὰ πρὸς τὰς ἀρχὰς πρὸς τὰς ἐξουσίας" καὶ τὰ ἑξῆς. ζητοῦντες δὲ ἀπὸ ποίων παλαίων ὠφελημένος γράφων ὁ Παῦλος ταῦτα φησὶν ἀποκαλυφθεισῶν αὐτῷ καὶ φανερωθεισῶν, στοχαζόμεθα ὅτι ἐκ τῶν ἀναγεγραμμένων περὶ πολέμων καὶ μονομαχιῶν· οἷον τοῦ Δαβὶδ πρὸς τὸν Γολίαθ, καὶ τῶν υἱῶν Ἰσραὴλ πρὸς τοὺς ἀλλοφύλους, ἢ τὰ ἔθνη οἷς ἀνταγωνιζόμενοι νενικήκασιν· εἰκὸς γὰρ ἕκαστον ἐκείνων, σύμβολον εἶναι πνευματικῶν ἀρχῶν ἡττωμένων ἢ περιγινομένων.

Ἡ πάλη οὖν ἐστιν ἡμῖν πρὸς ἐξουσίας οὐχ ὁρατάς τινας καὶ σαρκίνας καὶ κοσμοκράτορος τοῦ περιέχοντος τὸ τῶν ἀνθρώπων γένος σκότους, καὶ πρὸς τὰ τῆς πονηρίας πνεύματα οἰκοῦντα τὸν ἐπουράνιον τόπον, τουτέστιν τὸν ἀέρα· καὶ ἐν ἄλλοις γοῦν εἶπεν·

“ ἐν οἷς περιεπατήσατε ποτὲ κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου· “ κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ “ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας.” ἔοικεν γὰρ ὁ περικεχυμένος ἡμῖν ἀὴρ, πεπληρῶσθαι δυνάμεων ἀντικειμένων· “ ὅτι “ οὐκ ἔστιν ἡμῖν ἡ πάλη” φησὶν, “ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ “ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας “ τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονη“ ρίας ἐν τοῖς ἐπουρανίοις.”

Ἐν τοῖς ἐπουρανίοις, φησὶν, ἡ μάχη κεῖται, οὐ περὶ χρημάτων οὐδὲ περὶ δόξης, ἀλλ᾽ ὑπὲρ ἀνδραποδισμοῦ ὁ ἀγών· ἢ τὸ “ ἐν τοῖς “ ἐπουρανίοις,” ἀντὶ τοῦ ὑπὲρ τῶν ἐπουρανίων· οὐχ ἵνα αὐτοὶ τινὸς τύχωσι νικήσαντες, ἀλλ᾽ ἵνα ἡμᾶς ἀποστερήσωσιν· ὡσανεὶ ἔλεγεν· ἡ συνθήκη, ἐν τίνι κεῖται; ἐν χρυσῷ; τὸ “ ἐν” ὑπέρ ἐστιν· τὸ “ ἐν” διά ἐστιν· διεγείρει οὖν ἡμᾶς ἡ δύναμις τοῦ ἐχθροῦ, τὸ εἰδέναι περὶ μεγάλων ὄντα τὸν κίνδυνον καὶ ὑπὲρ μεγάλων τὴν νίκην· τοῦ γὰρ οὐρανοῦ ἡμᾶς ἐκβάλλειν σπουδάζει· ἀρχάς τινάς φησι καὶ ἐξουσίας καὶ κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου· ποίου σκότους; ἆρα τῆς νυκτός; οὐδαμῶς· ἀλλὰ τῆς πονηρίας· ἦμεν γάρ ποτε σκότος φησι. τὴν πονηρίαν λέγω τὴν ἐν τῷ παρόντι βίῳ· οὐ γὰρ ἕξει περαιτέρω χώραν· οὐκ ἐν οὐρανῷ· οὐκ ἐν τῷ μετὰ ταῦτα αἰῶνι· κοσμοκράτορας δὲ αὐτοὺς φησίν· οὐχ ὡς τοῦ κόσμου κρατοῦντας· ἀλλ᾽ οἶδε τὸν κόσμον τοῦτον καλεῖν ἡ γραφὴ, τὰς πονηρὰς πράξεις· ὡς ὅταν λέγῃ ὁ Χριστός· “ ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου τούτου·” καὶ πάλιν, “ ὁ κόσμος “ ἐμὲ μισεῖ, ὑμᾶς δὲ οὐ δύναται μισεῖν·” πάλιν τὰς πονηρὰς πράξεις λέγων· οὕτω κόσμον ἐνταῦθα, τοὺς πονηροὺς ἀνθρώπους φησίν· οἱ δὲ δαίμονες μάλιστα τούτων κρατοῦσι· “ πρὸς τὰ “ πνευματικά” φησι “ τῆς πονηρίας, ἐν τοῖς ἐπουρανίοις.”

Ἀρχὰς δὲ καὶ ἐξουσίας φησὶ, καθάπερ καὶ ἐπὶ τῶν ἐπουρανίων· θρόνοι, κυριότητες, ἀρχαὶ, ἐξουσίαι. διὰ τοῦτο φησὶν “ ἀναλάβετε “ τὴν πανοπλίαν τοῦ Θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ “ τῇ πονηρᾷ· καὶ ἅπαντα κατεργασάμενοι, στῆναι·” ἡμέραν πάλιν πονηρὰν, τὸν παρόντα βίον φησί· καὶ αἰῶνα πονηρὸν τοῦτον φησὶν, ἀπὸ τῶν ἐν αὐτῷ γινομένων κακῶν· τουτέστιν, ἀεὶ ὁπλίζεσθε· “ καὶ “ ἅπαντα,” φησὶ, “ κατεργασάμενοι·” τουτέστιν καὶ πάθη καὶ ἐπι-

θυμίας ἀτόπους, καὶ τὰ ἐνοχλοῦντα ἡμῖν ἅπαντα· οὐχ ἁπλῶς ἐργάσασθαι εἶπεν, ἀλλ᾽ ὥστε κατεργάσασθαι, ὥστε ἀνελεῖν· οὐ δεῖ δὲ ἀνελεῖν μόνον, ἀλλὰ καὶ στῆναι μετὰ τὸ ἀνελεῖν· πολλοὶ γὰρ τὴν νίκην ταύτην νικήσαντες, πάλιν ἔπεσον.

13 Ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ.

Ὠριγένης. Ὁ ἀντιστῆναι ζητῶν ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ, ὀφείλει ἔχειν τὴν πανοπλίαν τοῦ Θεοῦ, ἣν ἐξέθετο ὁ Ἀπόστολος· δι᾽ ἣν ὁ ἐξ ἐναντίας ἐντραπήσεται οὐδὲν ἔχειν περὶ ἡμῶν λέγειν φαῦλον ὁ διάβολος καὶ κατήγορος τῶν ἀδελφῶν ἡμῶν καὶ ἀπατῶν εἰς ἰδίους καὶ τῆς μερίδος αὐτοῦ γεγενημένους τοὺς ἁμαρτωλούς. ἄλλος δέ τις ἐρεῖ, τὸν ἐνεστῶτα αἰῶνα εἶναι πονηρὰν ἡμέραν· τρίτος δὲ, παρὰ τὰς δύο ἐκδοχὰς ἔσται τίς λόγος λέγων, μὴ πέρας ἔχειν τὸν ἀγῶνα τῷ τὸν βίον τοῦτον ἐξεληλυθότι, ἀλλὰ καὶ τὸν ἐνταῦθα νενικηκότα, καὶ ἐν ἄλλῃ πονηρᾷ ἡμέρᾳ μέλλειν ἀγωνίζεσθαι, πρὸς τὰς ἀντικειμένας ἐνεργείας ἐπιφαινομένας.

14 Στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ.

Καὶ ἐν τῷ κατὰ Λουκᾶν γέγραπται· "ἔστωσαν, αἱ ὀσφῦες "ὑμῶν περιεζωσμέναι·" τίς δὲ ἡ ζώνη νῦν γινώσκομεν· ὁ τὰ τῆς γεννήσεως συστείλας πράγματα, καὶ μηκέτι αὐτῇ ὑπηρετῶν, ἀλλὰ σπεύδων ἐπὶ τὴν ἀθανασίαν, τὴν ὀσφῦν ζώννυται.

Καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης.

Ὥσπερ δυσπαθέστερός ἐστιν ὁ βαλλόμενος ὑπὸ τῶν ἐχθρῶν, ὁ θώρακα ἐνδυσάμενος, καὶ μάλιστα κατὰ τὰ κυριώτερα δυσπαθέστερος, οὕτως ὁ τὴν δικαιοσύνην ἠμφιεσμένος, οὐκ ἂν τρωθείη· οὔτε ὡς ἔλαφος τοξεύματι πεπληγὼς εἰς τὸ ἧπαρ· οὔτε γὰρ εἰς θυμὸν, οὔτε εἰς ἐπιθυμίαν ἐμπεσεῖται, ἀλλὰ καὶ καθαρὸς τὴν καρδίαν μενεῖ, τῷ ἐνδεδύσθαι τῆς δικαιοσύνης τὸν θώρακα, κεχαλκευμένον αὐτῷ ἀπὸ τοῦ τεχνίτου τῶν ὅλων Θεοῦ· ὅστις ἑκάστῳ τῶν ἀξίων κατασκευάσαι δίδωσι τὴν πανοπλίαν.

15 Καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης.

Παρατήρει, ὅτι δύναμίν τινα τῆς ψυχῆς πόδας ὠνόμασεν· οἷς

οἱονεὶ ὁδεύομεν βαδίζοντες, κατὰ τὸν εἰπόντα "ἐγώ εἰμι ἡ ὁδός·" οὕστινας ὑποδῆσαι δεῖ τῇ ἑτοιμότητι τοῦ τῆς εἰρήνης Εὐαγγελίου· οἶμαι δὲ τούτων τῶν ὑποδημάτων σύμβολα εἶναι τὰ ἐν τῇ Ἐξόδῳ ἐγγεγραμμένα ὑποδήματα, ἅπερ ἐχρῆν ἔχειν τοὺς ἐσθιόντας τὸ Πάσχα, καὶ ἑτοίμους ὄντας περὶ τὴν ὁδοπορίαν· οὕτω γάρ φησι, "φάγεσθε αὐτὸ, αἱ ὀσφῦες ὑμῶν περιεζωσμέναι, καὶ τὰ "ὑποδήματα ὑμῶν ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ὑμῶν ἐν "ταῖς χερσὶν ὑμῶν· καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· Πάσχα ἐστὶ "Κυρίου." ἑτοιμότητος γὰρ καὶ τὸ ἐσθίειν μετὰ σπουδῆς, καὶ τὸ ὑποδεδεμένον ἐσθίειν· ἵνα ἰσχυροποιηθέντες ὑπὸ τῶν τροφῶν, ὁδεῦσαι δυνηθῶσιν. ὁ μὲν οὖν ὁδεύων, ὑποδεδέσθω· ὁ δὲ φθάσας ἐπὶ τὴν ἁγίαν γῆν, ὑπολυέσθω· "λῦσαι," γάρ φησι, "τὸ ὑπόδημα ἐκ τῶν "ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας, γῆ ἁγία ἐστί." διὰ τοῦτο ὁ μὲν μὴ Ἀπόστολος, ὑποδεδέσθω τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης· ὁ δὲ Ἀπόστολος, μηκέτι ὑποδήματα αἱρέτω εἰς ὁδόν· ἤδη τελειωθεὶς καὶ ὢν ἐν τῷ τόπῳ, ὅπου καὶ ἑστηκὼς καὶ περιπατῶν ἐν γῇ ἁγίᾳ ἐστὶ, ζῶν ἐν Χριστῷ.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶν, συντάξας τὸ στρατόπεδον τοῦτο καὶ διεγείρας αὐτῶν τὴν προθυμίαν, λοιπὸν αὐτοὺς καθοπλίζει καὶ ἵστησιν εὐτάκτως. πρῶτον τὸ τακτικὸν εἶδος· τὸ εἰδέναι ἑστάναι καλῶς. διὰ τοῦτο πολλὰ περὶ τοῦ στῆναι διαλέγεται, καὶ ἑτέρωθι λέγων· "στήκετε· γρηγορεῖτε·" καὶ πάλιν οὕτως· "στήκετε ἐν Κυρίῳ·" ὁ ἑστὼς, ὀρθὸς ἕστηκεν· ὁ διακεχυμένος, οὐκ ἔτι, κλινόμενος τινί. ὁ τρυφῶν, οὐχ ἕστηκεν ὀρθός· ὁ λάγνος, ὁ φιλοχρήματος, ἀλλὰ κέκλιται. "στῆτε οὖν" φησι "περιζωσάμενοι τὴν ὀσφῦν ὑμῶν ἐν ἀληθείᾳ·" τί δὲ τὸ ζώννυσθαι; τὸν στρατιώτην διαρρέοντα καὶ διακεχαλασμένον ταῖς ἐπιθυμίαις καὶ χαμαιπετεῖς λογισμοὺς ἔχοντα συρομένους, ἀναστέλλει διὰ τῆς ζώνης, οὐκ ἐῶν αὐτὸν ἐμποδίζεσθαι ὑπὸ τῶν ἱματίων· συμπλεκόμενον ταῖς κνημίσιν, ἀλλ' εὐλύτοις τοῖς ποσὶν ἀφεὶς τρέχειν. ὀσφῦν δὲ ἐνταῦθα φησὶν, καθάπερ ἐπὶ τῶν νηῶν ἡ τρόπις, οὕτως καὶ ἐφ' ἡμῶν ἡ ὑπόθεσις παντὸς τοῦ σώματος ἡ ὀσφὺς ὥσπερ θεμέλιός ἐστι· καὶ ἐπ' αὐτῷ τὸ πᾶν οἰκοδομεῖται. καὶ ἡ ζώνη διὰ τοῦτο γίνεται ἐν τοῖς πολέμοις, ἵνα συγκρατῇ καὶ

συνέχῃ τὸν θεμέλιον τὸν ἐν ἡμῖν· διὰ τοῦτο καὶ τρέχοντες ζωννύμεθα· ἐκείνη ἀσφαλίζεται τὸ ἐν ἡμῖν ἰσχυρόν· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς γινέσθω, καὶ πᾶν ὁτιοῦν ποιοῦντες, ἰσχυροὶ ἐσόμεθα· ζώννυται δὲ ἡ ψυχὴ, τῷ κεφαλαίῳ τῶν λογισμῶν. τί ἐστιν "ἐν ἀλη-"θείᾳ·" μηδὲν ψεῦδος ἀγαπῶμεν· πάντα τὰ πράγματα μετέωμεν ἐν ἀληθείᾳ, δόγματά τε καὶ βίον· τὰ γὰρ μὴ ἀληθῆ, ἀπὸ τῆς γῆς ἐστιν.

Καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης.

Καθάπερ ὁ θώραξ ἄτρωτός ἐστιν, οὕτω καὶ ἡ δικαιοσύνη· δικαιοσύνην δὲ ἐνταῦθα, τὸν καθολικὸν καὶ ἐνάρετον βίον φησίν· τὸν τοιοῦτον, οὐδεὶς οὐδέποτε δυνήσεται καταβαλεῖν· ἀλλὰ τιτρώσκουσι μὲν πολλοὶ, διατέμνει δὲ οὐδείς.

Καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ Εὐαγγελίου τῆς εἰρήνης.

Ἐπειδὴ γὰρ πολέμου ἐμνήσθη καὶ μάχης, δείκνυσιν ὅτι τὴν μάχην, πρὸς τοὺς δαίμονας ἔχειν δεῖ· τὸ γὰρ Εὐαγγέλιον εἰρήνης ἐστίν· ἐκεῖνος ὁ πόλεμος, ἕτερον καταλύει πόλεμον τὸν πρὸς Θεόν· ἂν τῷ διαβόλῳ πολεμῶμεν, εἰρηνεύομεν τῷ Θεῷ· μὴ δείσῃς τοίνυν ἀγαπητὲ, εὐαγγέλιόν ἐστιν· ἤδη ἡ νίκη γεγένηται.

16 **Ἐν πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως.**

Ἐνταῦθα οὐ τὴν γνῶσιν φησίν· οὐ γὰρ αὐτὴν ὑστέραν ἔταξεν, ἀλλὰ δι' ἧς τὰ σημεῖα γίνεται· εἰκότως τὴν πίστιν ὀνομάζει θυρεόν· καθάπερ γὰρ ἐκεῖνος προβέβληται τοῦ παντὸς σώματος, ὥσπερ τεῖχος ὢν, οὕτω δὴ καὶ ἡ πίστις· πάντα γὰρ αὐτῇ εἴκει.

Ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι.

Οὐδὲν γὰρ δύναται τῷ θυρεῷ τούτῳ· ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος πρὸς τοὺς μαθητάς· "ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινά-"πεως, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετάβηθι ἐντεῦθεν ἐκεῖ, καὶ μεταβή-"σεται." πῶς δὲ ἕξομεν τὴν πίστιν; ὅταν ἐκεῖνα κατορθώσωμεν· βέλη δὲ αὐτοῦ, καὶ τοὺς πειρασμοὺς φησὶ, καὶ τὰς ἐπιθυμίας τὰς ἀτόπους· εἰ γὰρ δαίμοσιν ἐπέταξεν ἡ πίστις, πολλῷ μᾶλλον τοῖς πάθεσι τῆς ψυχῆς.

17 Καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε.

Τουτέστιν τῆς σωτηρίας ὑμῶν· περιφράττει γὰρ αὐτούς.

Καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστι ῥῆμα Θεοῦ.

Ἤτοι τὸ Πνεῦμά φησιν, ἤτοι ἐν τῇ μαχαίρᾳ τῇ πνευματικῇ· διὰ γὰρ ταύτης, πάντα τέμνεται· καὶ τὴν κεφαλὴν τοῦ δράκοντος διατέμνομεν διὰ ταύτης.

Θεόδωρος. Καλῶς τὸ "ὅ ἐστι ῥῆμα Θεοῦ," εἰς παράστασιν τοῦ δυνατοῦ τῆς ἐνεργείας τοῦ Πνεύματος· ῥῆμα γὰρ Θεοῦ λέγει, ἀντὶ τοῦ Θεοῦ ἐνέργεια· ὡς τὸ "τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστε-"ρεώθησαν·" ἀντὶ τοῦ τῇ ἐνεργείᾳ καὶ τῇ δυνάμει τοῦ Θεοῦ ταῦτα συνέστη· οὕτως καὶ παρὰ τοῖς προφήταις κεῖται συνεχῶς, "τὸ ῥῆμα τοῦ Θεοῦ ὃ ἐγένετο·" καὶ "λόγος Κυρίου ὃς ἐγένετο·" ἀντὶ τοῦ ἡ ἀποκάλυψις ἡ κατ' ἐνήργειαν τοῦ Θεοῦ εὐαποτεθεῖσα· κἀνταῦθα τοίνυν Θεοῦ ῥῆμα, τὴν τοῦ Πνεύματος ἐκάλεσεν ἐνέργειαν.

Σευηριανὸς δέ φησι, εἰ ἡ μάχαιρα ῥῆμα Θεοῦ, Πνεύματος δὲ ἡ μάχαιρα, Θεὸς ἄρα τὸ Πνεῦμα, οὗ ἡ μάχαιρα· εἴτε ῥῆμα Θεοῦ τὸ Πνεῦμα τὸ Ἅγιον εἶπε, δηλονότι ὡς Λόγος ὁ Υἱὸς τοῦ Θεοῦ, οὕτως καὶ ῥῆμα τοῦ Θεοῦ τὸ Πνεῦμα. μάχαιραν δὲ τοῦ Πνεύματος εἶπεν, τὴν τιμωρητικὴν ἐνέργειαν τοῦ Πνεύματος.

Ὠριγένης φησὶ, βέλη τοῦ πονηροῦ, οἱ πονηροί εἰσι διαλογισμοί· οὐδὲ τὴν ἀρχὴν οὖν βαλεῖν εἰς τὴν καρδίαν δυνήσεται, ἐπὰν τίς σκεπόμενος τῷ τῆς πίστεως θυρεῷ σβεννυμένων πάντων τῶν πεπυρωμένων τοῦ ἐχθροῦ βελῶν ἐν αὐτῷ· ἐρεῖ δὲ τὸν θυρεὸν τῆς πίστεως περικείμενος, "ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε "τῇ ψυχῇ μου, μεταναστεύου ἐπὶ τὰ ὄρη, ὡς στρουθίον; ὅτι ἰδοὺ "οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον· ἡτοίμασαν βέλη εἰς φαρέτραν, "τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ." πεποιθότος γάρ μου, φησὶν, ἐπὶ τῷ Κυρίῳ, πῶς μοι συμβουλεύετε μὴ ἵστασθαι πρὸς τὰ ὑπὸ τῶν ἁμαρτωλῶν ἐντεινόμενα κατ' ἐμοῦ τόξα καὶ ἑτοιμαζόμενα ὑπ' αὐτῶν βέλη ἐν φαρέτραις, θελόντων τρῶσαι τοὺς εὐθεῖς τῇ καρδίᾳ; ἰδοὺ γὰρ καὶ ἕστηκα, καὶ οὐ μεταναστεύω· καὶ πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα ὅσον οὔπω σβεσθήσεται.

18 Διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν
παντὶ καιρῷ ἐν Πνεύματι καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν
πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν
19 ἁγίων καὶ ὑπὲρ ἐμοῦ.

Ὁ ὑγιαίνων λόγος ἀπὸ Θεοῦ Πνεύματος ῥεῖ· ὁ δὲ ἐναντίος ἐκ τῆς γῆς λαλεῖ· "ὁ γὰρ ὢν ἐκ τῆς γῆς, ἐκ τῆς γῆς ἐστι, καὶ ἐκ τῆς "γῆς λαλεῖ· ὁ ἐκ τοῦ οὐρανοῦ ἐρχόμενος ἐπάνω πάντων ἐστίν· καὶ "ὃ ἑώρακεν καὶ ἤκουσεν, τοῦτο μαρτυρεῖ·" ὁ δὲ ἐκ τοῦ Πνεύματος λόγος μάχαιρά ἐστιν. δι' ὅπερ ἐνταῦθα, φησὶν ὁ Παῦλος τὴν μάχαιραν τοῦ Πνεύματος εἶναι ῥῆμα Θεοῦ. "ζῶν γὰρ ὁ λόγος "τοῦ Θεοῦ καὶ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν "δίστομον, καὶ διικνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ Πνεύμα-"τος." τέμνει τε καὶ διαιρεῖ ἀνύων καὶ διὰ τῆς προσευχῆς καὶ δεήσεως ἐν τοῖς πάντι καιρῷ προσευχομένοις, καὶ προσευχομένοις πνεύματι κατὰ τὸ "προσεύξομαι πνεύματι·" καὶ ἀνύει τοῖς ὑπὲρ τοῦ πλουτῆσαι ἐν ῥήματι Θεοῦ· ἀγρυπνοῦσι καὶ προσκαρτεροῦσι τῇ τούτου κτήσει, ἐπὶ τῷ καὶ ἄλλους ὠφελῆσαι, καὶ τοῖς ὠφελοῦσι διὰ τῶν εὐχῶν ἐνεργῆσαι· παρατήρει δὲ καὶ τὸ τοῦ Ἀποστόλου μέτριον, αἰτοῦντος ἀπὸ τῶν Ἐφεσίων δεήσεις γένεσθαι ὑπὲρ αὐτοῦ.

Σετηριανὸς φησὶν, "προσευχόμενοι Πνεύματι" οὐκ ἁπλῶς εἶπεν· ἀλλ' ἐπειδὴ καθ' ὃ δεῖ προσεύξασθαι οὐκ οἴδαμεν, φησὶν, ἀλλαχοῦ, αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν· ἵνα αὗται αἱ αἰτήσεις ὑμῶν μηδὲν ἔχωσι σαρκικόν· πνευματικὰς δὲ αἰτήσεις ἔχομεν τῇ δυνάμει τοῦ Πνεύματος βοηθουμένας.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶν, καθώπλισεν αὐτοὺς μετὰ πάσης ἀσφαλείας· τί οὖν δεῖ λοιπόν; τὸν βασιλέα καλεῖν καὶ παρακαλεῖν ὥστε ὀρέξαι χεῖρα. "δι' ἁπάσης προσευχῆς," φησὶν, "καὶ δεήσεως· προσευχόμενοι ἐν πάντι καιρῷ ἐν Πνεύ-"ματι." ἔστι γὰρ μὴ προσεύχεσθαι ἐν Πνεύματι, ὅταν τις βαττολόγῃ· "καὶ εἰς αὐτὸ" φησὶ "ἀγρυπνοῦντες·" τουτέστιν, νηφόντες· τοιοῦτον εἶναι χρὴ τὸν καθωπλισμένον, τὸν παρὰ τὸν βασιλέα ἑστῶτα ἄγρυπνον, νηφάλιον.

Ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων

ἁγίων καὶ ὑπὲρ ἐμοῦ ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στοματός μου.

Οὐκ ἄρα ἐμελέτα ἅπερ ἔλεγεν· ἀλλὰ καθὼς εἶπεν ὁ Χριστὸς "ὅταν παραδῶσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τι λαλήσητε· δοθή-"σεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τί λαλήσητε·" οὕτως πάντα πίστει ἔπραττε, πάντα χάριτι. "ἐν παρρησίᾳ" φησὶν "γνωρίσαι "τὸ μυστήριον τοῦ Εὐαγγελίου·" τουτέστιν ἵνα ἀπολογήσωμαι ὡς χρὴ, μετὰ παρρησίας, μετὰ συνέσεως, μετὰ ἀνδρείας.

Ὠριγένης. Ὅταν ἀνοιχθῇ τὸ στόμα δοθέντος λόγου, τότε παρρησίᾳ γνωρίζεται τὸ μυστήριον τοῦ Εὐαγγελίου, καὶ οὐκ ἔτι ἐν παροιμίαις καὶ παραβολαῖς· ὡς καὶ ὁ Σωτὴρ φησὶν, "ἔρχεται "ὥρα, ὅτε οὐκ ἔτι ὑμῖν ἐν παροιμίαις λαλήσω, ἀλλὰ παρρησίᾳ "περὶ τοῦ Πατέρος ἀπαγγελῶ ὑμῖν·" τὸν δὲ ἐν παρρησίᾳ λόγον, μόνος καὶ πᾶς χωρῆσαι δύναται, ὁ τὴν καρδίαν ἔχων μὴ καταγινώσκουσαν, "ἐπεὶ ἐὰν ἡ καρδία μὴ καταγινώσκῃ, παρρησίαν ἔχο-"μεν πρὸς τὸν Θεόν· καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ·" ὅθεν καὶ σπάνιος ὁ ἐν παρρησίᾳ γνωρίζων τὸ μυστήριον, τῷ σπάνιον εἶναι τὸν παρρησίαν ἔχοντα πρὸς Θεόν· τίς γὰρ καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν; ἢ τίς παρρησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν;

21 *Ἵνα δὲ εἰδῆτε καὶ ὑμεῖς τὰ κατ' ἐμὲ τί πράσσω,*
πάντα ὑμῖν γνωρίσει Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ
22 *πιστὸς διάκονος ἐν Κυρίῳ· ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς*
αὐτὸ τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν, καὶ παρακαλέσῃ
τὰς καρδίας ὑμῶν.

Ἐπεὶ πᾶς ὁ τοῦ Ἀποστόλου βίος καὶ πᾶσα πράξις αὐτοῦ καὶ ἐνεργεία λόγῳ Θεοῦ ἐγίνετο, ζῶντος ἐν αὐτῷ τοῦ Χριστοῦ, διὰ τοῦτο πέμπει τὸν Τυχικὸν, τὸν κανόνα τοῦ βίου καὶ τὴν τάξιν τῶν πράξεων αὐτοῦ ἀπαγγελοῦντα τοῖς Ἐφεσίοις· καὶ ἔπρεπέ γε τῷ Ἀποστόλῳ ὑπὲρ τοῦ ἔχειν παράδειγμα πολιτείας ἀγαθῆς τοὺς Ἐφεσίους, πέμψαι δι' αὐτὸ τοῦτο τὸν Τυχικόν· ἔμελλον δὲ καὶ παρακαλεῖσθαι τὰ ἀρίστα καὶ τὰ Ἀποστόλῳ ἁρμόζοντα κατορθοῦσθαι μανθάνοντε στῷ Παύλῳ.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης οὕτως φησὶν, ἐπειδὴ

δεσμῶν ἐμνήσθη, ἀφίησί τι καὶ τῷ Τυχικῷ παρ' ἑαυτοῦ διαλεχθῆναι. ἃ μὲν γὰρ ἦν δογμάτων καὶ παρακλήσεως, ταῦτα διὰ τῆς Ἐπιστολῆς ἐδήλου· ἃ ἀπ' ἀγγελίας ψιλῆς, ταῦτα τῷ κομίζοντι τὴν Ἐπιστολὴν ἐπέτρεπεν· "ἵνα γνῶτε," φησὶ, "τὰ "περὶ ἡμῶν," τουτέστιν ἵνα μάθητε· τοῦτο καὶ αὐτοῦ τὴν ἀγάπην ἐδήλου τὴν πρὸς αὐτοὺς καὶ τὴν ἐκείνων.

23 Εἰρήνη τοῖς ἀδελφοῖς, καὶ ἀγάπη μετὰ πίστεως ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εὔχεται αὐτοῖς εἰρήνην εἶναι ἀγάπην μετὰ πίστεως. καλῶς εἶπεν, οὐκ ὥστε ἁπλῶς ἔχειν τὸν τῆς ἀγάπης λόγον, καὶ τοῖς ἑτεροπίστοις ἑαυτοὺς ἀναμιγνύναι· ἢ τοῦτο, ἢ ἐκεῖνο φησίν· ὥστε καὶ πίστιν αὐτοὺς ἔχειν καὶ θαρρεῖν περὶ τῶν μελλόντων. ἡ εἰρήνη πρὸς τὸν Θεὸν καὶ ἡ ἀγάπη· ἐὰν γὰρ εἰρήνη, καὶ ἀγάπη ἔσται· καὶ ἐὰν ἀγάπη, καὶ εἰρήνη ἔσται· "μετὰ πίστεως·" οὐδὲν γὰρ ὄφελος ἀγάπης, πίστεως χωρίς. μᾶλλον δὲ οὐδ' ἂν γένοιτο ἀγάπη ἑτέρως.

Ὠριγένης φησὶν, εἰ καὶ τί ἄλλο δῶρον ἔστι διδόμενον ἀπὸ Θεοῦ Πατρὸς καὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ εἰρήνη, ὅπερ ἓν τῶν τιμιωτάτων ἐστὶ δώρων, ἡ ὑπερέχουσα πάντα νοῦν· ἥτις φρουρήσει τὰς καρδίας καὶ τὰ νοήματα τῶν ἁγίων· γαληνή τις καὶ εὐδία οὖσα ψυχῆς, πάντος χειμῶνος καὶ πάσης ἀκαταστασίας καὶ πάθους ἀλλοτρία· ὁμοίως δὲ τῇ εἰρήνῃ καὶ ἡ μετὰ πίστεως ἀγάπη δῶρον ἐστὶ διδόμενον ἀπὸ Θεοῦ καὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· ἀγάπη δὲ πρὸς Θεὸν μὲν, ὡς γέγραπται "ἐξ ὅλης "καρδίας," καὶ τῶν ἑξῆς· πρὸς τὸν πλησίον δὲ ὡς ἑαυτόν· ἀλλὰ καὶ πρὸς τοὺς ἐχθροὺς ὁ λαβὼν δῶρον τὴν ἀγάπην ἐπιφαίνει αὐτὴν, οὐδένα μισῶν καὶ ὑπὲρ τῶν ἐπηρεαζόντων εὐχόμενος. "ἡ χάρις "μετὰ πάντων ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν "ἀφθαρσίᾳ." διηγήσαντό τινες εἶναι τὸ ἀγαπᾶν αὐτὸν ἐν ἀφθαρσίᾳ, καθαρεύοντα ἀπὸ τῶν ἔργων τῆς φθορᾶς· ἔργα δὲ τῆς φθορᾶς ἔστι τὰ κατὰ τὴν συνουσίαν· ὅθεν καὶ ἡ συνήθεια ἀφθόρους ὀνομάζε τοὺς καθαροὺς ἀπὸ συνουσίας, καὶ ἐφθαρμένους, τοὺς μίξεως γευσαμένους· ὑπερτείνοντες δέ τινες τὸ "εἴ τις τὸν ναὸν τοῦ Θεοῦ "φθείρει, φθερεῖ αὐτὸν ὁ Θεός."

Χρυσοστόμου. Οὕτως ἐδείξαντο οὐ δυναμένοι τούτῳ ὁμοίωσαι τὸ "ἀλλὰ ἕκαστος ἴδιον ἔχει χάρισμα ἐκ Θεοῦ·" ὁ μὲν οὕτως, ὁ δὲ οὕτως· ὅρα δὲ εἰ δύναται πᾶσα μὲν ἁμαρτία φθορὰ εἶναι ψυχῆς· ἡ δὲ παντελὴς αὐτῆς ἀποχὴ ἀφθαρσία· ὥστε τοὺς ἀγαπῶντας τὸν Κύριον ἡμῶν Ἰησοῦν Χρίστον ἐν ἀφθαρσίᾳ εἶναι, τοὺς πάσης ἁμαρτίας ἀπεχομένους· μεθ' ὧν πάντων ἐστὶ τοῦ Θεοῦ χάρις. ὡς ὄντων μέντοι γέ τινων τῶν ἀγαπώντων μὲν τὸν Κύριον, οὐ μὴν ἐν ἀφθαρσίᾳ ἀγαπώντων αὐτὸν, φησὶν ὁ Παῦλος, "ἡ χάρις μετὰ "πάντων τῶν ἀγαπώντων τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν "ἀφθαρσίᾳ." Θεοῦ φησίν· πᾶσι δὲ προσείη τοῦ Θεοῦ ἡ χάρις τοῖς ἀγαπῶσι τὸν Χριστὸν καὶ ἐν ἀφθαρσίᾳ πολιτευομένοις. ἔοικεν δὲ μὴ εἰρηκέναι ἡ χάρις μεθ' ὑμῶν συνήθως· ἀλλ' ἁπλῶς τῶν ἀγαπώντων τὸν Κύριον ἐν ἀφθαρσίᾳ, ἐπὶ τῷ παιδεῦσαι αὐτοὺς, πολλὴν τούτου ποιεῖσθαι τὴν ἐπιμέλειαν· ὡς ἂν τῶν τοιούτων καὶ τῆς παρὰ τοῦ Θεοῦ χάριτος ἀπολαύειν δυναμένων· ὡς γὰρ φησὶν καὶ Σευηριανὸς, τῆς φθορᾶς τίς ἀπαλαττόμενος ἀπὸ τοῦ διαβόλου, ἐν ἀφθαρσίᾳ δέχεται τὴν χάριν τοῦ Πνεύματος.

(Χρυσοστόμου.) Καὶ ὁ μακάριος Ἰωάννης, τί ἐστιν ἐν ἀφθαρσίᾳ; ἤτοι ἐν κοσμιότητι ὑπὲρ τῶν ἀφθάρτων πραγμάτων· οἷον μὴ ἐν πλούτῳ ἀλλ' ἐν ἐκείνοις τοῖς ἀφθάρτοις. τὸ "ἐν" διά ἐστιν· διὰ ἀφθαρσίας φησίν· τουτέστι δι' ἀρετῆς. "πᾶσα γὰρ ἁμαρτία "φθορὰ ἦν. ῥωθείημεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν "Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατέρι, ἅμα τῷ Ἁγίῳ Πνεύματι, "δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰωνῶν. "Ἀμήν."

Τριας * μονὰς * ἐλεήσον.

Τῶν εἰς τὴν πρὸς Ἐφησίους Ἐπιστολὴν Παύλου τοῦ Ἀποστόλου ἐξηγητικῶν ἐκλογῶν τόμος, ἀπὸ φωνῆς Ὠριγένους, τοῦ μακαρίου Ἰωάννου, Σευηριανοῦ, Θεοδώρου.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ΟΙ Φιλιππησίοι ἀπὸ πόλεως εἰσὶ τῆς Μακεδονίας· πόλεως κολωνείας, καθὼς ὁ Λουκᾶς φησίν. ἐνταῦθα ἡ πορφυρόπωλις ἐπέστρεψεν, εὐλαβὴς γυνὴ σφόδρα καὶ προσεκτική· ἐνταῦθα ὁ ἀρχισυνάγωγος ἐπίστευσεν· ἐνταῦθα ἐμαστίχθη ὁ Παῦλος μετὰ τοῦ Σίλα· ἐνταῦθα οἱ στρατηγοὶ ἠξίωσαν αὐτοὺς ἐξελθεῖν, καὶ ἐφοβήθησαν αὐτοὺς, καὶ λαμπρὰν ἔσχεν τὸ κήρυγμα τὴν ἀρχήν. μαρτυρεῖ δὲ αὐτοῖς μὲν αὐτὸς πολλὰ καὶ μεγάλα· στέφανον αὐτοῦ καλῶν αὐτούς· καὶ πολλὰ πεπονθέναι λέγων· "ὑμῖν γὰρ ἐχα- "ρίσθη," φησὶν, "ἀπὸ τοῦ Θεοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, "ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν." ὅτε δὲ ἔγραφεν πρὸς αὐτοὺς, συνέβη αὐτὸν δέδεσθαι· διὰ τοῦτο φησὶν, "ὥστε τοὺς δεσμοὺς "μου φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ" πραιτώριον τὰ βασιλεία τοῦ Νέρωνος καλῶν. ἀλλ' ἐδέθη καὶ ἀφεῖθη· καὶ τοῦτο πρὸς Τιμόθεον ἐδήλωσεν εἰπὼν, "ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, οὐδείς μου συμπαρεγένετο, ἀλλὰ πάντες με ἐγκατέλιπον· μὴ "αὐτοῖς λογισθείη· ἀλλ' ὁ Κύριος μοι παρέστη καὶ ἐνεδυνάμωσέν "με." τὰ οὖν δεσμὰ ἐν οἷς ἦν πρὸ τῆς ἀπολογίας ἐκείνης λέγει· ὅτι γὰρ οὐ παρῆν Τιμόθεος τότε, δῆλον· "ἐν γὰρ τῇ πρώτῃ μου "ἀπολογίᾳ," φησὶν, "οὐδείς μοι συμπαρεγένετο." καὶ τοῦτο αὐτῷ γράφων ἐδήλου· οὐκ ἂν οὖν εἰ ᾔδει τοῦτο ἔγραψεν αὐτῷ· ὅτε δὲ τὴν Ἐπιστολὴν ἔγραφεν ταύτην, μετ' αὐτοῦ Τιμόθεος ἦν· καὶ δηλοῖ ἐξ ὧν φησὶν, "ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ Τιμόθεον τα- "χέως πέμψαι ὑμῖν." καὶ πάλιν· "τοῦτον μὲν ἐλπίζω εὐθέως πέμ- "ψαι ὑμῖν, ὅταν ἀπίδω τὰ περὶ ἐμέ." ἐξ αὐτῆς ἀφέθη γὰρ ἀπὸ τῶν δεσμῶν καὶ πάλιν ἐδέθη, μετὰ τὸ πρὸς αὐτοὺς ἐλθεῖν. εἰ δὲ λέγει

ὅτι "εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ·" καὶ "λειτουργία τῆς πιστέως "ὑμῶν," οὐχ ὡς ἤδη τούτου γενομένου, ἀλλ' ὅτι καὶ ὅταν τοῦτο συμβῇ, χαίρω φησὶν, διανιστῶν αὐτοὺς ἀπὸ τῆς ἀθυμίας τῆς ἐπὶ τοῖς δεσμοῖς· ὅτι γὰρ οὐκ ἔμελλεν τότε ἀποθανεῖσθαι, δῆλον ἐξ ὧν φησὶν, "ὅτι ἐλπίζω δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ταχέως ἐλεύ- "σομαι πρὸς ὑμᾶς·" καὶ πάλιν· "καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι "μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν."

Ἦσαν δὲ πέμψαντες πρὸς αὐτὸν οἱ Φιλιππήσιοι τὸν Ἐπαφρόδιτον χρήματα ἀποίσοντα αὐτῷ, καὶ εἰσόμενον τὰ κατ' αὐτόν. διέκειντο γὰρ σφόδρα περὶ αὐτόν. ὅτι γὰρ ἔπεμψαν, ἄκουε αὐτοῦ λέγοντος· "ἀπέχω πάντα καὶ περισσεύω· πεπλήρωμαι δεξάμενος παρὰ "Ἐπαφροδίτου τὰ παρ' ὑμῶν·" ἐπεὶ οὖν ἔπεμψαν τοῦτο εἰσόμενοι, δηλοῖ εὐθέως ἐν τῇ ἀρχῇ τῆς Ἐπιστολῆς τὰ καθ' αὐτὸν γράφων καὶ λέγων. "γιγνώσκειν δὲ ὑμᾶς βούλομαι, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς "προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθε·" καὶ πάλιν· "ἐλπίζω Τιμώ- "θεον ταχέως πέμψαι ὑμῖν· ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν·" τὸ "ἵνα κἀγὼ," δηλοῦντός ἐστιν, ὅτι ὥσπερ ὑμεῖς ὑπὲρ πολλῆς πληροφορίας ἐπέμψατε εἰσόμενοι· οὕτω καὶ ἐγὼ ἵνα εὐψυχῶ γνοὺς τὰ περὶ ὑμῶν. ἐπεὶ οὖν καὶ πολὺν χρόνον, ἦσαν μὴ πέμψαντες, τοῦτο γὰρ δηλοῖ διὰ τοῦ εἰπεῖν· "ἤδη ποτε ἀνεθάλλετε τὸ ὑπὲρ "ἐμοῦ φρονεῖν·" καὶ τότε ἤκουον αὐτὸν ἐν δεσμοῖς εἶναι. εἰ γὰρ περὶ Ἐπαφροδίτου ἤκουσαν, ὅτι ἠσθένησε· μὴ ὄντος σφόδρα ἐπισήμου, ὡς ὁ Παῦλος, πολλῷ μᾶλλον περὶ Παύλου· καὶ εἰκὸς ἦν αὐτοὺς θορυβεῖσθαι. διὰ τοῦτο ἐν τοῖς προοιμίοις τῆς Ἐπιστολῆς πολλὴν προσφέρει παράκλησιν ὑπὲρ τῶν δεσμῶν· δεικνὺς ὅτι οὐ μόνον οὐ χρὴ θορυβεῖσθαι, ἀλλὰ καὶ χαίρειν. εἶτα περὶ ὁμονοίας συμβουλεύει καὶ ταπεινοφροσύνης· ταύτην εἶναι αὐτοῖς ἀσφάλειαν διδάσκων μεγίστην· καὶ οὕτω τῶν ἐχθρῶν αὐτοὺς εὐκόλως δύνασθαι περιγενέσθαι. οὐ γὰρ τὸ δεσμεῖσθαι λυπηρὸν τοὺς διδασκάλους ὑμῶν· ἀλλὰ τὸ μὴ ὁμονοεῖν τοὺς μαθητάς· τοῦτο μὲν γὰρ καὶ ἐπίδοσιν τῷ εὐαγγελίῳ δίδωσιν, ἐκεῖνο δὲ διασπᾷ. παραινέσας τοίνυν αὐτοῖς ὁμονοεῖν, καὶ δείξας ὅτι ἀπὸ ταπεινοφροσύνης ἡ ὁμονοία γίνεται· μὴ διατεινάμενος πρὸς τοὺς πανταχοῦ τῷ δόγματι λυμαινομένους Ἰουδαίους προσχήματι Χριστιανισμοῦ· κύνας τὲ αὐτοὺς κάλεσας καὶ κακοὺς ἐργάτας, καὶ παραινέσας

ἀπέχεσθαι αὐτῶν, καὶ πείσας τίσι δεῖ προσέχειν· καὶ περὶ ἠθικῶν πολλὰ διαλεχθεὶς καὶ ῥυθμίσας αὐτοὺς, καὶ ἀνακτησάμενος διὰ τοῦ εἰπεῖν "ὁ Κύριος ἐγγύς," μέμνηται μετὰ τῆς προσηκούσης αὐτῷ συνέσεως καὶ τῶν πεμφθέντων· καὶ οὕτω πολλὴν τὴν παράκλησιν προσάγει.

Φαίνεται δὲ μετὰ πολλῆς αὐτοῖς μάλιστα γράφων τιμῆς, καὶ οὐδὲν ἐπιπληκτικὸν οὐδαμοῦ· ὅπερ ἦν τεκμήριον τῆς ἀρετῆς αὐτῶν, τὸ μηδὲ μίαν δοῦναι τῷ διδασκάλῳ λαβήν· μηδὲ ἐν τάξει ἐπιτιμήσεως, ἀλλ' ἐν τάξει παραινέσεως πάντα πρὸς αὐτοὺς ἐπεσταλκέναι. ὅπερ δὲ ἔφην καὶ ἐξ ἀρχῆς, ἡ πόλις αὕτη, πολλὴν ἐπεδείξατο εἰς τὴν πίστιν ἐπιτηδειότητα· εἴγε ὁ δεσμοφύλαξ, ἴστε δὲ ὅτι πάσης κακίας τὸ πρᾶγμα μεστὸν, εὐθέως ἀπὸ ἑνὸς σημείου μὲν προσέδραμε, καὶ ἐβαπτίσθη μετὰ τοῦ οἴκου αὐτοῦ παντός· τὸ μὲν γὰρ γεγονὸς σημεῖον εἶδε μόνος αὐτὸς, τὸ δὲ κέρδος οὐ μόνος ἐκαρπώσατο, ἀλλὰ μετὰ τῆς γυναικὸς καὶ τοῦ οἴκου παντός. εἰ δὲ δεῖ εἰπεῖν Εὐωδίαν καὶ Συντύχην, τὴν μὲν γυναῖκα εἶναι τοῦ δεσμοφύλακος, τάχα καὶ αὐτὸν τὸν ἄνδρα· ἀλλὰ καὶ αὐτοὶ οἱ στρατηγοὶ, οἱ μαστίξαντες αὐτὸν, εὑρίσκονται ἀπὸ συναρπαγῆς μᾶλλον, καὶ οὐ πονηρίας τοῦτο πεποιηκότες· τῷ τε εὐθέως πέμψαι καὶ ἀφεῖναι αὐτὸν, καὶ τῷ φοβηθῆναι ὕστερον. μαρτυρεῖ δὲ αὐτοῖς οὐκ ἐν πίστει μόνῃ, οὐδὲ ἐν κινδύνοις, ἀλλὰ καὶ ἐν εὐποιΐᾳ· "δι' ὧν," φησὶν, "ὅτι καὶ ἐν ἀρχῇ τοῦ εὐαγγελίου καὶ ἅπαξ καὶ δὶς εἰς τὴν χρείαν μου ἐπέμψατε," οὐδενὸς ἑτέρου τοῦτο ποιοῦντος· "οὐδεμία γάρ μοι," φησὶν, "ἐκκλησία ἐκοινώνησεν, εἰς λόγον δόσεως καὶ λήψεως." καὶ τὴν ἔλλειψιν δὲ ἀκαιρίας εἶναι μᾶλλον ἢ προαιρέσεως· "οὐχ ὅτι οὐκ ἐφρονεῖτε," φησὶν, "ὑπὲρ ἐμοῦ, ἠκαιρεῖσθε δέ·" ταῦτα καὶ ἡμεῖς εἰδότες καὶ τοσούτους ἔχοντες τύπους, καὶ τὸ φίλτρον τὸ πρὸς αὐτούς. ὅτι γε ἐφίλει σφόδρα αὐτοὺς, δῆλον· οὐδένα γὰρ ἔχω, φησὶν, ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει· καὶ πάλιν διὰ τὸ ἔχειν μὲν τῇ καρδίᾳ ὑμᾶς καὶ τοῖς δεσμοῖς μου· καὶ ἡμεῖς καὶ ἑαυτοὺς παρέχω μὲν ἀξίους τῶν τοιούτων ὑποδειγμάτων, περὶ τὸ πάσχειν ὑπὲρ Χριστοῦ ἕτοιμοι γιγνόμενοι· ἀλλὰ Δαβὶδ φησιν[a] ἐν ταύτῃ

[a] Aliqua desunt, nullo autem lacunæ indicio.

τῇ Ἐπιστολῇ, κληρικοῖς γράφει οὐ λαϊκοῖς. δι' ὅπερ οὐδὲ πλειόνων ἐδεήθη ἠθικῶν· σπουδὴ δὲ αὐτῷ διὰ τῆς Ἐπιστολῆς τὸ τῆς ταπεινοφροσύνης κατορθωθῆναι ἐν αὐτοῖς· δι' αὐτῆς δὲ τῆς παραινέσεως, δείκνυσιν αὐτῶν τὸ ἀκριβὲς τοῦ ἄλλου βίου. σπανίως γάρ τις καὶ ἁμαρτάνει καὶ φυσιοῦται· τὸ γὰρ τῆς φυσιώσεως ἅπτεται τῶν κάλλιστα βιούντων· καὶ ὑπ' αὐτοῦ τούτου ὡς τὰ πολλὰ ἐπαιρομένων.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Εὐχαριστία ὑπὲρ τῆς Φιλιππησίων ἀρετῆς, καὶ εὐχὴ τελειώσεως.

β΄. Διήγησις τῆς ἑαυτοῦ διαγωγῆς ἀγωνιστικῆς, καὶ τῆς προθυμίας.

γ΄. Παραίνεσις τῆς κατὰ Θεὸν πολιτείας, καὶ τῆς ἐνθέου ζωῆς.

δ΄. Περὶ Τιμοθέου καὶ Ἐπαφροδίτου, οὓς ἀπέστειλε πρὸς αὐτούς.

ε΄. Περὶ πνευματικοῦ βίου τοῦ μὴ ὡς ἐν σαρκὶ, ὅς ἐστι μίμησις θανάτου Χριστοῦ.

ϛ΄. Παραινέσεις ἴδιαι τινῶν καὶ κοιναὶ πάντων.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ.

---

1 *Παῦλος καὶ Τιμόθεος δοῦλοι Ἰησοῦ Χριστοῦ.*

Ἐνταῦθα ἅτε πρὸς ὁμοτίμους ἐπιστέλλων, οὐ τίθησιν αὐτοῦ τὸ τῆς διδασκαλίας ἀξίωμα, ἀλλ' ἕτερον· καὶ αὐτὸ μέγα. ποῖον δὴ τοῦτο; δοῦλον ἑαυτὸν φησὶν, οὐκ Ἀπόστολον. μέγα γὰρ ὄντως καὶ τοῦτο ἀξίωμα καὶ τὸ κεφάλαιον τῶν αἰωνῶν, δοῦλον εἶναι Χριστοῦ, καὶ μὴ ἅπλως λέγεσθαι. καὶ Ῥωμαίοις δὲ πάλιν ἐπιστέλλων λέγει· "Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ." Κορινθίοις δὲ καὶ Τιμοθέῳ γράφων, Ἀπόστολον ἑαυτὸν καλεῖ. τίνος οὖν ἕνεκεν τοῦτο; οὐχ ὅτι Τιμοθέου αὐτοὶ κρείττους, ἄπαγε· ἀλλὰ αὐτοὺς τιμᾷ, καὶ θεραπεύει μάλιστα πάντων οἷς ἐπέστελλεν· ἐκεῖ μὲν γὰρ ἔμελλεν πολλὰ διατάττεσθαι. διὰ τοῦτο ἀνέλαβεν τὸ τοῦ Ἀποστόλου ἀξίωμα. ἐνταῦθα δὲ ἐπιτάττει μὲν αὐτοῖς οὐδὲν, πλὴν ὅσα καὶ ἑαυτῶν συνεώρων· "πᾶσι τοῖς ἁγίοις ἐν Χριστῷ τοῖς οὖσιν "ἐν Φιλίπποις." ἐπειδὴ εἰκὸς ἦν καὶ Ἰουδαίους ἁγίους αὐτοὺς καλεῖν, ἀπὸ τοῦ πρώτου χρησμοῦ, ἡνίκα ἐλέγοντο "λαὸς ἅγιος "περιούσιος·" διὰ τοῦτο προσέθηκεν "τοῖς ἁγίοις ἐν Χριστῷ "Ἰησοῦ." οὗτοι γὰρ μόνοι ἅγιοι· ἐκεῖνοι λοιπὸν βέβηλοι. "σὺν "ἐπισκόποις καὶ διακόνοις·" τί τοῦτο; μιᾶς πόλεως πολλοὶ ἐπίσκοποι ἦσαν; οὐδαμῶς. ἀλλὰ τοὺς πρεσβυτέρους οὕτως ἐκάλεσεν· τότε γὰρ τέως ἐκοινώνουν τοῖς ὀνόμασιν, καὶ διάκονος ὁ ἐπίσκοπος ἐλέγετο· διὰ τοῦτο γράφων Τιμοθέῳ ἔλεγεν ἐπισκόπῳ ὄντι· "τὴν διακονίαν σου πληροφόρησον." ὅτι γὰρ ἐπίσκοπος ἦν, φησὶν πρὸς αὐτὸν, "χεῖρας ταχέως μηδενὶ ἐπιτίθει." καὶ πάλιν "ὃ ἐδόθη σοι μετὰ ἐπιθέσεως τῶν χειρῶν τοῦ πρεσβυτερίου." οὐκ ἂν δὲ πρεσβύτεροι ἐπίσκοπον ἐχειροτόνησαν· καὶ πάλιν πρὸς

Τίτον γράφων φησίν· "τούτου χάριν κατέλιπόν σε ἐν Κρήτῃ· "ἵνα καταστήσῃς κατὰ πόλιν πρεσβυτέριον ὡς ἐγώ σοι διεταξά-"μην, εἴ τις ἀνέγκλητος, μίας γυναικὸς ἀνήρ·" περὶ τοῦ ἐπισκόπου φησίν· καὶ εἰπὼν ταῦτα εὐθέως ἐπήγαγεν, "δεῖ γὰρ τὸν "ἐπίσκοπον ἀνέγκλητον εἶναι ὡς Θεοῦ οἰκονόμον, μὴ αὐθάδη·" ὅπερ οὖν ἔφην, καὶ οἱ πρεσβύτεροι τὸ παλαιὸν ἐκαλοῦντο ἐπίσκοποι καὶ διάκονοι Χριστοῦ· ὅθεν καὶ νῦν πολλοὶ συμπρεσβυτέρῳ ἐπίσκοποι γράφουσι καὶ συνδιακόνῳ· λοιπὸν δὲ τὸ ἰδιάζον ἑκάστῳ ἀπονενέμηται ὄνομα, ὁ ἐπίσκοπος καὶ ὁ πρεσβύτερος. τί δή ποτε δὲ οὐδαμοῦ τῷ κλήρῳ γράφων, ἀλλὰ κοινῇ πᾶσι τοῖς ἁγίοις τοῖς πιστοῖς, τοῖς ἡγιασμένοις, ἐνταῦθα τῷ κλήρῳ γράφει; ὅτι αὐτοὶ καὶ ἀπέστειλαν καὶ ἐκαρποφόρησαν· καὶ αὐτοὶ ἔπεμψαν πρὸς αὐτὸν τὸν Ἐπαφρόδιτον.

(Θεόδωρος.) Ἄλλός φησιν· προσεκτέον ὅτι τὸ "σὺν ἐπισκό-"ποις" λέγει, οὐχ ὥς τινες ἐνόμισαν, ὥσπερ ἡμεῖς συμπρεσβυτέροις γράφειν εἰώθαμεν· οὐ γὰρ πρὸς τὸ ἑαυτοῦ πρόσωπον εἶπεν τὸ "σύν·" ἵνα ᾖ ἴσην ἐπισκόποις ἡμῶν· ἀλλὰ πρὸς τὸ πᾶσι τοῖς ἐν Φιλίπποις ἁγίοις· σὺν τοῖς αὐτόθι ἐπισκόποις τε καὶ διακόνοις. οὐχ ἁπλῶς ἐπισημηνάμενος τὰ τούτων ὀνόματα, ἀλλ' ὡς μάλιστα τῶν περὶ τῆς μετριοφροσύνης λόγων τούτοις ἁρμοττόντων, οἵ τοὺς ἑτέρους ὤφειλον διδάσκειν, καὶ πρὸ τῶν λοιπῶν αὐτοὺς μετιέναι τὸ δέον.

ΚΕΦ. Α.

Εὐχαριστία ὑπὲρ τῆς Φιλιππησίων ἀρετῆς, καὶ εὐχὴ τελειώσεως.

3 Εὐχαριστῶ τῷ Κυρίῳ μου ἐν πάσῃ τῇ μνείᾳ ὑμῶν.

Πάντοτε, ὁσάκις ὑμῶν ἀναμνησθῶ φησὶν, δοξάζω τὸν Θεὸν, ἐπὶ τῇ ὑμετέρᾳ προκοπῇ· τοῦτο δὲ ἐποίει, ἐκ τοῦ πολλὰ συνειδέναι αὐτοῖς ἀγαθά· "ἐπὶ πάσῃ τῇ μνείᾳ ὑμῶν." ὑπὲρ πάντων ὑμῶν μετὰ χαρᾶς καὶ τὴν δέησιν ποιούμενος· οὐχ ὅταν εὔχωμαι μόνον· ἔστι γὰρ καὶ μετὰ λύπης τοῦτο ποιῆσαι· ὡς ὅταν λέγῃ ἀλλαχοῦ "ἐκ γὰρ πολλῆς θλίψεως καὶ συνοχῆς καρδίας ἔγραψα "ὑμῖν διὰ πολλῶν δακρύων· ἐπὶ τῇ κοινωνίδι ὑμῶν εἰς τὸ εὐαγ-"γέλιον ἀπὸ τῆς πρώτης ἡμέρας ἄχρι τοῦ νῦν·" μέγα αὐτοῖς

μαρτυρεῖ· καὶ ὅπερ ἂν τις ἐμαρτύρησεν Ἀποστόλοις καὶ Εὐαγγελισταῖς· οὐκ ἐπειδὴ πόλιν ἐνεχειρίσθητε μίαν, φησὶν, ἐκείνης φροντίζετε μόνης· ἀλλὰ πάντα πράττετε ὥστε μερισταὶ γενέσεως τῶν ἐμῶν πόνων· πανταχοῦ παρόντες καὶ συμπράττοντες καὶ κοινωνοῦντές μου τῷ κηρύγματι· ἐξ οὗ ἐπιστεύσατε μέχρι τοῦ νῦν, Ἀποστόλων εἰλήφατε προθυμίαν· χαίρω δὲ, οὐχ ὑπὲρ τῶν παρελθόντων μόνον φησὶν, ἀλλὰ καὶ ὑπὲρ τῶν μελλόντων· ἀπὸ τούτων γὰρ κακεῖνα στοχάζομαι.

6 Πεποιθὼς αὐτὸ τοῦτο, ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ.

Ὅρα πῶς καὶ μετριάζειν αὐτοὺς διδάσκει· ἐπειδὴ γὰρ μέγα αὐτοῖς ἐμαρτύρησεν πρᾶγμα, ἵνα μή τι ἀνθρωπίνον πάθωσιν, εὐθέως παιδεύει αὐτοὺς, ἐπὶ τὸν Χριστὸν καὶ τὰ παρελθόντα καὶ τὰ μέλλοντα ἀνατιθέναι, διὰ τοῦ εἰπεῖν· "ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν "ἔργον ἀγαθὸν ἐπιτελέσει." οὔτε ἀπεστέρησεν αὐτοὺς τοῦ κατορθώματος· εἶπεν γὰρ ὅτι τῇ κοινωνίᾳ ὑμῶν χαίρω, ὡς αὐτῶν κατορθούντων· οὔτε εἶπεν αὐτῶν εἶναι τὸ κατόρθωμα μόνον, ἀλλὰ προηγουμένος τοῦ Θεοῦ· θαρρῶ γὰρ φησὶν, "ὅτι ἐναρξάμενος ἐν "ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελέσει ἄχρις ἡμέρας Ἰησοῦ Χριστοῦ." τουτέστιν ὁ Θεός· οὐ περὶ ὑμῶν οὕτω διάκειμαι· καὶ τοῦτο δὲ οὐ μικρὸν ἐγκώμιον, τὸν Θεὸν ἔν τινι ἐνεργεῖν, τῷ ἐπισπᾶσθαι τοῦ Θεοῦ τὴν χάριν συμπράττειν αὐτῷ· καὶ πάλιν ὅτι τοιαῦτά ἐστι τὰ κατορθώματα ὑμῶν, ὥστε μὴ εἶναι ἀνθρώπινα, ἀλλὰ τῆς τοῦ Θεοῦ δεῖσθαι ῥοπῆς.

7 Καθὼς ἐστὶ δίκαιον ἐμὲ τοῦτο φρονεῖν ὑπὲρ πάντων ὑμῶν. διὰ τὸ ἔχειν με ἐν τῇ καρδίᾳ ὑμᾶς, ἔν τε τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ μου καὶ βεβαιώσει τοῦ Εὐαγγελίου συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας.

Πολὺν *αὐτοῦ δείκνυσιν ἐνταῦθα τὸν πόθον· εἴ γε ἐν καρδίᾳ αὐτοὺς εἶχεν· καὶ ἐν αὐτῷ τῷ δεσμωτηρίῳ δεδεμένος, Φιλιππησίων ἐμέμνητο· οὐ μικρὸν τῶν ἀνδρῶν τὸ ἐγκώμιον, ἐπεὶ μηδέ ἐστι προλήψεως ἡ τοῦ ἁγίου τούτου ἀγάπη, ἀλλὰ κρίσεως καὶ λογι-*

σμῶν ὀρθῶν· "καὶ ἐν τῇ ἀπολογίᾳ," φησὶν, "καὶ βεβαιώσει τοῦ "εὐαγγελίου." καὶ τί θαυμαστὸν εἰ ἐν τῷ δεσμωτηρίῳ εἶχεν αὐτούς· οὐδὲ γὰρ κατ' ἐκεῖνον τὸν καιρὸν, φησὶν, καθ' ὃν εἰσήειεν εἰς τὸ δικαστήριον ἀπολογησόμενος, ἐξεπέσατε μου τῆς μνημῆς· καθάπερ γὰρ ἐπὶ τῆς Βαβυλωνίας, τοσαύτης αἰρομένης φλογὸς, δρόσος ἦν τοῖς μακαρίοις ἐκείνοις παισὶν, οὕτως καὶ φιλία τοῦ ἀγωπῶντος καὶ ἀρέσκοντος Θεῷ τὴν ψυχὴν καταλαβοῦσα, πᾶσαν ἀποτινάσσει φλόγα, καὶ δρόσον ποιεῖ θαυμαστήν.

Χρυσοστόμου. *"Καὶ βεβαιώσει," φησὶν, "τοῦ εὐαγγε-"λίου." ἆρα τὰ δεσμὰ βεβαίωσις τοῦ εὐαγγελίου ἦν; ἆρα ἀπολογία; καὶ πάνυ· πῶς; ὅτι εἰ μὲν παρῃτήσατο τὰ δεσμὰ, ἔδοξεν ἂν εἶναι ἀπατέων· ὁ δὲ πάντα ὑπομένων, δηλοῖ ὡς οὐκ ἀνθρωπίνης τινὸς αἰτίας ἕνεκεν ταῦτα πάσχει· ἀλλὰ δι' αὐτὸν Θεὸν τὸν ἀνταποδιδόντα· εἶτα δείκνυσιν ὅτι οὐ προλήψεως ἡ ἀγάπη, ἀλλὰ κρίσεως. διά τι ἔχω ὑμᾶς, φησὶν, ἐν τοῖς δεσμοῖς μου καὶ ἐν τῇ ἀπολογίᾳ; διὰ τὸ συγκοινωνοὺς εἶναί μου τῆς χάριτος· τί ἐστι τοῦτο; ἡ χάρις τοῦ Ἀποστόλου τοῦτο ἦν· τὸ δεσμεῖσθαι, τὸ ἐλαύνεσθαι, τὸ μυρία πάσχειν δεινά· "ἀρκεῖ γὰρ "σοι," φησὶν, "ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ "τελειοῦται·" διὸ εὐδόκω, φησὶν, ἐν ἀσθενείαις, ἐν ὕβρεσιν· ἐπεὶ οὖν ὁρῶ ὑμᾶς διὰ τῶν ἔργων τὴν ἀρετὴν ἐπιδεικνυμένους, καὶ τῆς χάριτος ταύτης ὄντας κοινωνοὺς, καὶ μετὰ προθυμίας, εἰκότως ταῦτα στοχάζομαι· διὰ τί δὲ οὐκ εἶπεν κοινωνοὺς, ἀλλὰ συγκοινωνούς; καὶ αὐτὸς ἐγὼ, φησὶν, ἑτέρῳ κοινωνῶ, ἵνα γένωμαι κοινωνὸς τοῦ εὐαγγελίου· ἵνα κοινωνήσω τῶν ἀποκειμένων ἀγαθῶν τῷ εὐαγγελίῳ ·καὶ τὸ θαυμαστὸν, τὸ πάντας αὐτοὺς οὕτω διακεῖσθαι· "συγκοινωνούς μου," γὰρ φησὶν, "τῆς χάριτος πάντας ὑμᾶς "ὄντας·" ἀπὸ τῶν προοιμίων τοίνυν τούτων πέποιθα, ὅτι ἐν τούτοις ἔσεσθε μέχρι τέλους.*

Θεοδώρου. *Ἄλλος φησὶν, βεβαίωσιν τοῦ εὐαγγελίου, τὸ πιστεῦσαι λέγει· ὡς ἂν τῶν πιστευόντων τότε ἐπ' αὐτοῖς, βεβαιούντων τὸ κήρυγμα ὅτι ἀληθές· ὡς ἐν τοῖς εὐαγγελίοις, τὸ "ὁ λαβὼν "αὐτοῦ τὴν μαρτυρίαν, ἐσφραγίσεν ὅτι ὁ Θεὸς ἀληθής ἐστιν·" ἀντὶ τοῦ τῷ πιστεῦσαι ἐκβεβαίωσει τά γε ἐπ' αὐτῷ τὰ παρὰ τοῦ Θεοῦ*

γινόμενα ὡς ἀληθῆ· "καὶ συγκοινωνούς δέ μου τῆς χάριτος," τὸ αὐτὸ λέγει· ἐπειδὴ γὰρ αὐτὸς εἰλήφει χάριν ἀποστολῆς εἰς τὸ πιστεύειν ἑτέρους· ὁ πιστεύων ὡς εἰκὸς ἐκοινώνει τῆς χάριτος.

(Σετηριανός.) *Ἄλλος, φησὶν, πανταχοῦ καὶ διὰ πάντων δείκνυται οὐκ ἀνόνητά μου τὰ παθήματα οὐδὲ αἱ ἀπολογίαι· ἀπὸ τῆς ὑμετέρας πίστεως ἀπόδειξιν ποιοῦμαι τὴν ὑμετέραν ἔνστασιν· ἐάν τε γὰρ ἀπολογοῦμαι ἐγκαλούμενος διὰ τοὺς πιστεύοντας ὧν καὶ ὑμεῖς ἐστὲ, ἐάν τε βεβαιοῦν βούλομαι τὸ εὐαγγέλιον τισίν, ἀπὸ τῆς ὑμετέρας ἐνστάσεως, ἐάν τε δεικνύναι ὅτι οὐκ ἀνωνήτως ὑπομένω δεσμοὺς, ἀπὸ τῆς ὑμετέρας πίστεως.*

8 Μάρτυς γάρ μου ὁ Θεὸς, ὡς ἐπιποθῶ πάντας ὑμᾶς ἐν σπλάγχνοις Χριστοῦ Ἰησοῦ.

Οὐχ ὡς ἀπιστούμενος μάρτυρα λαλεῖ τὸν Θεὸν, ἀλλ' ἐκ πολλῆς διαθέσεως τοῦτο ποιεῖ καὶ τῷ σφόδρα πεπεῖσθαι καὶ θαρρεῖν. ἐπειδὴ γὰρ εἶπεν ὅτι ἐκοινώνησαν αὐτῷ, ἵνα μὴ νομίσωσιν ὅτι διὰ τοῦτο αὐτοὺς ποθεῖ ἕνεκεν ἐκείνων· διὰ τοῦτο ἐπήγαγεν, ὅτι "ἐν "σπλάγχνοις Χριστοῦ·" ἀντὶ τοῦ κατὰ Χριστόν· ἐπειδὴ πιστοί ἐστε, ἐπειδὴ φιλεῖτε τὸν Χριστόν· καὶ οὐκ εἶπεν ἀγάπην· ἀλλ' ὃ θερμότερον ἦν, σπλάγχνα Χριστοῦ· ὡσανεὶ πατὴρ ὑμῶν γεγονὼς, διὰ τὴν συγγένειαν τὴν κατὰ Χριστόν· σπλάγχνα γὰρ ἡμῖν αὐτὴ χαρίζεται θερμὰ καὶ διάπυρα.

9 Καὶ τοῦτο προσεύχομαι, ἵνα ἡ ἀγάπη ὑμῶν ἐκ μᾶλλον περισσεύῃ.

Ἀκόρεστον γὰρ ἀγαθὸν τοῦτο· ὅρα γάρ· οὕτω φιλούμενος, ἔτι μᾶλλον ἠβούλετο φιλεῖσθαι· οὐ γὰρ ἔνι μέτρον τούτου τοῦ καλοῦ. ὅρα δὲ τὴν διάθεσιν τῆς λέξεως· "ἔτι μᾶλλον καὶ μᾶλλον περισ- "σεύῃ· ἐν ἐπιγνώσει," φησὶν, "καὶ πάσῃ αἰσθήσει· εἰς τὸ δοκι- "μάζειν ὑμᾶς τὰ διαφέροντα," τουτέστιν τὰ συμφέροντα. οὐκ ἐμαυτοῦ ἕνεκεν ταῦτα λέγω, ἀλλ' ὑμῶν αὐτῶν· δέος γὰρ μήτις παραφθαρῇ ὑπὸ τῆς τῶν αἱρετικῶν ἀγάπης· τοῦτο γὰρ ὅλον αἰνίττεται· καὶ ὅρα πῶς αὐτὸ τίθησιν; οὐ δι' ἐμέ φησιν, ταῦτα λέγω, ἀλλ' ἵνα ἦτε ὑμεῖς εἰλικρινεῖς· ἵνα μηδὲν νόθον δόγμα τῷ τῆς ἀγάπης σχήματι παραδέχησθε· πῶς οὖν φησὶν, εἰ δυνατὸν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε; εἰρηνεύετε, εἶπεν, οὐχ οὕτως

ἀγαπῶντας, ὥστε ὑπὸ τῆς φιλίας καὶ βλάπτεσθαι· "εἰ γὰρ ὁ "ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει σε," φησὶν, "ἔκκοψον αὐτὸν "καὶ βάλε ἀπὸ σοῦ." πολλοὺς γὰρ πολλάκις φιλίαι βλάπτουσι· οὐχ ἁπλῶς οὖν τὴν φιλίαν θαυμάζει, οὐδὲ ἁπλῶς τὴν ἀγάπην, ἀλλὰ τὴν ἐξ ἐπιγνώσεως, τουτέστιν τὴν μετὰ κρίσεως, τὴν μετὰ λογισμοῦ, μετὰ τοῦ αἰσθάνεσθαι.

(Θεοδώρου.) Ἄλλος, φησὶν, βούλεται εἰπεῖν ὅτι μάρτυς μου ὁ Θεὸς ὅπως περὶ πάντας ὑμᾶς διάκειμαι, καὶ προσεύχομαι ἑκάστοτε πλεονάζειν μὲν ὑμῶν τὴν περὶ τὸν Θεὸν καὶ τὴν περὶ ἀλλήλους ἀγάπην. γνῶσιν δὲ ἔχειν ὑμᾶς τὴν προσήκουσαν περὶ τῶν εἰς ἀρετὴν συντεινόντων· δοκιμάζοντας τίνα τὰ κρείττονα, καὶ περὶ ταῦτα μᾶλλον ἐσπουδακότας· ὥστε ὑμᾶς ἐν τῇ μελλούσῃ ἡμέρᾳ, ἀμέμπτους κατὰ πάντα φανῆναι· ὄγκον ἐπαγομένους κατορθωμάτων ἐφ' οἷς δυνατὸν, καὶ κατὰ τὸν παρόντα βίον θαυμάζεσθαι ἐφ' ὑμῶν τὸν Θεόν· πάντων ὡς εἰκὸς ἐπὶ τῇ ὑμετέρᾳ ἀρέτῃ ἐκεῖνον ἐκπληττομένων, οὗπερ ἐπ' ὀνόματι ταῦτα ποιεῖτε· "ἵνα "ἦτε εἰλικρινεῖς," τὰ κατὰ Θεόν· "καὶ ἀπρόσκοποι" τὸ κατὰ ἀνθρώπους. πολλοὺς γὰρ πολλάκις φιλίαι βλάπτουσιν· εἰ καὶ σὲ οὐδὲν βλάπτει, φησὶν, ἀλλ' ἕτερος προσκόπτει· "εἰς ἡμέραν "Χριστοῦ," τουτέστιν ἵνα τότε εὑρεθῆτε καθαροὶ, μηδένα σκανδαλίσαντες.

11 Πεπληρωμένοι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ· εἰς δόξαν καὶ ἔπαινον Θεοῦ.

Τουτέστιν μετὰ τῶν δογμάτων, καὶ βίον ὀρθὸν ἔχοντες· καὶ οὐχ ἁπλῶς ὀρθόν· ἀλλὰ πεπληρῶσθαι καρπῶν δικαιοσύνης τῶν διὰ Ἰησοῦ Χριστοῦ· ἔστι γὰρ δικαιοσύνη, ἀλλ' οὐ κατὰ Χριστόν· οἷον βίος ἐνάρετος· "τῶν διὰ Ἰησοῦ Χριστοῦ, εἰς δόξαν καὶ ἔπαινον "Θεοῦ." ὁρᾷς ὅτι οὐ τὴν ἐμαυτοῦ δόξαν λέγω, ἀλλὰ τὴν τοῦ Θεοῦ; πολλαχοῦ δὲ δικαιοσύνην, τὴν ἐλεημοσύνην λέγει· μὴ παραβλαπτέτω ὑμᾶς φησὶν ἡ ἀγάπη πρὸς τὸ εἰδέναι τὰ συμφέροντα· καὶ οὐκ εἶπεν φανερῶς, μὴ τῷ δεῖνι πλησιάζετε· ἀλλὰ πρὸς τὸ συμφέρον ὑμῖν βούλομαι τὴν ἀγάπην γίνεσθαι.

ΚΕΦ. Β.

Διήγησις τῆς ἑαυτοῦ διαγωγῆς ἀγωνιστικῆς καὶ τῆς προθυμίας.

12 Γινώσκειν δὲ ὑμᾶς βούλομαι, ἀδελφοί, ὅτι τὰ κατ'
ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν·
13 ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι
ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς πᾶσιν.

Ὁ Θεὸς τοῦτο ᾠκονόμησεν φησὶν, τὸ μὴ λαθεῖν τοὺς ἐμοὺς δεσμοὺς, τοὺς ἐν Χριστῷ· ἢ τοὺς διὰ Χριστὸν ἐν ὅλῳ τῷ πραιτωρίῳ, τὰ βασίλεια τοῦ Νέρωνος λέγει· τέως γὰρ οὕτως ἐκάλουν αὐτά. καὶ ἐν τῇ πόλει πάσῃ.

Καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν.

Δείκνυσι μὲν ὅτι καὶ πρότερον ἐθάρρουν καὶ μετὰ παρρησίας διελέγοντο· νῦν δὲ πολλῷ πλέον· εἰ ἄλλοι τοίνυν, φησὶν, διὰ τοὺς ἐμοὺς δεσμοὺς θαρροῦσιν, πολλῷ μᾶλλον ἐγώ. ὅρα δὲ πῶς καὶ ἀνάγκην ὁρῶν τοῦ μεγαληγορεῖν, τοῦ μετριάζειν οὐκ ἀφίσταται· τὸ δὲ "περισσοτέρως" δεικνύντος ἐστὶν ὅτι ἤδη ἤρξαντο.

15 Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι'
εὐδοκίαν τὸν Χριστὸν κηρύσσουσιν.

Τί δὴ τοῦτό ἐστιν, ἄξιον μαθεῖν· ἐπειδὴ κατεσχέθη Παῦλος, τὸν πόλεμον βουλόμενοι διεγεῖραι σφοδρὸν τὸν παρὰ τοῦ βασιλέως, πολλοὶ τῶν ἀπίστων καὶ αὐτοὶ τὸν Χριστὸν ἐκήρυττον, ὥστε μείζονα γενέσθαι τῷ βασιλεῖ τὴν ὀργήν· ἅτε τοῦ κηρύγματος διασπειρομένου. δύο τοίνυν προφάσεων γεγόνασιν οἱ δεσμοὶ αἴτιοι· τοῖς μὲν γὰρ θάρσος παρεῖχον· τοὺς δὲ εἰς ἐλπίδα ἀγαγόντες τῆς ἐμῆς ἀπωλείας, παρεσκεύασαν κηρύττειν τὸν Χριστόν. τουτέστιν φθονοῦντες τῇ δόξῃ τῇ ἐμῇ ἐν τῇ ἐνστάσει, καὶ βουλόμενοί με ἀπολέσθαι, καὶ ἐρίζοντές μοι, συμπράττουσιν ἐμοί· ἢ ὥστε καὶ αὐτοὶ τιμᾶσθαι, καὶ οἰόμενοι παρασπᾶν τι τῆς δόξης τῆς ἐμῆς.

Τινὲς δὲ καὶ δι' εὐδοκίαν.

Τουτέστι χωρὶς ὑποκρίσεως, ἀπὸ προθυμίας ἁπάσης.

(Θεοδώρου.) Ἄλλος φησὶν, ὁ μακάριος Παῦλος ἐφέσεως κατὰ τοῦ Φήστου χρησάμενος, βουληθέντος αὐτὸν Ἰουδαίοις ἐκδοῦναι, καὶ διὰ τοῦτο Καίσαρα ἐπικαλεσάμενος, ἀνήχθη δέσμιος εἰς τὴν Ῥώμην· εἰσαχθεὶς δὲ τῷ Νέρωνι, καὶ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογησάμενος, διετῆ χρόνον αὐτόθι διέτριψεν, παντελοῦς τετυχηκὼς τῆς ἀφέσεως. τότε τοίνυν προσεδόκων μὲν ἅπαντες τὸν μακάριον Παῦλον πάντως ἀναιρεῖσθαι ὑπὸ τοῦ Νέρωνος, ὠμοτάτου τὸν τρόπον ὄντος. καὶ μάλιστα ἐπειδὴ πῶς καὶ καινὰ ἐδόκει διδάσκειν, πολὺ τῆς τότε παρὰ Ῥωμαίοις κρατούσης περὶ Θεὸν δόξης ἀλλότρια. ἔτυχεν οὖν παντελοῦς ἀφέσεως, ὡς καὶ ἀναχωρῆσαι τῆς Ῥώμης, καὶ τῷ συνήθει τρόπῳ χρήσασθαι τῆς διδασκαλίας· ἐξέπληττεί τε ἅπαντας τὸ γενόμενον, καὶ παρρησίαν ἐμποίει τοῖς πιστοῖς τοῦ διδάσκειν. τοῦτο οὖν λέγει· ὅτι βούλομαι ὑμᾶς εἰδέναι, ὡς τὰ τῆς διδασκαλίας ὁσημέραι προκόπτει τῆς ἐμῆς· δῆλος γὰρ ἐπὶ τοῖς δεσμοῖς μου ἅπασιν ἐγενόμην· καὶ εἰσαχθεὶς, περὶ τῶν καθ' ἑαυτὸν ἀπελογησάμην· καὶ οὕτως ἀπήλλαξα ἀκινδύνως, ὥστε πολλοὺς τῶν ὁμοπίστων διδάσκειν τὰ τῆς εὐσεβείας ἀπὸ τῶν κατ' ἐμὲ τὴν παρρησίαν εἰληφότας.

16 Οἱ μὲν ἐξ ἐριθείας Χριστὸν καταγγέλλουσιν οὐχ ἁγνῶς.

(Χρυσοστόμου.) Τουτέστιν οὐκ εἰλικρινῶς· οὔτε δι' αὐτὸ τὸ πρᾶγμα, ἀλλὰ διά τι.

Οἰόμενοι θλίψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου.

Ἀντὶ τοῦ νομίζοντες οὕτω με εἰς μείζονα ἐμπεσεῖσθαι κίνδυνον· καὶ καλῶς εἶπε τὸ "οἰόμενοι·" οὐ γὰρ οὕτως ἐξέβαινεν· ἐκεῖνοι δὲ ἐνόμιζόν με τοῦτο λυπεῖν, ἐγὼ δὲ ἔχαιρον, ὅτι τὸ κήρυγμα ἐπεδίδου.

17 Οἱ δὲ ἐξ ἀγάπης, εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι.

Τουτέστιν τὰς εὐθύνας μοι παρασκευάζοντες τὰς πρὸς τὸν Θεόν· καὶ συναντιλαμβανόμενοι. τί ἐστιν "εἰς ἀπολογίαν;" προσετά-

γην κηρῦξαι· μέλλω διδόναι εὐθύνας καὶ ἀπολογεῖσθαι ὑπὲρ τοῦ ἔργου οὗ προσετάγην. ὥστε οὖν μοι τὴν ἀπολογίαν γενέσθαι εὔκολον συναντιλαμβάνονταί μοι· οὕτως οὐκ ἔνι ποιῆσαι ἔργον ἀγαθὸν, οὐκ ἀπὸ προαιρέσεως ἀγαθῆς· καὶ οὐ μόνον οὐ κεῖται μισθὸς ὑπὲρ τούτου, ἀλλὰ καὶ κόλασις· ἐπειδὴ γὰρ μείζοσι κινδύνοις περιβαλεῖν τοῦ Χριστοῦ τὸν κήρυκα βουλόμενοι, τὸν Χριστὸν ἐκήρυττον, οὐ λήψονται μισθὸν ἀλλὰ καὶ τιμωρίας ἔσονται ὑπεύθυνοι· "οἱ δὲ "ἐξ ἀγάπης," τουτέστιν ἴσασιν ὅτι δεῖ με λόγον δοῦναι τοῦ εὐαγγελίου.

18 Τί γάρ; πλὴν ὅτι πάντι τρόπῳ, εἴτε προφάσει εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται.

Ὁρᾷς τὸ φιλόσοφον τοῦ ἀνδρός· οὐ σφόδρα αὐτῷ καταγόρησεν· ἀλλ' εἶπεν τὸ γενόμενον. τί γάρ μοι, φησὶν, διαφέρει, ἄν τε οὕτως, ἄν τε οὕτως; "πλὴν πάντι τρόπῳ, εἴτε προφάσει, εἴτε "ἀληθείᾳ Χριστὸς καταγγέλλεται." οὐκ εἶπε καταγγελλέσθω, ὥς τινες οἴονται λέγοντες ὅτι τὰς αἱρέσεις εἰσάγει, ἀλλὰ καταγγέλλεται· πρῶτον μὲν γὰρ οὐκ εἶπε καταγγέλλεσθω, ὡς νομοθετῶν, ἀλλὰ τὸ συμβαῖνον ἀπήγγελε· δεύτερον δὲ εἰ καὶ νομοθετῶν ἔλεγεν, οὐδὲ οὕτως αἱρέσεις εἰσῆγεν. εἰ γὰρ καὶ οὕτως ἐπέτρεπε κηρύττειν ὡς ἐκεῖνοι· οὐδ' οὕτως εἰσῆγε τὰς αἱρέσεις. πῶς; ὅτι ἐκεῖνοι ὑγιῶς ἐκήρυττον. ὁ σκοπὸς δὲ καὶ ἡ διάνοια μεθ' ἧς ἐποίουν οὕτω διέφθαρτο· καὶ πολλὴν εἶχον ἀνάγκην οὕτως κηρύττειν. διατί; ὅτι εἰ ἑτέρως ἐκήρυξαν, οὐχ ὡς ἐκεῖνος, οὐκ ἂν τὴν τοῦ βασιλέως ὀργὴν ηὔξησαν. νῦν δὲ τὸ κήρυγμα αὐτοῦ αὔξειν, καὶ ὁμοίως διδάσκειν, καὶ ἴσους αὐτῷ μαθητὰς ποιεῖν, ἴσχυσεν ἐκπολεμῶσαι τὸν βασιλέα. ἀλλά τις μιαρὸς καὶ ἀναίσθητος ἐπιλαβόμενος τοῦ χωρίου τούτου φησὶν, καὶ μὴν τὸ ἐναντίον εἰργάσαντο, ἂν τοὺς ἤδη πεπιστευκότας ἀπήλασαν, οὐχὶ τοὺς πιστοὺς ἐπιδοῦναι ἐποίησαν ἂν, εἴ γε δακεῖν αὐτὸν ἐβούλοντο· τί οὖν ἐροῦμεν; ὅτι πρὸς ἓν τοῦτο ἑώρων ἐκεῖνοι· τὸ κινδύνοις αὐτὸν περιβαλεῖν τοῖς παροῦσι· τὸ μὴ ἀφεῖναι διαφυγεῖν. καὶ τούτῳ μᾶλλον ᾤοντο αὐτὸν λυπεῖν, καὶ τὸ κήρυγμα σβεννύναι ἢ ἐκείνῳ· ἑτέρως μὲν γὰρ καὶ ἔσβεσαν τοῦ βασιλέως τὴν ὀργήν· καὶ ἀφῆκαν ἐξελθεῖν καὶ πάλιν κηρύξαι· οὕτω δὲ δι' αὐτῶν τὸ πᾶν ἑλεῖν

ἐνόμιζον, ἑλόντες αὐτόν· καὶ τοῦτο οὐκ ἦν τῶν πολλῶν συνιδεῖν, ἀλλὰ πικρῶν τινῶν.

Καὶ ἐν τούτοις φησὶ χαίρω· ἀλλὰ καὶ χαρήσομαι.

Τί ἐστιν "ἀλλὰ καὶ χαρήσομαι;" κἂν πλεῖον γένηται φησίν· ἐμοὶ γὰρ συμπράττουσιν ἄκοντες, καὶ τῶν αὐτοῖς πεπονημένων ἐκεῖνοι μὲν κόλασιν· ἐγὼ δὲ ὁ μηδὲν συμβαλλόμενος, μισθὸν μὴ λήψομαι;

19 Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν, διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ.

Οὐδὲν τοῦ διαβόλου μιαρώτερον· οὕτω πανταχοῦ πόνοις ἀνονήτοις τοὺς ἑαυτοῦ περιβάλλει καὶ διασπᾷ· καὶ οὐ μόνον τῶν ἐπάθλων οὐκ ἀφίησι τυχεῖν, ἀλλὰ καὶ κολάσεως ὑπευθύνους ποιεῖ· οἶδεν οὐ μόνον κήρυγμα ἀλλὰ καὶ νηστείαν τοιαύτην καὶ παρθενίαν αὐτοῖς νομοθετεῖν· ἣ οὐ μόνον μισθῶν ἀποστερήσει· ἀλλὰ καὶ μέγα κακὸν ἐπάξει τοῖς αὐτὴν μετιοῦσιν· τὸ δὲ πᾶν, ἐκ τοῦ μὴ ὀρθῶς σκοπῷ τί ποιεῖν, ἀλλ' ἐπὶ διαβολῇ τῶν τοῦ Θεοῦ κτισμάτων. τί οὖν φησίν;

Οἶδα γὰρ ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν.

Τὴν μέλλουσαν· ὅταν καὶ ἡ ἔχθρα μου τὸ κήρυγμα ὠφελῇ, καὶ ὁ πρὸς ἐμὲ ζῆλος.

Διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύ-
20 ματος Ἰησοῦ· κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου.

Ὅρα τὴν ταπεινοφροσύνην τοῦ μακαρίου τούτου. Φιλιππησίοις φησίν, ὅτι διὰ τῆς ὑμῶν δεήσεως δύναμαι σωθῆναι· ὁ ἀπὸ μυρίων κατορθωμάτων κεκτημένος τὴν σωτηρίαν. "καὶ ἐπιχορηγίας," φησί, "τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ·" τουτέστιν ἂν τῶν ὑμετέρων εὐχῶν καταξιωθῶ, πλείονος ἀξιωθήσομαι καὶ τῆς χάριτος· τὸ γὰρ ἐπιχορηγίας τοῦτό ἐστιν, ἂν ἐπιχορηγηθῇ, ἂν πλεῖον ἐπιδοθῇ μοι πνεῦμα· ἤτοι τὴν ἀπαλλαγὴν λέγει εἰς σωτηρίαν· τουτέστιν καὶ τὸν παρόντα διαφεύξομαι πρῶτον κίνδυνον, περὶ οὗ φησίν, "ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, οὐδείς μοι συμπαρεγένετο. "μὴ αὐτοῖς λογισθείη· ἀλλ' ὁ Κύριος μοι παρέστη καὶ ἐνεδυνά-"μωσέν με·" τοῦτο γοῦν ἤδη προφητεύει· "κατὰ τὴν ἀποκαρα-

"δοκίαν καὶ ἐλπίδα μου." οὕτω γὰρ ἐλπίζω. ἵνα γὰρ πάλιν ἡμεῖς μὴ τὸ ὅλον ταῖς ἐκείνων ἐπιτρέπωμεν εὐχαῖς, αὐτοὶ μηδὲν εἰσφέροντες, ὅρα πῶς τίθησι τὸ αὐτοῦ, τὴν ἐλπίδα τὴν πάντων αἰτίαν τῶν ἀγαθῶν, "κατὰ τὴν ἀποκαραδοκίαν," φησὶ, "καὶ ἐλπίδα μου· "ὅτι ἐν οὐδενὶ αἰσχυνθήσομαι." αὕτη ἡ τοῦ Παύλου ἐλπίς· τὸ ἐλπίζειν ὅτι οὐδαμοῦ αἰσχυνθήσεται· ὁρᾷς ὅσον ἐλπίζειν ἐστὶν ἐπὶ τὸν Θεόν; κἂν ὅτι οὖν γένηται, φησὶν, οὐκ αἰσχυνθήσομαι· τουτέστιν, οὐ περιέσονται οὗτοι.

Ἀλλ' ἐν πάσῃ παρρησίᾳ, καθὼς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου.

Προσεδόκων ἐκεῖνοι διὰ τῆς παγίδος ταύτης δῆθεν ἑλεῖν μὲν τὸν Παῦλον, σβέννυσθαι δὲ τὸ κήρυγμα· φησὶν οὖν, οὐκ ἔσται τοῦτο· οὐ νῦν ἀποθανοῦμαι· "ἀλλ' ὡς πάντοτε καὶ νῦν μεγαλυν"θήσεται Χριστὸς ἐν τῷ σώματί μου." πῶς πολλάκις εἰς κινδύνους ἐνέπεσα, ἐν οἷς πάντες ἡμᾶς ἀπηγόρευσαν, μᾶλλον δὲ καὶ ἡμεῖς ἑαυτούς· ἐν ἑαυτοῖς γὰρ τὸ ἀπόκριμα τοῦ θανάτου ἐσχήκαμεν· ἀλλ' ἐκ πάντων ἡμᾶς ἐρρύσατο ὁ Κύριος· οὕτω καὶ νῦν μεγαλυνθήσεται ἐν τῷ σώματί μου. τί οὖν; ἵνα μή τις εἴπῃ, ἐὰν οὖν ἀποθάνῃ, οὐ μεγαλύνεται; ναί φησίν· οἶδα ὅτι διὰ τοῦτο εἶπον ὅτι οὐκ ἡ ζωὴ μόνη μεγαλύνει αὐτὸν, ἀλλὰ καὶ ὁ θάνατος. τέως δὲ διὰ ζωῆς, φησὶν, οὐχ αἱροῦσί με· καὶ εἰ εἷλόν με, καὶ οὕτως μεγαλυνθήσεται Χριστός· πῶς διὰ μὲν τῆς ζωῆς; ὅτι με ἐξείλετο· διὰ τοῦ θανάτου δὲ, ὅτι μοι τοσαύτην προθυμίαν ἐχαρίσατο, καὶ θανάτου ἐποίησεν ἰσχυρότερον· ταῦτα λέγει, οὐχ ὡς μέλλων ἀποθανεῖσθαι, ἀλλ' ὅταν ἀποθάνῃ, μηδὲν ἀνθρώπινον πάθωσιν· ὅτι γὰρ οὐχ ὡς μέλλων ἀποθανεῖσθαι, ὃ μάλιστα αὐτοὺς ἐλύπει, ταῦτα ἔλεγεν, διὰ τοῦτο ἐπήγαγεν προϊών· "καὶ τοῦτο πεποιθὼς οἶδα "ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν."

21 Ἐμοὶ γὰρ τὸ ζῆν, Χριστός· καὶ τὸ ἀποθανεῖν, κέρδος.

Εἰ βούλει, φησὶ, τὴν ζωὴν ἐξετάσαι τὴν ἐμὴν, ἐκεῖνός ἐστιν· "καὶ τὸ ἀποθανεῖν κέρδος·" διατί; ὅτι σαφέστερον αὐτῷ συνέσομαι μᾶλλον. ὥστε τὸ ἀποθανεῖν ζῆσαι ἐστὶ μᾶλλον· κἂν τοίνυν ἀποθάνω, οὐ τεθνήξομαι, τὴν ζωὴν ἔχων ἐν ἐμαυτῷ. ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ· τοῦτο κἀκεῖ λέγει· "ζῶ δὲ οὐκ ἔτι ἐγώ·

" ζῇ δὲ ἐν ἐμοὶ Χριστός·" οὐ ζῶ, φησὶν, τὴν κοινὴν ζωήν· ἀλλὰ πῶς καὶ ἀλλαχοῦ φησὶν, " ἐγὼ τῷ κόσμῳ ἐσταύρωμαι, κἀμοὶ " κόσμος." κἀνταυθα " ἐμοὶ γὰρ τὸ ζῆν Χριστός." τὸ τῆς ζωῆς ὄνομα πολυσήμαντόν ἐστιν, ὥσπερ καὶ τὸ τοῦ θανάτου· ἔστιν ζωὴ αὕτη, ἡ τοῦ σώματος· ἔστιν ζωὴ, ἡ τῆς ἁμαρτίας· καθὼς φησὶν αὐτὸς ἀλλαχοῦ· " εἰ δὲ ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι " ζήσομεν ἐν αὐτῇ;" ἔστιν ζωὴ ἡ ἀΐδιος καὶ ἀθάνατος μετὰ ζωῆς αἰωνίου, ἡ οὐράνιος· οὐ τὴν φυσικὴν οὖν φησὶν μὴ ζῆν, ἀλλὰ ταύτην τὴν τῶν ἁμαρτημάτων· οὐδὲν οὖν δεινὸν ἐργάσονταί με οἱ ἀποκτεινύντες με, τῇ ζωῇ παραπέμποντες τῇ ἐμῇ, καὶ ταύτης τῆς οὐ προσηκούσης ἀπαλλάττοντες. τί οὖν ἐνταῦθα ὤν· οὐκ ἦς τοῦ Χριστοῦ; καὶ σφόδρα.

Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, τοῦτό μοι καρπὸς ἔργου· καὶ τί αἱρησόμαι, οὐ γνωρίζω.

Ἵνα μή τις εἴπῃ· εἰ τοίνυν ἐκεῖνο ζωὴ, τίνος ἕνεκεν εἴασεν ὁ Χριστὸς ἐνταῦθα; καρπὸς ἔργου, φησὶν, ἐστίν· ὥστε ἐνέστι καὶ τῇ παρούσῃ ζωῇ, εἰς δέον χρήσασθαι μὴ ζῶντα αὐτήν· ἵνα μὴ νομίσῃς διαβεβλῆσθαι τὴν ζωήν.

Ποῦ νῦν οἱ αἱρετικοί· ἰδοὺ " τὸ ζῆν ἐν σαρκὶ, τοῦτο καρπὸς " ἔργου." διὰ τούτων οὖν καὶ τὴν ἐπιθυμίαν ἐξέβαλε τῆς παρούσης ζωῆς, καὶ οὐ διέβαλεν αὐτήν· τῷ μὲν γὰρ εἰπεῖν ὅτι " τὸ " ἀποθανεῖν κέρδος," τὴν ἐπιθυμίαν ἐξέβαλε· τῷ δὲ εἰπεῖν " τὸ " ζῆν ἐν σαρκὶ καρπὸς ἔργου," ἔδειξε καὶ τὴν παροῦσαν ζωὴν ἀναγκαῖαν, ἐὰν εἰς δέον αὐτῇ κεχρήμεθα, ἐὰν καρποφορῶμεν· ὡς ἐὰν ἄκαρπος ᾖ, οὐκέτι ἐστὶ ζωή. τί οὖν, εἰπέ μοι· οὐ γνωρίζεις τί αἱρήσῃ; ἐνταῦθα μέγα ἀπεκάλυψε μυστήριον· ὅτι κύριος ἦν τοῦ ἀπελθεῖν· ὅταν γὰρ αἵρησις ᾖ, κύριοι ἐσμέν.

23 Συνέχομαι δὲ ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι.

Ὅρα τὴν φιλοστοργίαν τοῦ μακαρίου τούτου. καὶ ταύτῃ αὐτοὺς παραμυθεῖται· ὅταν εἰδῶσιν ὅτι αὐτὸς κύριός ἐστι τῆς αἱρέσεως, ὅτι οὐκ ἀνθρωπίνῃ πονηρίᾳ τοῦτο γίνεται, ἀλλὰ Θεοῦ οἰκονομίᾳ· τί ἀνεῖτε, φησὶν, ἐπὶ τῷ θανάτῳ; πολλῷ κρεῖττον ἦν πάλαι ἀπελθεῖν, " τὸ ἀναλῦσαι" γάρ φησιν, " καὶ σὺν Χριστῷ εἶναι· πολλῷ

“ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμεῖναι τῇ σαρκὶ, ἀναγκαιότερον δι’ “ ὑμᾶς·” ταῦτα προπαρασκευαστικὰ τῆς μελλούσης αὐτοῦ τελευτῆς· ἵνα φέρωσιν αὐτὴν γενναίως· ταῦτα φιλοσοφίας διδακτικά. καλὸν φησὶ, τὸ ἀναλῦσαι· ἀλλὰ διὰ τὸ “ σὺν Χριστῷ εἶναι.”

25 Καὶ τοῦτο πεποιθὼς οἶδα, ὅτι μενῶ καὶ συμπαραμενῶ πᾶσιν ὑμῖν εἰς τὴν ὑμῶν προκοπὴν καὶ χαρὰν τῆς πίστεως.

Ἐνταῦθα αὐτοὺς διανίστησιν, ὥστε προσέχειν ἑαυτοῖς· εἰ γὰρ δι’ ὑμᾶς φησὶν, μένω· ὁρᾶτε μὴ καταισχύνητε μου τὴν παραμόνήν· μέλλων Χριστὸν ὁρᾶν, εἱλόμην ἐπὶ τῇ ὑμετέρᾳ προκοπῇ μένειν. ἐπειδὴ καὶ ἐμὴ παρουσία, καὶ πρὸς πίστιν ὑμῖν συμβάλλεται καὶ πρὸς χαράν.

26 Ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ ἐν Χριστῷ Ἰησοῦ ἐν ἐμοὶ, διὰ τῆς ἐμῆς παρουσίας πάλιν πρὸς ὑμᾶς.

Ὅρα τὴν ταπεινοφροσύνην. ἐπειδὴ εἶπεν, εἰς τὴν ὑμῶν προκοπὴ, νδείκνυσιν ὅτι καὶ εἰς τὴν αὐτοῦ ὠφέλειαν. ὅπερ καὶ πρὸς Ῥωμαίους γράφων ποιεῖ λέγων, “ τοῦτο δέ ἐστι συμπαρακληθῆναι “ ἐν ὑμῖν·” εἰπὼν πρῶτον, “ ἵνα τί μεταδῶ χάρισμα ὑμῖν πνευ- “ ματικόν.” Τί ἐστιν “ ἵνα τὸ καύχημα ὑμῶν περισσεύῃ;” ὅπερ καὶ τοῦ Παύλου καύχημα ἦν, τὸ ἐστήριχθαι ἐν τῇ πίστει, τὸ ὀρθῶς βιοῦν. τὸ ὑμῶν, φησὶν, “ καύχημα ἐν ἐμοί· διὰ τῆς ἐμῆς “ παρουσίας πάλιν πρὸς ὑμᾶς.” ναὶ φησίν· τί γὰρ ἡμῶν ἐστιν ἐλπὶς ἢ στέφανος καυχήσεως; ἢ οὐχὶ καὶ ὑμεῖς; ὅτι καύχημα ἡμῶν ὑμεῖς ἐστέ· καθάπερ καὶ ἡμεῖς ὑμῶν· τουτέστιν, ἵνα ἔχω καυχᾶσθαι ἐν ὑμῖν μειζόνως· “ διὰ τῆς ἐμῆς,” φησὶν, “ παρουσίας “ πάλιν πρὸς ὑμᾶς.” τί οὖν; ἦλυθε πρὸς αὐτούς; τοῦτο ζητεῖται εἰ ἦλθεν.

ΚΕΦ. Γ.

Παραίνεσις τῆς κατὰ Θεὸν πολιτείας, καὶ τῆς ἐνθέου ζωῆς.

27 Μόνον ἀξίως τοῦ εὐαγγελίου τοῦ Χριστοῦ πολιτεύεσθε.

Ὁρᾷς ὅτι διὰ τοῦτο πάντα εἶπεν, ἵνα εἰς τοῦτο αὐτοὺς προτρέψῃ, ἐπιδοῦναι πρὸς ἀρετήν. τί ἐστι “ μόνον ἀξίως;” τοῦτό

ἐστι τὸ ζητούμενον μόνον, καὶ οὐδὲν ἄλλο· ἂν τοῦτο ᾖ, οὐδὲν λυπηρὸν ἡμῖν συμβήσεται.

Ἵνα εἴτε ἐλθὼν καὶ ἰδὼν ὑμᾶς, εἴτε ἀπὼν, ἀκούσω τὰ περὶ ὑμῶν.

Οὐχ ὡς μεταθέμενος, οὐδὲ ὡς οὐκέτι ἥξων ταῦτα λέγει· ἀλλ' ἐὰν τοῦτο γένηται φησὶν, καὶ ἀπὼν εὐφραίνεσθαι δύναμαι· ἐὰν ἀκούσω, "ὅτι στήκετε," φησὶν, "ἐν ἑνὶ πνεύματι, μιᾷ ψυχῇ·" τουτέστιν μὴ εἰς τὴν προσδοκίαν τὴν ἐμὴν ἀφορῶντες καθεύδετε, οἷον προσδοκῶντες ἥξειν· εἶτα ἐπειδὰν ἴδητε μὴ ἐρχόμενον, ἐκλυθῆτε· καὶ γὰρ ἐξ ἀκοῆς εὐφραίνεσθαι δύναμαι ὁμοίως· "ὅτι "στήκετε," φησὶν, "ἐν ἑνὶ πνεύματι καὶ μίᾳ ψυχῇ." τουτέστιν τῷ αὐτῷ χαρίσματι, τῷ τῆς ὁμονοίας, τῷ τῆς προθυμίας· ἓν γάρ ἐστι τὸ πνεῦμα· οὕτω γάρ ἐστι καὶ ἐν μίᾳ ἑστηκέναι ψυχῇ, ὅταν ἓν πνεῦμα, οἱ πάντες ἔχωμεν· ἴδου τὸ "μίᾳ" ἐπὶ ὁμονοίας εἴρηται· ἴδου πολλὰ μία λέγονται· οὕτως ἦν τὸ παλαιόν· ἡ καρδία πάντως καὶ ἡ ψυχὴ μία.

Συναθλοῦντες τῇ πίστει τοῦ εὐαγγελίου.

Ἄρα ὡς τῆς πίστεως ἀθλούσης, συναθλοῦντες ἀλλήλοις, φησίν· συμπαραλαμβάνετε ἀλλήλους, φησὶν, ἐν τῇ ἀθλήσει.

28 Μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων· ἥτις ἐστὶν αὐτοῖς μὲν ἔνδειξις ἀπωλείας, ὑμῶν δὲ σωτηρίας.

Καλῶς εἶπεν "πτυρόμενοι·" τοιαῦτα γὰρ τὰ παρὰ τῶν ἐχθρῶν· μόνον πτύρεται· ἐν μηδενὶ οὖν, φησὶ, κἂν ὁτιοῦν γένηται· κἂν κίνδυνοι· κἂν ἐπιβουλαί· τοῦτο γάρ ἐστι τῶν ὀρθῶς ἑστώτων. ἐκεῖνοι γὰρ οὐδὲν δύνανται, ἀλλὰ πτύραι μόνον. ἂν γὰρ οὕτω διάκεισθε, ἐντεῦθεν ἤδη καὶ τὴν αὐτῶν ἀπώλειαν καὶ τὴν ὑμετέραν σωτηρίαν δήλην ποιήσητε· ὅταν γὰρ ἴδωσιν ὅτι μυρία τεχνάζονται, καὶ οὐδὲ πτύραι ὑμᾶς δύνανται· τεκμήρια λήψονται τῆς αὐτῶν ἀπωλείας. ὅταν γὰρ οἱ διώκοντες τῶν διωκομένων μὴ περιγένωνται· οὐκ αὐτόθεν ἔσται δῆλον αὐτοῖς, ὅτι οὐδὲν ἰσχύουσιν; ὅτι τὰ αὐτῶν ψευδῆ; καὶ τοῦτο ἀπὸ Θεοῦ, φησὶν,

29 Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν.

Πάλιν αὐτῶν παιδεύει τὸ φρόνημα μετριάζειν· τὸ πᾶν ἀνατι-

θεὶς τῷ Θεῷ· καὶ χάριν εἶναι λέγων καὶ χάρισμα, τὸ πάσχειν ὑπὲρ Χριστοῦ. ὥστε μὴ αἰσχύνεσθε· χάρισμα γάρ ἐστιν ὄντως, τοῦ νεκροὺς ἀνιστάναι καὶ σημεῖα ποιεῖν θαυμασιώτερον· ἐκεῖ μὲν γὰρ ὀφειλέτης εἰμί· ἐνταῦθα δὲ ὀφειλέτην ἔχω τὸν Θεόν. χάρισμα δὲ αὐτὸ φησὶν, οὐ τὸ αὐτεξούσιον ἀνατρέπων, ἀλλὰ μετριόφρονας καὶ εὐγνώμονας κατασκευάζων. "τὸν αὐτὸν ἀγῶνα ἔχοντες "οἷον ἴδετε ἐν ἐμοί·" πάλιν αὐτοὺς ἐπαίρει ἐνταῦθα, δεικνὺς πανταχοῦ τὰ αὐτὰ ἀγωνιζομένους αὐτῷ· τὰ αὐτὰ ἀθλοῦντας καὶ ἰδίᾳ καθ' ἑαυτοὺς, καὶ τῷ συνδιαφέρειν αὐτῷ τοὺς πειρασμούς· οἷον ἴδετε φησὶν, ἐν ἐμοί· καὶ γὰρ ἐκεῖ ἤθλησε μὲν ἐν Φιλίπποις.

1 Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον
ἀγάπης, εἴ τις κοινωνία Πνεύματος, εἴ τινα σπλάγχνα
2 καὶ οἰκτιρμοὶ, πληρώσατέ μου τὴν χάραν.

Οὐδὲν ἄμεινον, οὐδὲν φιλοστοργότερον διδασκάλου πνευματικοῦ· πάντος πατέρος εὔνοιαν παρέρχεται φυσικοῦ. ὅρα γοῦν ὁ μακάριος οὗτος οἵαν τίθησιν ἱκετηρίαν πρὸς Φιλιππησίους, ὑπὲρ τῶν ἐκείνοις συμφερόντων· τί γὰρ, φησὶν, περὶ ὁμονοίας παρακαλῶν, τοῦ πάντων αἰτίου τῶν καλῶν; ὅρα πῶς λιπαρῶς, μετὰ συμπαθείας πολλῆς, "εἴτις οὖν παράκλησις ἐν Χριστῷ," φησίν· τουτέστιν εἴ τινα ἔχετε παράκλησιν ἐν Χριστῷ. ὡς ἂν εἰ ἔλεγεν· εἴ τινά μου λόγον ἔχεις· εἴποτε εὖ ἐπαθέτε παρ' ἐμοῦ· τόδε ποίησον. τούτῳ δὲ κεχρήμεθα τῆς διαθέσεως τῷ τρόπῳ, ὅταν ὑπὲρ πράγματος ἀξιοῦμεν, ὃ πάντων προτίθεμεν, πάντων τὴν ἀμοιβὴν ἐν ἐκείνῳ λαβεῖν βουλόμεθα· καὶ δι' ἐκείνου, τὸ πᾶν λέγομεν δείκνυσθαι· ὡς ἂν εἰ ἔλεγεν, εἴ τινά μοι βούλεσθε παράκλησιν ἐν τοῖς πειρασμοῖς δοῦναι καὶ προτροπὴν ἐν Χριστῷ· εἴ τινα παραμυθίαν ἀγάπης, εἴ τινα κοινωνίαν δεῖξαι τὴν ἐν πνεύματι· εἴ τινα ἔχετε σπλάγχνα καὶ οἰκτιρμοὺς, πληρώσατέ μου τὴν χάραν. ὅρα ἵνα μὴ δόξῃ ἡ παραίνεσις ὡς πρὸς ἐλλείποντάς τι γίνεσθαι· οὐκ εἶπεν ποιήσατέ μοι, ἀλλὰ πληρώσατε ἣν ἤρξασθε φυτεύειν ἐν ἐμοί· ἤδη μοι μετεδώκατε τὸ εἰρηνεύειν, ἀλλ' εἰς τέλος ἐπιθυμῶ ἐλθεῖν.

Ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψηφοι, τὸ ἓν φρονοῦντες.

Βαβαῖ, ποσάκις τὸ αὐτὸ λέγει, ἀπὸ διαθέσεως πολλῆς; "ἵνα

“τὸ αὐτὸ φρονῆτε.” μᾶλλον δὲ ἵνα ἓν φρονῆτε· τοῦ γὰρ “τὸ “αὐτὸ” μεῖζον τοῦτό ἐστι· “τὴν αὐτὴν ἀγάπην ἔχοντες·” τουτέστιν μὴ ἁπλῶς περὶ πίστιν μόνον, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν “σύμψυχοι·” τουτέστιν μιᾷ ψυχῇ τὸ πάντων οἰκειούμενοι σῶμα, οὐ τῇ οὐσίᾳ· οὐ γάρ ἐστιν, ἀλλὰ τῇ προαιρέσει καὶ τῇ γνώμῃ· ὡς ἐκ μιᾶς ψυχῆς πάντα γινέσθω· ἓν ἔστω, φησὶ, τὸ φρόνημα, ὡς ἐκ μιᾶς ψυχῆς.

3 Μηδὲ κατ᾽ ἐρίθειαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπει-
νοφροσύνῃ ἀλλήλους προηγούμενοι ὑπερέχοντας ἑαυτῶν·
4 μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε, ἀλλὰ καὶ τὰ ἑτέρων.

Ὅπερ ἀεὶ φημὶ, πάντων αἴτιον τῶν κακῶν τοῦτό ἐστιν· ἐντεῦθεν μάχαι καὶ ἔρεις· ἐντεῦθεν τῆς ἀγάπης καὶ ψύξις· οὐ γὰρ ἔνι δόξης ὄντα δοῦλον εἶναι καὶ Θεοῦ γνήσιον· πῶς οὖν τὴν κενοδοξίαν φύγωμεν; οὐδὲ γὰρ εἶπες ὁδόν· ἄκουε τῶν ἐπαγομένων· “ἀλλὰ “τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν·” βαβαῖ, πῶς δόγμα φιλοσοφίας γέμον καὶ πάσης ἡμῶν τῆς σωτηρίας ἐξέθετο; ἐὰν ὑπολάβῃς, φησὶν, ὅτι ὁ δεῖνα σοῦ μεῖζον ἐστί· καὶ τοῦτο πείσεις σαυτὸν, οὐκ ἐὰν εἴπῃς μόνον ἀλλὰ καὶ πληροφορηθῇς ἀπομένειν αὐτῷ τὴν τιμήν· οὐκ ἀγανακτήσεις ὁρῶν αὐτὸν παρ᾽ ἑτέρου τιμώμενον. μὴ τοίνυν ἁπλῶς νόμιζε μείζονά σου εἶναι, ἀλλ᾽ ὑπερέχειν· ὅπερ ἐστὶ σφοδρᾶς ὑπερβολῆς· καὶ οὐ ξενίζῃ τιμώμενον ὁρῶν οὐδὲ ἀλγεῖς· κἂν ὑβρίσῃ, φέρεις γενναίως· ὅταν γὰρ ἅπαξ καὶ ψυχὴ πληροφορηθῇ ὅτι μείζων ἐστὶν, οὐκ εἰς ὀργὴν ἐμπίπτει ἐν οἷς ἂν παρ᾽ αὐτοῦ πάθῃ κακῶν, οὐκ εἰς βασκανίαν· τῆς γὰρ ὑπεροχῆς τὰ πάντα ἐστίν. ὅταν δὲ κἀκεῖνος ὁ τοσαύτης ἀπολάβων παρὰ σοῦ τῆς τιμῆς φησὶν, οὕτω πρὸς σὲ διάκειται· ἐννόησον πῶς τεῖχος ἐστὶ διπλοῦν ἐπιεικείας· εἰ γὰρ παρ᾽ ἑνὸς τοῦτο γινόμενον ἀρκεῖ λῦσαι πᾶσαν ἐρεσχελίαν· ὅταν παρ᾽ ἀμφοτέρων ᾖ, τίς διακόψει ταύτην τὴν ἀσφάλειαν; οὐδὲ αὐτὸς ὁ διάβολος.

5 Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ,
6 ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ
7 εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου
8 λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχή-

ματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς πρὸς τὰ μέγαλα προτρέπων τοὺς ἑαυτοῦ μαθήτας, ἑαυτὸν ὑπόδειγμα τίθησι καὶ τὸν Πατέρα καὶ τοὺς προφήτας· ὡς ὅταν λέγῃ, “οὕτως γὰρ ἐποίησαν τοῖς “προφήταις τοῖς πρὸ ὑμῶν.” καὶ πάλιν· “εἰ ἐμὲ ἐδίωξαν, καὶ “ὑμᾶς διώξουσι·” καὶ “μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ “ταπεινὸς τῇ καρδίᾳ·” καὶ πάλιν· “γίνεσθε οἰκτίρμονες, ὡς ὁ “πατὴρ ὑμῶν ὁ ἐν οὐρανοῖς·” τοῦτο καὶ ὁ μακάριος Παῦλος ἐποίησεν, προτρέπων αὐτοὺς εἰς ταπεινοφροσύνην, τὸν Χριστὸν ἐν μέσῳ παρήγαγε· καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ὅταν περὶ φιλοπτωχίας διαλέγηται, οὕτω πῶς φησὶν “γινώσκετε γὰρ τὴν χάριν “τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι δι' ὑμᾶς ἐπτώχευσεν, “πλούσιος ὤν·” οὐδὲν γὰρ οὕτως τὴν μεγάλην καὶ φιλόσοφον ψυχὴν διανίστησι πρὸς τὴν τῶν ἀγαθῶν ἐργασίαν, ὡς τὸ μαθεῖν ὅτι τῷ Θεῷ κατὰ τοῦτο ὁμοιοῦται.

Πρόσεχε τοίνυν· διὰ γὰρ τούτων τῶν ῥημάτων, πάσας ἁπλῶς τὰς αἱρέσεις κατέβαλε· Σαβέλλιος γὰρ φησὶν, ὅτι τὸ Πατὴρ καὶ Υἱὸς καὶ Ἅγιον Πνεῦμα, ὀνόματά ἐστι ψιλὰ, καθ' ἑνὸς προσώπου κείμενα. Μαρκίων δὲ ὁ Ποντικὸς φησὶν, ὅτι ὁ Θεὸς ὁ τὰ πάντα συστησάμενος, οὐκ ἔστιν ἀγαθὸς οὐδὲ Πατὴρ τοῦ ἀγαθοῦ Χριστοῦ, ἀλλ' ἕτερός τις δίκαιος, καὶ σάρκα οὐκ ἀνέλαβεν ὑπὲρ ἡμῶν. Μάρκελλος, Φωτεινὸς καὶ Σωφρόνιος, τὸν λόγον ἐνέργειαν εἶναι φασί· τὴν δὲ ἐνέργειαν ταύτην ἐνοικῆσαι τῷ ἐκ σπέρματος Δαβὶδ, οὐκ οὐσίαν ἐνυπόστατον. Ἄρειος ὑμῖν μὲν ὁμολογεῖ, ῥήματι δὲ μόνον· καὶ κτίσμα δὲ αὐτὸν εἶναι φησὶν, καὶ τοῦ Πατέρος ἐλάττονα πολλῷ. ἕτεροι δὲ οὐ φασὶν αὐτὸν ἔχειν ψυχήν. θεώρει τοίνυν τούτων τὰ πτώματα· μιᾷ γὰρ πληγῇ βάλλει τούτους ἀθρόον· λέγων, “τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ “Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ “εἶναι ἴσα Θεῷ.” καὶ Παῦλος Σαμωσατεὺς ἔπεσε, καὶ Μαρκίων καὶ Σαβέλλιος· “ἐν μορφῇ γὰρ Θεοῦ ὑπάρχων,” φησίν· πῶς οὖν λέγει Παῦλος ὁ Σαμωσατεὺς, ὅτι ἀπὸ Μαρίας ἦρξατο καὶ πρὸ τούτου οὐκ ἦν; καὶ σὺ δὲ πῶς λέγεις ἐνέργεια ἦν; μορφὴ γὰρ

Θεοῦ, φησὶν, μορφὴν δούλου ἔλαβεν· ἡ μορφὴ τοῦ δούλου, ἐνέργεια δούλου ἐστὶν ἢ φύσις δούλου. πάντως δή που φύσις δούλου. οὐκ οὖν καὶ ἡ μορφὴ τοῦ Θεοῦ, Θεοῦ φύσις; οὐκ ἄρα ἐνέργεια. ἰδοὺ καὶ Μάρκελλος ὁ Γαλάτης, καὶ Σωφρόνιος καὶ Φωτεινὸς κατέπεσον· ἰδοὺ καὶ Σαβέλλιος· "οὐχ ἁρπαγμὸν ἡγήσατο," φησὶν, "τὸ εἶναι ἴσα Θεῷ·" ἴσον δὲ ἐπὶ ἑνὸς οὐ λέγεται προσώπου. τὸ γὰρ ἴσον, τινὶ ἔστιν ἴσον. ὁρᾷς δύο προσώπων ὑπόστασιν, οὐχὶ ὀνόματα ψιλὰ χωρὶς πραγμάτων λεγόμενα; ἤκουσας τὴν προαιώνιον ὕπαρξιν τοῦ μονογένους;

Τί οὖν πρὸς Ἄρειον εἴπωμεν, τὸν λέγοντα ἑτέρας εἶναι οὐσίας τὸν υἱόν; ἐπειδή μοι μορφὴν δούλου ἔλαβε, τί ἐστιν; ἄνθρωπος ἐγένετο, φησίν· οὐκοῦν καὶ ἐν μορφῇ Θεοῦ ὑπάρχων, Θεὸς ἦν; μορφὴ γὰρ καὶ μορφὴ κεῖται· εἰ τοῦτο ἀληθὲς, κακεῖνος φύσει ἄνθρωπος· ἡ μορφὴ τοῦ δούλου· οὐκοῦν φύσει Θεὸς, ἡ μορφὴ τοῦ Θεοῦ; καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ τὸ ἴσον αὐτῷ μαρτυρεῖ· ὥσπερ οὖν καὶ Ἰωάννης· ὅτι οὐδὲν ἐλάττων ἐστὶ τοῦ Πατέρος· "οὐχ "ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ·" ἀλλὰ τὶς ὁ σοφὸς αὐτῶν λόγος; καὶ μὴν τουναντίον δείκνυσι, φησίν· εἶπεν γὰρ ὅτι ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ· καὶ μὴν εἰ ἦν Θεὸς, πῶς εἶχεν ἁρπάσαι; ἢ πῶς οὐκ ἀπερινόητον τοῦτο; τίς γὰρ ἂν εἴποι, ὅτι ὁ δεινὰ ἄνθρωπος ὢν, οὐχ ἥρπασε τὸ εἶναι ἄνθρωπος; πῶς γὰρ ἄν τις ὅπέρ ἐστιν ἁρπάσειεν; οὐ φησὶν, ἀλλ' ὅτι Θεὸς ὢν ἐλάττων, οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ τῷ μεγάλῳ καὶ μείζονι. μικρὸς καὶ μέγας Θεὸς ἔνι; καὶ τὰ Ἑλληνικὰ τοῖς τῆς ἐκκλησίας δόγμασιν ἐπεισάγετε; μέγας γὰρ καὶ μικρὸς παρ' αὐτοῖς Θεός· εἰ δὲ καὶ παρ' ὑμῖν, οὐκ οἶδα· παρὰ μὲν γὰρ ταῖς γραφαῖς, οὐδαμοῦ εὑρήσεις· ἀλλὰ μέγαν μὲν πανταχοῦ, μικρὸν δὲ οὐδαμοῦ. εἰ γὰρ καὶ μικρὸς, πῶς Θεός; εἰ μικρὸς οὐκ ἔστιν ἄνθρωπος, καὶ μέγας· ἀλλὰ μία φύσις· καὶ εἴ τι οὐκ ἔστι τῆς φύσεως ταύτης τῆς μίας οὐκ ἄνθρωπος· πῶς ἂν εἴη μικρὸς Θεὸς καὶ μέγας; εἰ τοίνυν ὁ Πατὴρ μέγας, καὶ Θεός· ὁ μὴ ὢν ἐκείνης τῆς φύσεως, οὐ Θεός· πανταχοῦ γὰρ μέγας λέγεται παρὰ τῇ γραφῇ "μέγας Κύριος καὶ αἰνετὸς σφόδρα·" ἰδοῦ καὶ περὶ τοῦ Υἱοῦ· πανταχοῦ γὰρ Κύριον αὐτὸν καλεῖ· "μέγας εἶ σύ· καὶ

" ποιῶν θαυμάσια, σὺ εἶ ὁ Θεὸς μόνος." καὶ πάλιν, " μέγας ὁ " Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· καὶ τῆς μεγαλω- " σύνης αὐτοῦ οὐκ ἔστι πέρας."

Ἀλλ' ὁ Υἱὸς φησὶν μικρός· ἀλλὰ σὺ τοῦτον λέγεις· ἡ γὰρ γραφὴ τουναντίον. ὥσπερ γὰρ περὶ τοῦ Πατέρος, οὕτω καὶ περὶ τοῦ Υἱοῦ φησίν· ἄκουε γὰρ Παύλου λέγοντος, " προσδεχόμενοι " τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου " Θεοῦ." ἀλλ' ἄρα μὴ περὶ τοῦ Πατέρος ἐπιφάνειαν εἶπεν; ἄπαγε· ἵνα δὲ καὶ μᾶλλον ὑμᾶς ἐλέγξῃ, προσέθηκεν· " καὶ Σω- " τῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ." ἰδοῦ καὶ ὁ Υἱὸς μέγας. πῶς οὖν λέγεις μικρὸν καὶ μέγαν; ἄκουε καὶ τοῦ προφήτου λέγοντος αὐτὸν " μεγάλης βουλῆς Ἄγγελον·" ὁ μεγάλης βουλῆς Ἄγγελος οὐ μέγας; ὁ ἰσχυρὸς Θεὸς, οὐ μέγας, ἀλλὰ μικρός; τί οὖν φασὶν οἱ ἀναίσχυντοι; ὅτι μικρὸς ὢν Θεὸς, (λέγω ἃ λέγουσι πολλάκις, ἵνα μᾶλλον αὐτοὺς φύγητε·) μικρὸς ὢν, φησὶν, Θεὸς, οὐχ ἥρπασε τὸ εἶναι κατὰ τὸν μέγαν. τί γὰρ εἰπέ μοι; εἰ μικρὸς ἦν κατ' αὐτοὺς, καὶ πολὺ τῆς δυνάμεως ἀποδέων τῆς τοῦ Πατέρος, πῶς ἂν ἐδυνήθη ἁρπάσαι τὸ εἶναι ἴσα τῷ Θεῷ; φύσις γὰρ ἐλάττων οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ εἶναι ἐν τῇ μεγάλῃ· οἷον ὁ ἄνθρωπος οὐκ ἂν δύναιτο ἁρπάσαι τὸ γενέσθαι ἴσος ἀγγέλῳ κατὰ τὴν φύσιν· ὁ ἵππος οὐκ ἂν δύναιτο ἁρπάσαι, κἂν θέλῃ, τὸ εἶναι ἴσος ἀνθρώπῳ κατὰ τὴν φύσιν.

Καὶ χωρὶς δὲ τούτου, ἐκεῖνο ἐρῶ· τί βούλεται κατασκευάσαι ὁ Παῦλος διὰ τούτου τοῦ ὑποδείγματος; εἰς ταπεινοφροσύνην πάντως ἐναγαγεῖν τοὺς Φιλιππησίους. τί οὖν, εἰπέ μοι, τοῦτο παρήνεγκεν εἰς μέσον; οὐδεὶς βουλόμενος προτρέψαι ταπεινοφρονεῖν, τοῦτο φησὶν, ἔσο ταπεινὸς καὶ ἔλαττον φρονεῖ τῶν ὁμοτίμων· καὶ γὰρ ὁ δεῖνα ὁ δοῦλος, οὐκ ἐπανέστη τῷ δεσπότῃ· μιμοῦ τοίνυν ἐκεῖνον. καὶ μὴν τοῦτο οὐκ ἔστι ταπεινοφροσύνης, εἴποι τίς ἂν, ἀλλ' ἀπονοίας. μάθετε τί ἐστι ταπεινοφροσύνη· οὗτος ταπεινόφρων ἐστὶν ὁ τὰ ταπεινὰ φρονῶν. ταπεινὰ δὲ φρονεῖ, οὐχ ὁ ἀπὸ ἀνάγκης ὢν ταπεινὸς, ἀλλ' ὁ ἑαυτὸν ταπεινῶν· οἷόν τι λέγω· ὅταν τις ὑψηλὰ δυνάμενος φρονῆσαι, ταπεινοφρονῇ· οὗτος ταπεινόφρων ἐστίν· οἷον βασιλεὺς, τῷ ὑπάρχῳ ἐὰν ὑποτάγηται, ταπεινόφρων

ἐστὶν, ὅτι ἀπὸ τοῦ ὕψους κατέβη· ὁ μέντοι ὕπαρχος, ἐὰν τοῦτο ποιῇ, οὐ ταπεινοφρονήσει· πῶς γάρ; οὐ γὰρ ἀπὸ τοῦ ὕψους ἐταπείνωσεν ἑαυτόν· οὐδὲ τῆς ταπεινοφρονήσεως τὸ κατόρθωμα, ἀλλὰ τῆς ἀνάγκης. ταπεινοφροσύνη δὲ διὰ τοῦτο λέγεται, ὅτι τοῦ φρονήματός ἐστι ταπείνωσις· ὁ γὰρ ἔπαινος οὐκ ἐν τῇ τῶν κακῶν ἀποχῇ, ἀλλ' ἐν τῇ τῶν ἀγαθῶν ἐργασίᾳ γίνεται.

Ὅρα γοῦν καὶ τὸν Χριστὸν οὕτως ἐπαινοῦντα, ὅταν λέγῃ, "δεῦτε οἱ εὐλογημένοι τοῦ Πατέρος μου, κληρονομήσατε τὴν "ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπεί- "νασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν·" καὶ ἑξῆς. οὐκ εἶπεν, ἐπειδὴ οὐκ ἐπλεονεκτήσατε, οὐχ ἡρπάσατε· μικρὰ γὰρ ταῦτα· ἀλλ' ὅτι πεινῶντά με ἴδετε, καὶ ἐθρέψατε. καὶ τίς ἂν οὕτως ἐπῄνεσεν ἢ τοὺς φίλους ἢ τοὺς ἐχθρούς; οὐκ ἂν οὐδὲ Παῦλον οὐδὲ τὸν τυχόντα τίς ἄνδρα, ὡς σὺ τὸν Χρίστον ἐπαινεῖς, ἐπῄνεσεν· ὅτι μὴ προσήκουσαν ἀρχὴν οὐκ ἔλαβε· τὸ γὰρ ἐπὶ τοιούτοις θαυμάζειν, πολλήν ἐστι κακίαν μαρτυρούντων· πῶς; ὅτι ἐπ' ἐκείνων τὸ τοιοῦτον ἐπαινός ἐστιν· οἷον ὁ κλέπτων ἐὰν μηκέτι κλέπτῃ· ἐπὶ δὲ τῶν ἀγαθῶν οὐκέτι, ὅτι οὐχ ἥρπασε μὴ προσήκουσαν ἀρχὴν καὶ τιμὴν, ἐπαινετός.

Καὶ ποίας ταῦτα ἀνοίας; προσέχε, παρακαλῶ· μακρὸς γὰρ ὁ λόγος· ἄλλως δὲ, τίς ἂν ἀπὸ τούτων εἰς ταπεινοφροσύνην προέτρεψε; τὰ γὰρ ὑποδείγματα πολλῷ μείζονα δεῖ εἶναι τῆς ὑποθέσεως εἰς ἣν παρακαλοῦμεν· οὐ γὰρ ἂν τίς ἐξ ἀλλοτρίων προτραπείη· οἷον, προέτρεπεν ὁ Χριστὸς εὖ ποιεῖν τοὺς ἐχθροὺς, ἤνεγκε παράδειγμα μέγα τοῦ Πατέρος, "ὅτι ἀνάτελλει τὸν "ἥλιον ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ "ἀδίκους." προέτρεπεν εἰς ἀνεξικακίαν· ἤνεγκε παράδειγμα, "μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ." καὶ πάλιν· "εἰ ἐγὼ ὁ Κύριος καὶ ὁ διδάσκαλος ταῦτα ποιῶ, πόσῳ "μᾶλλον ὑμεῖς." ὁρᾷς πῶς οὐκ ἀφέστηκε τὰ παραδείγματα; οὐδὲ γὰρ τοσοῦτον ἀφεστάναι δεῖ· καὶ γὰρ καὶ ἡμεῖς οὕτω ποιοῦμεν. ἄλλως δὲ καὶ ἐνταῦθα· οὐδὲ ἐγγύς ἐστι τὸ παράδειγμα. πῶς ὅτι εἰ δοῦλος ἐστὶ, καὶ ἐλάττων ἐστὶ καὶ ὑπήκουσε τῷ μείζονι; τοῦτο οὐδὲ ταπεινοφροσύνη ἐστί· τουναντίον γὰρ ἔδει ποιῆσαι·

μεῖζονά τινα τῷ ἐλάττονι ὑπακούσαντα δεῖξαι· ἀλλ' ἐπειδὴ τοῦτο οὐχ εὗρεν ἐπὶ Θεοῦ μείζονα καὶ ἐλάττονα, τὸ γοῦν ἴσον ἐποίησεν. εἰ δὲ ἐλάττων ἦν ὁ Υἱὸς, οὐχ' ἱκανὸν εἰς ταπεινοφροσύνην προτρέψαι· διά τι; ὅτι οὐκ ἔστι ταπεινοφροσύνη τὸ τὸν ἐλάττονα μὴ ἐπαναστῆναι τῷ μείζονι· τὸ μὴ ἁρπάσαι τὴν ἀρχὴν, τὸ ὑπακοῦσαι, μέχρι θανάτου. ἄλλως δὲ ὅρα καὶ μετὰ τὸ ὑπόδειγμα τί φησὶν τῇ ταπεινοφροσύνῃ "ἀλλήλους ἡγούμενοι ὑπερέχοντας "ἑαυτῶν." ἐπειδὴ γὰρ τὴν οὐσίαν ἕν ἐστε, καὶ κατὰ τὴν τιμὴν τὴν παρὰ τοῦ Θεοῦ, δεῖ λοιπὸν τῆς ὑπολήψεως εἶναι τὸ πρᾶγμα. ἐπὶ δὲ τῶν μειζόνων καὶ ἐλαττόνων οὐκ ἂν τοῦτο εἶπεν ὅτι ἡγούμενοι· ἀλλὰ τιμᾶτε τοὺς ὑπερέχοντας ὑμῶν· ὡς καὶ ἀλλαχοῦ φησὶν, "πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε·" ἐκεῖ τῆς φύσεως τοῦ πράγματός ἐστιν ἡ ὑποταγὴ, ἐνταῦθα τῆς κρίσεως δεῖ γενέσθαι τῆς ἡμετέρας.

Τὰ μὲν οὖν ἐκείνων οὕτως ἀνατέτραπται· τὰ δὲ ἡμέτερα λοιπὸν εἰπεῖν χρὴ, πρότερον ἐν κεφαλαίῳ τὰ ἐκείνων εἰπόντα· ὅτι εἰς ταπεινοφροσύνην παρακαλῶν οὐκ ἂν τὸν ἐλάττονα ὄντα καὶ τῷ μείζονι ὑπακούσαντα παρήγαγεν. εἰ μὲν γὰρ δούλους δεσπόταις παρεκάλει ὑπακούειν, εἰκότως· εἰ δὲ ἐλευθέρους ἐλευθέροις, τί τοῦ δούλου πρὸς τὸν δεσπότην τὴν ὑποταγὴν ἔφερε; μὴ γὰρ εἶπεν, οἱ ἐλάττονες τοῖς μείζοσιν ὑπακουέτωσαν· ἀλλ' ἰσότιμοι ἀλλήλων ὄντες ὑπακούετε· "ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν·" διατί δὲ μὴ παρήγαγεν, εἰ ἄρα κἂν τὸ τῆς γυναικὸς, ὅτι ὥσπερ ἡ γυνὴ ὑπακούει τῷ ἀνδρὶ, οὕτω καὶ ὑμεῖς ὑπακούετε; εἰ δὲ ὅπερ ἴσον ἐστὶ καὶ ἐλευθέριον οὐ παρήγαγεν, ἐπειδὴ ὅλως μικρά τίς ἦν ὑποταγή· πόσῳ μᾶλλον τὸ τοῦ δούλου οὐκ ἂν παρήγαγεν. εἶπον φθάσας ὅτι οὐδεὶς οὕτως ἐπαινεῖ ἀπὸ τῆς τῶν κακῶν ἀποχῆς· εἶπεν ὅτι ἡ μορφὴ τοῦ δούλου ἀληθὴς, καὶ οὐδὲν ἐλάττων· οὐκ οὖν καὶ ἡ μορφὴ τοῦ Θεοῦ τελεία καὶ οὐκ ἐλάττων. διατί μὴ εἶπεν ὃς ἐν μορφῇ Θεοῦ γενόμενος, ἀλλ' "ὑπάρχων;" ἴσον ἐστὶ τοῦτο τοῦ εἰπεῖν ἐγώ εἰμι ὁ ὤν· τὸ ἀπαράλλακτον ἡ μορφὴ δείκνυσι, καθό ἐστι μορφή· οὐκ ἐστὶ δὲ ἄλλης οὐσίας ὄντα, τὴν ἄλλην μορφὴν ἔχειν. οἷον, οὐδεὶς ἀνθρώπων ἀγγέλου ἔχει μορφήν· οὐδὲ ἄλογον ἀνθρώπου ἔχει μορφήν. πῶς οὖν ὁ Υἱὸς; εἶτα ἐπὶ μὲν ἡμῶν, ἐπειδὴ σύνθετοι ἐσμὲν, ἡ μορφὴ τοῦ σώματός ἐστιν· ἐπὶ

δὲ τοῦ ἁπλοῦ καὶ ἀσυνθέτου, παντὸς τῆς οὐσίας· εἰ δὲ τὸ χωρὶς ἄρθρου εἰρῆσθαι οὐ δείκνυσι τὸν Πατέρα· πολλαχοῦ τοῦτο δείκνυται χωρὶς ἄρθρου εἰρημένον· καὶ τί λέγω πολλαχοῦ· ἐν γὰρ αὐτῷ εὐθέως τῷ χωρίῳ τούτῳ, "οὐχ ἁρπαγμόν," φησὶν "ἡγήσατο τὸ εἶναι, ἴσα Θεῷ·" καὶ οὐκ εἶπε τῷ Θεῷ, περὶ τοῦ Πατέρος λέγων.

Εἴρηται μὲν δὴ ἡμῖν τὰ παρὰ τῶν αἱρετικῶν· εὔκαιρον δὴ λοιπὸν τὰ ἡμέτερα εἰπεῖν. ἐπειδὴ τοίνυν πολλοὶ τῶν ἀνθρώπων νομίζουσιν ὅταν ταπεινοφρονῶσιν ἀποστερεῖσθαι τοῦ οἰκείου ἀξιώματος, καὶ ἐλαττοῦσθαι καὶ ταπεινοῦσθαι· τούτων ἀφαιρῶν τὸν φόβον, καὶ δεικνὺς ὅτι οὐ χρὴ οὕτω διακεῖσθαι, φησὶν ὅτι ὁ Θεὸς ὁμογενής, ὁ ἐν μορφῇ Θεοῦ ὤν, ὁ μηδὲν ἔλαττον ἔχων τοῦ Πατέρος, ὁ ἴσος αὐτῷ, "οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ." τί δε τοῦτό ἐστιν; ὅταν ἁρπάσῃ τίς καὶ παρὰ τὸ προσῆκον λαβῇ, τοῦτο ἀποθέσθαι οὐ τολμᾷ, δεδοικὼς μὴ ἀπολεῖται, μὴ ἐκπέσῃ· ἀλλὰ διὰ παντὸς αὐτὸ κατέχει. ὁ μέντοι φυσικόν τι ἔχων ἀξίωμα, οὐ δέδοικε καταβῆναι ἀπ' ἐκείνου τοῦ ἀξιώματος· εἰδὼς ὅτι οὐδὲν τοιοῦτο πείσεται· οἷον ὡς ἐπὶ ὑποδείγματος, ἵνα εἴπω, ὁ Ἀβισαλὼν ἥρπασε τὴν τυραννίδα, καὶ ἀποθέσθαι ταύτην οὐκ ἐτόλμα λοιπόν. καὶ ἐπὶ ἄλλο δὲ ἐλευσόμεθα ὑπόδειγμα· ἂν δὲ μὴ ἰσχύῃ τὰ ὑποδείγματα τὸ πᾶν παραστῆσαι, μὴ δυσχεραίνετε· τὰ γὰρ ὑποδείγματα τοιαῦτα εἰσὶν, τὸ πλεῖον ἀφιᾶσι τῇ διανοίᾳ λογίζεσθαι. ἐπανέστη τίς βασιλεῖ, καὶ τὴν βασιλείαν ἥρπασεν· οὗτος ἀποθέσθαι καὶ κρύψαι τὸ πρᾶγμα οὐ τολμᾷ· ἂν γὰρ ἅπαξ κρύψῃ, εὐθέως ἀπώλωλεν· καὶ ὅλως οἱ ἐξ ἁρπαγῆς ἔχοντές τι, δεδοίκασιν ἀποθέσθαι καὶ κρύψαι, καὶ μὴ διὰ παντὸς εἶναι ἐν ἐκείνῳ, ἐν ᾧ εἰσίν· ἀλλ' οὐχ οἱ μὴ ἐξ ἁρπαγῆς ἔχοντες, οἷον ἄνθρωπος ἀξίωμα ἔχει τοῦτο, εἶναι λογικός· οὐχ εὑρίσκω παράδειγμα· οὐ γάρ ἐστι παρ' ἡμῖν ἀρχὴ φυσική· οὐδὲν γάρ ἐστι τῶν ἀγαθῶν φυσικόν· ἐπὶ δὲ τοῦ Θεοῦ, τῇ φύσει συγκεκλήρωται.

Τί οὖν φησί; ὅτι ὁ τοῦ Θεοῦ Υἱὸς οὐκ ἐφοβήθη καταβῆναι ἀπὸ τοῦ ἀξιώματος· οὐ γὰρ ἁρπαγμὸν ἡγήσατο τὴν θεότητα, οὐδὲ ἐδεδοίκει μή τις αὐτὸν ἀφέληται τὴν φύσιν ἢ τὸ ἀξίωμα· διὸ καὶ ἔκρυψεν, οὐδὲν ἡγούμενος ἐλαττοῦσθαι ἀπὸ τούτου. διὰ τοῦτο,

οὐκ εἶπεν, οὐχ ἥρπασεν, ἀλλ' οὐχ ἁρπαγμὸν ἡγήσατο. οὐχ ἁρπάσας εἶχεν τὴν ἀρχὴν, ἀλλὰ φυσικὴν δεδομένην καὶ νόμιμον καὶ ἐν ἀσφαλείᾳ· διὸ οὐ παρῃτεῖτο καὶ τὸ τῶν ὑπασπιστῶν ἀναλαβεῖν σχῆμα. ὁ τύραννος δέδοικεν ἐν πολέμῳ ἀποθέσθαι τὴν ἁλουργίδα· ὁ δὲ βασιλεὺς μετὰ πολλῆς αὐτὸ ποιεῖ τῆς ἀσφαλείας· διατί; ὅτι οὐχ ἁρπαγμὸν ἔχει τὴν ἀρχήν. οὐχ ὡς ἁρπάσας οὖν οὐχ ἀπετίθετο· ἀλλ' ὡς φυσικὴν ἔχων, καὶ οὐδέποτε ἀποστῆναι δυναμένην· ἔκρυψε τοῦτο τὸ εἶναι ἴσα Θεῷ· οὐχ ὡς ἁρπαγμὸν εἶχεν ἀλλὰ φυσικόν· διὸ καὶ “ἐκένωσεν ἑαυτόν.” ποῦ οἱ λέγοντες, ὅτι ἀνάγκην ὑπέστη; ὅτι ὑπετάγη; ἑαυτὸν, φησὶν ἐκένωσεν· ἑαυτὸν ἐταπείνωσεν, ὑπήκοος γενόμενος μέχρι θανάτου. πῶς ἐκένωσεν; “μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος·” ἐνταῦθα πρὸς τὸ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν, τοῦτο εἶπεν τὸ “ἑαυτὸν ἐκένωσεν·” ἐπεὶ εἰ ὑπετάγη, οὐ δὴ ταπεινοφροσύνης ἦν τὸ πρᾶγμα· εἰ μὴ οἴκοθεν τοῦτο εἵλετο, εἰ μὴ παρ' ἑαυτοῦ. ἢ γὰρ οὐκ ᾔδει ὅτι δεῖ τοῦτο γενέσθαι, καὶ ἔσται ἀτελής· ἢ εἰδὼς περιέμενεν τὸν καιρὸν τοῦ πράγματος· καὶ ἔσται καιρὸν οὐκ εἰδώς· ἢ εἰ ᾔδει καὶ ὅτι δεῖ γενέσθαι καὶ πότε γενέσθαι, τίνος ἕνεκεν ἐπιταγὴν ὑπέμενεν; ἵνα δείξῃ τὴν ὑπεροχήν· τοῦτο οὐ Πατέρος ἐστὶ δεῖξαι ὑπεροχὴν, ἀλλ' οἰκείαν εὐτέλειαν· οὐ γὰρ ἱκανὸν τὸ τοῦ Πατέρος ὄνομα δεῖξαι τὰ πρεσβεῖα τοῦ Πατέρος· χωρὶς γὰρ τούτου πάντα τὰ αὐτά ἐστιν τῷ παιδί· οὐ γὰρ ἱκανὴ αὐτὴ ἡ τιμὴ παρὰ τοῦ Πατέρος εἰς τὸν Υἱόν.

Τί οὖν φησὶν οἱ αἱρετικοί; ἰδοὺ φησὶν, οὐχ ἐγένετο ἄνθρωπος. οἱ Μαρκίωνος λέγω· ἀλλὰ τί; ἐν ὁμοιώματι, φησὶν, ἀνθρώπων. πῶς δέ ἐστιν ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι; σκίαν περιβαλόμενον· οὐκ οὖν εἴδωλον τοῦτό ἐστιν, καὶ οὐκέτι ἀνθρώπου ὁμοίωμα, ἄνθρωπος ἕτερος· τί δὲ ἐρεῖς Ἰωάννῃ λέγοντι, “ὁ λόγος σὰρξ ἐγένετο;” ἀλλὰ καὶ αὐτὸς οὗτός φησιν ὁ μακάριος ἀλλαχοῦ· “ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας.” “καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος·” ἰδοὺ φησὶν καὶ σχήματι καὶ ὡς ἄνθρωπος· τοῦτο δὲ ἔστιν ἄνθρωπος ἀληθῶς τὸ ὡς ἄνθρωπον εἶναι, καὶ τῷ σχήματι εἶναι ἄνθρωπον. τὸ γὰρ σχήματι εἶναι ἄνθρωπον οὐκ ἔστιν φύσει ἄνθρωπον εἶναι. ὁρᾶτε μεθ' ὅσης ἐγὼ εὐγνωμοσύνης τὰ παρὰ τῶν

ἐχθρῶν τίθημι; ἡ γὰρ λαμπρὰ νίκη καὶ ἐκ περιουσίας γινομένη αὕτη ἔστιν, ὅταν τὰ δοκοῦντα αὐτῶν ἰσχυρὰ εἶναι μὴ ἀποκρύπτωμεν· τοῦτο γὰρ ἀπάτη ἐστὶ μᾶλλον, ἢ νίκη. τί οὖν φασί; πάλιν αὐτὰ ἀναλάβωμεν· τὸ σχήματι οὐκ ἔστι φύσει· καὶ τὸ ὡς ἄνθρωπον εἶναι, οὐκ ἔστιν ἄνθρωπον εἶναι· καὶ τὸ ἐν ὁμοιώματι ἀνθρώπου εἶναι, οὐκ ἔστι τοῦτο ἄνθρωπον εἶναι· τί οὖν; ἄρα καὶ τὸ μορφὴν δούλου λαβεῖν, οὐκ ἔστι μορφὴν δούλου λαβεῖν; οὐκοῦν μάχη ἐνταῦθα· καὶ διατί μὴ ἐκεῖνο σὺ πρότερος λύεις; ὥσπερ γὰρ ταῦτα νομίζεις ἡμῖν ἀντικεῖσθαι· οὕτως καὶ ἡμεῖς φαμὲν ἐκεῖνο σοὶ ἀντικεῖσθαι· οὐ γὰρ εἶπεν ὡς μορφὴ δούλου, οὐδὲ ἐν σχήματι μορφῆς δούλου· ἀλλὰ μορφὴν δούλου ἔλαβε· τί οὖν ἔστι; καὶ γὰρ μάχη ἐστίν. οὐδὲ μία μάχη· μὴ γένοιτο· ἀλλὰ τίς ὁ ψυχρὸς αὐτῶν λόγος καὶ καταγέλαστος. μορφὴν δούλου, φησὶν, ἔλαβεν, ὅτε τὸ λέντιον περιζωσάμενος ἔνιψε τοὺς πόδας τῶν μαθητῶν· τοῦτο μορφὴ δούλου ἐστίν. ἀλλ' οὐκ ἔστι τοῦτο μορφὴ δούλου, ἀλλ' ἔργον δούλου· ἕτερον δέ ἐστιν ἔργον εἶναι δούλου, καὶ μορφὴν δούλου λαβεῖν· διατί γὰρ οὐκ εἶπεν ὅτι ἔργον ἐποίησε δούλου, ὡς σαφέστερον ἦν· οὐδαμοῦ δὲ ἐν τῇ γραφῇ μορφὴ ἀντὶ ἔργου εἴρηται· πολὺ γὰρ τὸ μέσον· τὸ μὲν γὰρ φύσεώς ἔστι, τὸ δὲ ἐνεργείας· καὶ ἐν τῇ συνηθείᾳ δὲ οὐδαμοῦ τὴν μορφὴν ἀντὶ ἔργου λέγοντες λαμβάνομεν.

Ἄλλως δὲ, οὐδὲ τὸ ἔργον ἔλαβε κατ' ἐκείνους, οὐδὲ διεζώσατο· εἰ γὰρ φαντασία τὸ πρᾶγμα ἦν, οὐκ ἦν ἀλήθεια· εἰ μὴ χεῖρας εἶχε, πῶς ἔνιψεν; εἰ μὴ ὀσφῦν εἶχε, πῶς λέντιον περιεζώσατο; ἔλαβε γὰρ τὰ ἱμάτια αὐτοῦ φησίν· ὥστε οὐδὲ τὸ ἔργον ἐνταῦθα εὑρίσκεται γεγονός· ἀλλὰ πάντη[a] ἐστὶ μόνον· οὐδὲ ἔνιψε τοὺς μαθητάς· εἰ γὰρ ἡ ἀσώματος φύσις οὐκ ἐφάνη, ἐν σώματι οὐκ ἦν· τίς οὖν τοὺς μαθητὰς ἔνιψε; τί οὖν πρὸς Παῦλον τὸν Σαμωσατέα; τί γὰρ ἐκεῖνος φησὶ καὶ αὐτός; τὸ αὐτό· ἀλλ' οὐκ ἔστι τοῦτο κένωσις τὸ φύσεως ὄντα ἀνθρωπίνης καὶ ἄνθρωπον ψιλὸν, νίψαι τοὺς ὁμοδούλους· ἃ γὰρ πρὸς Ἀρειανοὺς εἴπαμεν, ταῦτα καὶ πρὸς τούτους ῥητέον· οὐδὲν γὰρ ἀλλήλων διεστήκασιν, ἀλλ' ἢ ὀλίγῳ χρόνῳ· καὶ γὰρ οὗτοι κακεῖνοι πτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ φασί.

[a] Leg. φαντασία.

τί οὖν ἐροῦμεν πρὸς αὐτούς; εἰ ἄνθρωπος ὢν οὐχ ἥρπασε τὸ εἶναι ἴσα Θεῷ, οὐκ ἐπαινετός· τὸ μὲν γὰρ Θεὸν ὄντα, ἄνθρωπον γενέσθαι, πολλὴ ταπείνωσις, κένωσις ἀνεκδιήγητος· τὸ δὲ ἄνθρωπον ὄντα τὰ τῶν ἀνθρώπων ποιεῖν, ποία ταπείνωσις; ποῦ δὲ μορφὴ Θεοῦ ἔργον Θεοῦ λέγεται; εἰ γὰρ ἄνθρωπος ἦν ψιλὸς, καὶ διὰ τὰ ἔργα λέγεται μορφὴ Θεοῦ, διατί μὴ καὶ ἐπὶ Πέτρου τὸ αὐτὸ ποιοῦμεν; μείζονα γὰρ αὐτοῦ εἰργάσατο· διατί μὴ καὶ ἐπὶ Παύλου λέγεις, ὅτι μορφὴν Θεοῦ εἶχε; διατί μὴ καὶ παρ' ἑαυτοῦ τὸ παράδειγμα εἰσήνεγκε Παῦλος, ὁ μυρία πράξας δουλικὰ, καὶ μηδὲ παραιτησάμενος λέγειν, "οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν· ἀλλ' ἢ Ἰησοῦν "Χριστὸν Κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦ;" γελῶς ταῦτα καὶ φλυαρία· πῶς ἐκένωσεν ἑαυτὸν εἶπε, καὶ τί ἡ κένωσις; τί ἡ ταπείνωσις; ἢ ἐπειδὴ θαύματα εἰργάσατο, τοῦτο ἐποίησε καὶ Παῦλος καὶ Πέτρος· ὥστε τοῦ Υἱοῦ τοῦτο ἐξαίρετον.

Τί οὖν ἐστιν "ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος; πολλὰ εἶχεν ἡμέτερα, πολλὰ δὲ οὐκ εἶχεν· οἷον ἀπὸ συνουσίας οὐκ ἐτέχθη, ἁμαρτίαν οὐκ ἐποίησε· ταῦτα ὑπῆρχεν αὐτῷ, ἃ μηδενὶ τῶν ἀνθρώπων· οὐκ ἦν τὸ φαινόμενον, ἀλλὰ καὶ θεότης ἡνωμένη σαρκί· ἐφαίνετο γὰρ ἄνθρωπος· οὐκ ἦν δὲ τοῖς πολλοῖς ὅμοιος. τὴν μὲν γὰρ σάρκα, ὅμοιος ἦν· ψιλὸς δὲ ἄνθρωπος οὐκ ἦν· διὰ τοῦτο φησὶν, "ἐν ὁμοιώματι ἀνθρώπων·" ἐν ἡμῖν μὲν γὰρ ψυχὴ καὶ σῶμα, ἐν δὲ ἐκείνῳ, Θεὸς καὶ ψυχὴ καὶ σῶμα. διὰ τοῦτό φησι μὲν "ὁμοιώματι," ἵνα γὰρ μὴ ἀκούσας ὅτι ἐκένωσεν ἑαυτὸν, μεταβολὴν νομίσῃς καὶ μετάπτωσιν, ἢ καὶ ἀφανισμόν τινὰ, μένων, φησὶν, ὃ ἦν, ἔλαβεν ὃ οὐκ ἦν· καὶ σὰρξ γενόμενος, ἔμεινε Θεὸς Λόγος ὤν· ὥστε κατὰ τοῦτο ὅμοιος ἀνθρώπῳ· καὶ διὰ τοῦτο φησὶν "ἐν σχήματι." οὐχ ἡ φύσις μετέπεσεν, οὐ δὲ σύγχυσις τίς ἐγένετο, ἀλλὰ σχῆμα περιέθετο· εἰπὼν γὰρ ὅτι μορφὴν δούλου ἔλαβεν, ἐθάρρησε λοιπὸν καὶ ταῦτα εἰπεῖν, ὡς ἐκείνου πάντα ἐπιστομίζοντος· ἐπεὶ καὶ ὅταν λέγῃ "ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας," οὐ τοῦτο φησὶν, ὅτι σάρκα οὐκ εἶχεν· ἀλλ' ὅτι ἡ σὰρξ ἐκείνη οὐχ ἥμαρτεν, ἀλλ' ὁμοία ἦν τῇ ἁμαρτωλῇ. κατὰ τί ὁμοία; κατὰ τὴν φυσὶν, οὐ κατὰ τὴν κακίαν· διὰ τοῦτο ὁμοία ἁμαρτωλῆς σαρκός. ὥσπερ οὖν ἐκεῖ τὸ ὅμοιον, διὰ τὸ μὴ πάντα εἶναι ἴσον· οὕτως καὶ ἐνταῦθα ὁμοίωμα, διὰ τὸ μὴ πάντα εἶναι· οἷον τὸ μὴ ἐκ συνουσίας, τὸ χωρὶς

ἁμαρτίας, τὸ μὴ ψιλὸν ἄνθρωπον. καλῶς εἶπεν "ὡς ἄνθρωπος·" οὐ γὰρ ἦν εἷς τῶν πολλῶν· οὐ γὰρ εἰς ἄνθρωπον μετέπεσεν ὁ Θεὸς Λόγος· οὐδὲ ἡ οὐσία μετεβλήθη, ἀλλ' ὡς ἄνθρωπος ἐφάνη· οὐ φαντασιοκοπῶν ἡμᾶς, ἀλλὰ παιδεύων εἰς ταπεινοφροσύνην.

Ὅταν οὖν εἴπῃ ὡς ἄνθρωπος, τοῦτο φησὶν, ἐπεὶ καὶ ἀλλαχοῦ οὐ φησὶν αὐτὸν ὡς ἄνθρωπον, ὅταν λέγῃ· "εἷς Θεὸς, εἷς καὶ μεσίτης, ἄνθρωπος Χριστὸς Ἰησοῦς·" εἴρηται καὶ τὰ περὶ τούτους· καὶ πρὸς τοὺς μὴ λέγοντας δὲ ἀνειληφέναι ψυχὴν, ἀναγκαῖον εἰπεῖν. εἰ ἡ μορφὴ τοῦ Θεοῦ, τέλειος Θεός· καὶ ἡ μορφὴ τοῦ δούλου, τέλειος δοῦλος· πάλιν πρὸς Ἀρειανοὺς ἐνταῦθα· οὐδαμοῦ τὸ ἐγένετο, οὐδαμοῦ τὸ ἔλαβεν· "ἀλλ' ἐν μορφῇ Θεοῦ ὑπάρχων," φησὶν "οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ·" ἐνταῦθα περὶ τῆς ἀνθρωπότητος τὸ "ἔλαβεν" καὶ "ἐγένετο·" τοῦτο ἐγένετο, τοῦτο ἔλαβεν, ἐκεῖνο ὑπῆρχεν. μὴ συγχέωμεν· ἀλλὰ μηδὲ διϊστῶμεν· εἷς Θεὸς, εἷς Χριστὸς Ἰησοῦς Υἱὸς Θεοῦ· τὸ δὲ εἷς, ὅταν λέγω, ἕνωσιν λέγω· οὐ σύγχυσιν τῆς φύσεως ταύτης εἰς ἐκείνην μεταπεσούσης ἀλλ' ἡνωμένης.

Ἐταπείνωσεν ἑαυτὸν, ὑπήκοος γενόμενος μέχρι θανάτου· θανάτου δὲ σταυροῦ.

Ἰδοὺ, φησὶν, ὑπήκοος γέγονεν ἑκὼν, οὐκ ἴσος ἦν τῷ ᾧ ὑπήκουσεν. οὐδὲν τοῦτο αὐτὸν ἐλαττοῖ, ᾧ ἀγνώμονες καὶ ἀνόητοι· ἐπεὶ καὶ φίλοις ὑπακούομεν ἡμεῖς, καὶ οὐδὲν τοῦτο ποιεῖ. ὡς Υἱὸς Πατέρι ὑπήκουσεν· καὶ οὐκ εἰς δουλικὸν ἀξίωμα καταπεσών· ἀλλὰ τοῦτο αὐτῷ μάλιστα φυλάττων τῆς γνησιότητος τὸ θαῦμα, τῇ πολλῇ περὶ τὸν Πατέρα τιμῇ· ἐτίμησεν τὸν Πατέρα, οὐχ ἵνα σὺ αὐτὸν ἀτιμάσῃς, ἀλλ' ἵνα μᾶλλον θαυμάσῃς· ἵνα καὶ ἀπὸ τούτου μάθῃς, ὅτι γνήσιος Υἱὸς τῷ μάλιστα πάντων τὸν Πατέρα τετιμηκέναι· οὐδεὶς οὕτως ἐτίμησε τὸν Θεόν· ὅσον εἶχεν ὕψος, τοσαύτην ταπείνωσιν ὑπέστη ἀντίρροπον· ὥσπερ πάντων ἐστὶ μείζων καὶ οὐδεὶς αὐτῷ ἴσος, οὕτω καὶ τῇ περὶ τὸν Πατέρα τιμῇ πάντας ἐνίκησεν· οὐκ ἀναγκασθεὶς οὐδὲ ἄκων, ἀλλὰ καὶ τοῦτο τῆς ἀρετῆς αὐτοῦ· ἢ οὐκ ἔχω πῶς εἴπω· βαβαῖ, μέγα καὶ τὸ δοῦλον γενέσθαι καὶ σφόδρα ἄρρητον· τὸ δὲ καὶ θάνατον ὑποστῆναι πάλιν πολλῷ πλεόν. ἀλλ' ἔστιν καὶ ἕτερόν τι τούτου μεῖζον καὶ παραδοξότερον. διατί; ὅτι

οὐχ ἅπας θάνατος ὅμοιος· οὗτος γὰρ ὁ πάντων ἐπονειδιστικώτερος εἶναι ἐδόκει· οὗτος ὁ αἰσχύνης γέμων, οὗτος ὁ ἐπάρατος· "ἐπι-"κατάρατος γὰρ," φησὶν, "πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου." διὰ τοῦτο καὶ Ἰουδαῖοι τούτῳ ἐσπούδασαν αὐτὸν ἀνελεῖν, ὥστε καὶ ἐπονείδιστον ἐργάσασθαι· ἵνα εἰ καὶ τῷ ἀναιρεθῆναι μηδεὶς ἀπέχηται αὐτοῦ, ἀλλά γε τῷ οὕτως ἀναιρεθῆναι. διὰ τοῦτο καὶ λῃστὰς δύο μεταξὺ αὐτοῦ ἐσταύρωσαν, ἵνα κοινωνήσῃ τῆς δόξης αὐτοῖς καὶ πληρώθῃ τὸ εἰρημένον, "καὶ μετὰ ἀνόμων ἐλογίσθη·" ἀλλὰ τοσούτῳ μᾶλλον ἡ ἀλήθεια λάμπει· ὅταν γὰρ τοσαῦτα ᾖ μηχανήματα παρὰ τῶν ἐχθρῶν κατὰ τῆς δόξης αὐτοῦ γινόμενα, διαλάμπει δὲ, τοσούτῳ μεῖζον δείκνυται· οὐ γὰρ τῷ ἀποκτεῖναι, ἀλλὰ καὶ τῷ οὕτως ἀποκτεῖναι ᾤοντο βδελυκτὸν αὐτὸν ἐργάσασθαι, καὶ πάντων ἀποφαίνειν βδελυκτότερον· οὕτως δὲ μιαροί τινες ἦσαν ἀμφότεροι οἱ λῃσταί· ὕστερον γὰρ ὁ εἷς μετεβάλετο· ὅτι καὶ ἐν σταυρῷ ὄντες ὠνειδίζον αὐτῷ· καὶ οὔτε τὸ συνειδὸς τῶν ἰδίων ἁμαρτημάτων, οὔτε τὸ ἐν κολάσει εἶναι, οὔτε τὸ καὶ αὐτοὺς τὰ αὐτὰ πάσχειν κατεῖχεν αὐτῶν τὴν μανίαν· ὅπερ οὖν καὶ εἷς τῷ ἑνὶ εἶπεν· "οὐδὲ φοβῇ τὸν Θεὸν σὺ, ὅτι ἐν τῷ αὐτῷ κρίματι "ἐσμέν;" διὸ φησὶν "καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν, καὶ ἐχα-"ρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ἵνα ἐν τῷ ὀνόματι "Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ."

Ὅταν τῆς σαρκὸς ἐπιλάθηται ὁ μακάριος Παῦλος πάντα λοιπὸν τὰ ταπεινὰ μετὰ ἀδείας φθέγγεται· ἕως μὲν γὰρ οὐκ ἔλεγεν ὅτι μορφὴν δούλου ἔλαβεν, ἀλλὰ περὶ τῆς θεότητος διελέγετο· ὅρα πῶς ὑψηλῶς λέγων κατὰ δύναμιν, κατὰ γὰρ τὴν ἀξίαν οὐ φθέγγεται τὴν αὐτοῦ, οὐδὲ γὰρ δύναται· "ἐν μορφῇ," φησὶ, "Θεοῦ ὑπάρχων, οὐκ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ·" ἐπειδὴ δὲ εἶπεν, ὅτι ἐνηνθρώπησε, λοιπὸν ἀδέως τὰ ταπεινὰ φθέγγεται, θαρρῶν ὡς οὐδὲν βλάπτει τὴν θεότητα τὸ ταπεινὰ λέγεσθαι, τῆς σαρκὸς αὐτὰ δεχομένης.

10 Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ
11 ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ πᾶσα
γλῶσσα ἐξομολογήσηται ὅτι Κύριος Ἰησοῦς Χριστὸς
εἰς δόξαν Θεοῦ Πατρός.

Εἴπωμεν πρὸς τοὺς αἱρετικοὺς, εἰ περὶ τοῦ μὴ σαρκωθέντος ταῦτα λέγεται, εἰ περὶ τοῦ Θεοῦ Λόγου, πῶς αὐτὸν ὑπερύψωσεν; ὡς πλέον τί δεδωκώς; οὐκ οὖν ἀτελὴς ἦν. καὶ δι' ἡμᾶς ἐτιμήθη· καὶ εἰ μὴ ἡμᾶς εὐεργέτησεν, οὐκ ἂν ἔτυχε τῆς τιμῆς. "καὶ ἐχα-"ρίσατο αὐτῷ" φησὶν "ὄνομα·" ἰδοὺ οὐδὲ ὄνομα ἔχει καθ' ὑμᾶς· πῶς δὲ εἰ ὀφειλὴν ἔλαβεν, εὑρίσκεται ἐνταῦθα χάριτι καὶ δωρεᾷ λαβὼν καὶ τὸ ὄνομα καὶ τὸ ὑπὲρ πᾶν ὄνομα; ποῖον δὲ ἴδωμεν καὶ τὸ ὄνομα; "ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ "κάμψῃ·" ὄνομα αὐτοὶ τὴν δόξαν λέγουσιν. αὕτη οὖν ἡ δόξα ὑπὲρ πᾶσαν δόξαν ἐστί· δόξα δὲ ὅλως ἐστὶ τὸ προσκυνεῖν αὐτῷ· πόρρω ἀπέχετε τῆς τοῦ Θεοῦ μεγαλειότητος ὑμεῖς, οἱ νομίζοντες εἰδέναι τὸν Θεὸν ὡς αὐτὸς οἶδεν ἑαυτόν· καὶ ἀπὸ τούτου μὲν δῆλον ὅσον ἀπέχετε τῆς ἐννοίας τῆς περὶ Θεοῦ· δῆλον δὲ ἐκ τούτου· αὕτη δόξα ἐστιν εἰπέ μοι; οὐκ οὖν πρὶν ἢ τοὺς ἀνθρώπους γενέσθαι, πρὶν ἢ τοὺς ἀγγέλους, πρὶν ἢ τοὺς ἀρχαγγέλους, οὐκ ἦν ἐν δόξῃ, εἴγε αὕτη ἐστὶ μὴ δόξα ἡ ὑπὲρ πᾶσαν τὴν δόξαν· τοῦτο γὰρ ἐστὶ τὸ ὑπὲρ πᾶν ὄνομα· εἰ καὶ ἐν δόξῃ ἦν, ἀλλ' ἐν ἐλάττονι ταύτης. οὐκ οὖν τὰ ὄντα διὰ τοῦτο ἐποίησεν, ἵνα ἐν δόξῃ γένηται; καὶ οὐκέτι ἀγαθότητι, ἀλλὰ δεόμενος τῆς παρ' ἡμῶν δόξης. ὁρᾶτε τὴν ἄνοιαν; ἂν μὲν οὖν περὶ τοῦ σαρκωθέντος ταῦτα ἔλεγεν, ἔχει λόγον εἰκότα· ἀνέχεται γὰρ ὁ Θεὸς Λόγος περὶ τῆς σαρκὸς ταῦτα λέγεσθαι· οὐ γὰρ τῆς φύσεως ἅπτεται, ἀλλὰ περὶ τὴν οἰκονομίαν τὸ πᾶν ἵσταται.

Τί δέ ἐστιν "ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων;" τουτέστιν ὁ κόσμος πᾶς, καὶ ἄγγελοι καὶ ἄνθρωποι, καὶ δαίμονες· ἢ ὅτι καὶ οἱ δίκαιοι, καὶ οἱ ζῶντες καὶ οἱ ἁμαρτωλοί.

Καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός.

Τουτέστιν ἵνα πάντες τοῦτο εἴπωσι· τοῦτο δὲ δόξα τοῦ Πατρός· ὁρᾷς πανταχοῦ ὅταν ὁ Υἱὸς δοξάζηται, τὸν Πατέρα δοξαζόμενον; οὕτω καὶ ὅταν ἀτιμάζηται ὁ Υἱὸς, ὁ Πατὴρ ἀτιμάζεται. εἰ γὰρ ἐφ' ἡμῶν τοῦτι, ἔνθα πολὺ τοῖς πατράσι πρὸς τοὺς υἱοὺς τὸ μέσον, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ, ἔνθα μέσον οὐδὲν, ἐπ' αὐτὸν διαβαίνει καὶ ἡ τιμὴ καὶ ἡ ὕβρις· ἂν γὰρ ἡ οἰκουμένη

ὑποταγῇ τῷ Υἱῷ, φησὶν, τοῦτο τοῦ Πατρὸς ἐστι δόξα. οὐκ οὖν καὶ ὅταν λέγωμεν ὅτι τέλειός ἐστιν, ἀνενδεὴς, οὐκ ἐλάττων τοῦ Πατρὸς, τοῦτο δόξα τοῦ Πατρὸς, ὅτι τοιοῦτον ἐγέννησε· τοῦτο καὶ τῆς δυνάμεως αὐτοῦ τεκμήριον μέγα καὶ τῆς ἀγαθότητος καὶ τῆς σοφίας· ὅτι οὐδὲν ἐλαττοῦται κατὰ τὴν σοφίαν· ὅταν εἴπω ὅτι σοφός ἐστιν ὁ Πατὴρ, καὶ οὐδὲν ἐλάττων ὁ Υἱὸς, τοῦτο τῆς τοῦ Πατρὸς σοφίας τεκμήριον. ὅταν εἴπω, ὅτι δυνατός ἐστιν ὡς ὁ Πατὴρ, τοῦτο τῆς δυνάμεως αὐτοῦ τεκμήριον. ὅταν εἴπω ὅτι ἀγαθός ἐστιν ὡς ὁ Πατὴρ, τοῦτο δεῖγμα τῆς ἀγαθότητος αὐτοῦ μέγιστον· ὅτι τοιοῦτον ἐγέννησεν οὐδὲν αὐτοῦ ἀποδέοντα. ὅταν εἴπω ὅτι οὐκ ἐλάττονα κατὰ τὴν οὐσίαν, ἀλλ' ἴσον οὐδὲ ἑτέρας οὐσίας· καὶ ἐν τούτῳ πάλιν τὸν Θεὸν θαυμάζω, καὶ τὴν δύναμιν αὐτοῦ καὶ τὴν ἀγαθότητα καὶ τὴν σοφίαν, ὅτι ἄλλον ἡμῖν τοιοῦτον ἔδειξεν ἐξ αὐτοῦ, πλὴν τοῦ Πατέρα εἶναι τὸν Υἱόν. ὥστε ὅσα ἂν εἴπω μεγάλα περὶ τοῦ Υἱοῦ, ταῦτα εἰς τὸν Πατέρα διαβαίνει· εἰ γὰρ τὸ εὐτελὲς τοῦτο καὶ μικρὸν, μικρὸν γάρ ἐστι πρὸς τὴν τοῦ Θεοῦ δόξαν, τὸ τὴν οἰκουμένην αὐτῷ προσκυνῆσαι, εἰς δόξαν Θεοῦ γίνεται· πόσῳ μᾶλλον τὰ ἄλλα πάντα.

(Σευηριανός.) Ἄλλος φησὶν, "καὶ σχήματι εὑρεθεὶς ὡς ἄν-"θρωπος" τὸ "ὡς" οὐχ ὁμοιώσεώς ἐστιν, ἀλλ' ἐπιτάσεως· οἷόν ἐστι· τὸ "ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ." καὶ "ὡς ἀγάπησα "τὸν νόμον σου Κύριε·" ἀντὶ τοῦ πάνυ ἀγάπησα.

(Θεόδωρος.) Καὶ ἄλλος δὲ φησὶν, κένωσιν ἡ θεία γραφὴ φησὶν τὸ μηδέν· ὡς τὸ "κεκένωται ἡ πίστις," ἀντὶ τοῦ οὐδὲν ἀπέφανται· καὶ "κενὸν ἄρα τὸ κήρυγμα ἡμῶν," ἀντὶ τοῦ οὐδὲν καὶ εἰκαῖον· τὸ οὖν "ἑαυτὸν ἐκένωσεν," ἀντὶ τοῦ οὐκ ἔδειξεν ἑαυτόν· μορφὴν γὰρ δούλου λαβὼν τὴν ἀξίαν ἐκείνην ἀπέκρυψεν· τοῦτο τοῖς ὁρῶσιν εἶναι νομιζόμενος, ὅπερ ἐφαίνετο.

12 Ὥστε ἀγαπητοί μου, καθὼς πάντοτε ὑπηκούσατε.

Τὰς παραινέσεις μετὰ ἐγκωμίων δεῖ ποιεῖσθαι· οὕτω γὰρ καὶ εὐπαράδεκτοι γίνονται, ὅταν πρὸς τὸν οἰκεῖον ζῆλον καλῶμεν τοὺς παραινουμένους· οἷον καὶ Παῦλος ἐνταῦθα ἐποίησεν. καὶ θέα πῶς συνετῶς· "ὥστε ἀγαπητοί μου," φησὶν, οὐκ εἶπεν ἁπλῶς ὅτι ὑπακούετε· ἀλλὰ πρότερον ἐπαινέσας, καὶ εἰπὼν "πάντοτε ὑπη-

"κούσατε·" τουτέστιν μιμεῖσθαι παρακαλῶ, οὐχ ἑτέρους ἀλλ' ὑμᾶς αὐτούς.

Μὴ ὡς ἐν τῇ παρουσίᾳ μου μόνον, ἀλλὰ πολλῷ μᾶλλον ἐν τῇ ἀπουσίᾳ μου.

Τότε μὲν ἴσως ἐδοκεῖτε διὰ τὴν εἰς ἐμὲ τιμὴν καὶ τὴν αἰδῶ πάντα ποιεῖν· νυνὶ δὲ οὐκέτι· ἐὰν οὖν δεχθῇ ὅτι νῦν ἐπετείνατε, δείκνυτε ὅτι καὶ τότε οὐ δι' ἐμὲ, ἀλλὰ διὰ τὸν Θεόν.

Μετὰ φόβου καὶ τρόμου τὴν ἑαυτῶν σωτηρίαν κατεργάζεσθε.

Οὐ γὰρ ἔνι τὸν χωρὶς φόβου ζῶντα γενναῖόν τι καὶ θαυμαστὸν ἐπιδείξασθαι. καὶ οὐχ ἁπλῶς εἶπεν φόβου, ἀλλὰ καὶ τρόμου· ὅπερ ἐπίτασίς ἐστι τοῦ φόβου. τοῦτον εἶχεν τὸν φόβον ὁ Παῦλος· διὰ τοῦτο καὶ ἔλεγεν, "φοβοῦμαι μὴ πῶς ἄλλοις κηρύξας, αὐτὸς ἀδό-"κιμος γένωμαι·" εἰ γὰρ τὰ βιωτικὰ κατορθῶσαι φόβου χωρὶς οὐκ ἔνι, πολλῷ μᾶλλον τὰ πνευματικά. καὶ οὐκ εἶπεν ἐργάζεσθε, ἀλλὰ "κατεργάζεσθε·" τουτέστιν μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς ἐπιμελείας.

13 Θεὸς γάρ ἐστιν ὁ ἐνεργῶν ἐν ὑμῖν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν ὑπὲρ τῆς εὐδοκίας.

Μὴ φόβου, φησὶν, ὅτι εἶπον "μετὰ φόβου καὶ τρόμου·" οὐ διὰ τοῦτο εἶπον ἵνα ἀπαγορεύῃς· ἵνα δυσέφικτόν τι εἶναι νομίσῃς τὴν ἀρετὴν, ἀλλ' ἵνα προσέχῃς· ἵνα μὴ διαχέῃς σαυτόν. ἂν τοῦτο ᾖ, ὁ Θεὸς πάντα ἐργάζεται· εἰ τὸ θέλειν ἡμῖν αὐτὸς, φησὶν, ἐνεργεῖ, πῶς ἡμῖν παρακελεύεις; εἰ γὰρ καὶ τὸ θέλειν αὐτὸς ποιήσει, εἰκῇ ἡμῖν λέγεις ὅτι ὑπηκούσατε· Θεοῦ γὰρ τὸ ὅλον ἐστίν. οὐ διὰ τοῦτο εἶπον· αὐτὸς γάρ ἐστιν ὁ ἐνεργῶν καὶ τὸ θέλειν καὶ τὸ ἐνεργεῖν· ἀλλ' ἐκλῦσαι τὴν ἀγωνίαν ὑμῖν βουλόμενος· ἂν θελήσῃς, τότε ἐνεργήσει τὸ θέλειν· μὴ φοβηθῇς, οὐδὲν κάμνεις· καὶ προθυμίαν αὐτὸς ἡμῖν δίδωσι καὶ ἐργασίαν· ὅταν γὰρ θελήσωμεν, αὔξει τὸθ έλειν ἡμῶν λοιπόν. οἷον βούλομαι ἀγαθότητι ἐργάσασθαι· ἐνήργησεν αὐτὸ τὸ ἀγαθόν· ἐνήργησεν δι' αὐτοῦ καὶ τὸ θέλειν. ἢ ἀπὸ πολλῆς εὐλαβείας τοῦτό φησιν· ὥσπερ ὅταν κατορθώματα τὰ ἡμέτερα χαρίσματα εἶναι λέγει· ὥσπερ οὖν λέγων αὐτὰ χαρίσματα, οὐκ ἐξωθεῖ ἡμᾶς τοῦ αὐτεξουσίου, ἀλλ' ἀφίησιν ἐν ἡμῖν τὸ αὐτεξούσιον· οὕτως

ὅταν λέγῃ ἐνεργεῖν ἐν ἡμῖν τὸ θέλειν, οὐκ ἀφαιρεῖται ἡμᾶς τοῦ αὐτεξουσίου, ἀλλὰ δείκνυσιν ὅτι ἀπὸ τοῦ κατορθοῦν πολλὴν εἰς τὸ θέλειν λαμβάνομεν προθυμίαν. ἔδωκας ἐλεημοσύνην, μᾶλλον προετράπης δοῦναι· οὐκ ἔδωκας, μᾶλλον ἐνήργησας· ἐσωφρόνησας μίαν ἡμέραν, ἔχεις προτροπὴν καὶ εἰς τὴν δευτέραν· ἐραθύμησας, ἐπέτεινας τὴν ῥαθυμίαν. "ὑπὲρ τῆς εὐδοκίας" φησὶν, τουτέστιν διὰ τὴν ἀγάπην, διὰ τὴν ἀρέσκειαν αὐτοῦ, ἵνα τὰ δοκοῦντα αὐτῷ γένηται· ἵνα κατὰ τὴν θέλησιν αὐτοῦ γένηται. ἐνταῦθα δείκνυσιν ὅτι πάντως ἐνεργεῖ· θέλει γὰρ ὑμᾶς ὡς αὐτὸς βούλεται, ζῆν. εἰ δὲ βούλεται, πρὸς δὲ τοῦτο αὐτὸς ἐνεργεῖ, καὶ τοῦτο πάντως ἐνεργήσει· θέλει γὰρ ἡμᾶς ὀρθῶς ζῆν· ὁρᾷς πῶς οὐκ ἀφῄρηται τὸ αὐτεξούσιον;

14 Πάντα ποιεῖτε χωρὶς γογγυσμοῦ καὶ διαλογισμῶν.

Τί δή ποτε ἐπὶ μὲν τῶν Κορινθίων τοῦτο τὸ πάθος ἀναιρῶν ἐμνημόνευσε καὶ τῶν Ἰσραηλιτῶν, ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον εἶπεν, ἀλλ' ἁπλῶς ἐπέταξεν; ὅτι ἐκεῖ γενόμενον ἦν τοῦτο· διὸ καὶ σφοδροτέρας ἐδέησεν αὐτῷ τῆς πληγῆς. ἐνταῦθα δὲ ὥστε μὴ γενέσθαι παραινεῖ, καὶ ὡς ἐλευθέροις αὐτοῖς διαλέγεται. τί δέ ἐστι "χωρὶς διαλογισμῶν;" ἀντὶ τοῦ προθύμως καὶ σπουδαίως· μὴ διαλογίζεσθε φησὶν, ἄρα καλὸν, ἄρα οὐ καλόν· κἂν πόνος ᾖ, κἂν κάματος, κἂν ὁτιοῦν.

15 Ἵνα γένησθε ἄμεμπτοι καὶ ἀκέραιοι.

Τουτέστιν ἄληπτοι, εἰλικρινεῖς· οὐ μικρὰν γὰρ προσάγει κηλῖδα ὁ γογγυσμός.

Τέκνα Θεοῦ ἀμώμητα ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης.

Οἶδα, φησὶν, ὅτι πολλοὶ ἀναγκάζουσιν ὑμᾶς γογγύζειν· τοῦτο γὰρ ᾐνίξατο εἰπὼν "ἐν μέσῳ γενεᾶς σκολιᾶς καὶ διεστραμμένης·" ἀλλὰ τοῦτό ἐστι τὸ θαυμαστὸν, τὸ καὶ παρακνιζόμενον μηδὲν πάσχειν τοιοῦτον· καὶ γὰρ οἱ ἀστέρες ἐν νυκτὶ λάμπουσιν, ἐν σκότῳ φαίνουσι, καὶ οὐδὲν εἰς τὸ οἰκεῖον παραβλάπτονται κάλλος, ἀλλὰ καὶ λαμπρότεροι φαίνονται.

16 Ἐν οἷς φαίνεσθε ὡς φωστῆρες ἐν κόσμῳ, λόγον ζωῆς ἐπέχοντες.

Τουτέστιν μέλλοντες ζήσεσθαι τῶν σωζομένων ὄντες. ὁρᾷς πῶς εὐθέως τίθησι τὰ ἔπαθλα; "οἱ φωστῆρες," φησὶν, "λόγον φω-"τὸς ἔχουσιν·" ὑμεῖς λόγον ζωῆς· τί ἐστι "λόγον ζωῆς;" τουτέστιν σπέρμα ζωῆς ἔχοντες· τουτέστιν ἐνέχυρα ζωῆς ἔχοντες· ἄρα οὖν οἱ πολλοὶ πάντες νεκροί· τοῦτο γὰρ ἐδήλωσεν· ἢ γὰρ ἂν καὶ πολλοὶ λόγον ζωῆς ἐπεῖχον.

(Σετηριανός.) Ἄλλος φησὶν, ἀντὶ τοῦ προσέχοντες τῷ λόγῳ τῆς ζωῆς· καὶ τῷ Τιμοθέῳ δὲ γράφει· "ἔπεχε σεαυτῷ·" ἀντὶ τοῦ προσέχε σεαυτῷ.

Εἰς καύχημα ἐμοὶ, εἰς ἡμέραν Χριστοῦ.

Καὶ ἐγὼ κοινωνῶ, φησὶν, τῶν ὑμετέρων ἀγαθῶν· τοσαύτη ὑμῶν ἡ ἀρετὴ, ὡς μὴ ὑμᾶς σώζειν μόνον, ἀλλὰ καὶ ἐμὲ λαμπρὸν ποιεῖν· ποῖον καύχημα, ὦ μακάριε Παῦλε; μαστίζῃ, ὑβρίζῃ, ἐλαύνῃ δι' ἡμᾶς· διὰ τοῦτο φησὶν,

Εἰς ἡμέραν Χριστοῦ, ὅτι οὐκ ἐς κενὸν ἔδραμον, οὐδὲ
17 εἰς κενὸν ἐκοπίασα. ἀλλ' εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ
καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω
18 πᾶσιν ὑμῖν· τὸ δ' αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ
μοι.

"Ἀλλ' εἰ σπένδομαι," φησὶν, οὐκ εἶπεν εἰ καὶ ἀποθνήσκω, ὥσπερ οὐδὲ Τιμοθέῳ γράφων· καὶ γὰρ καὶ ἐκεῖ τῷ αὐτῷ κέχρηται λόγῳ, λέγων· "ἐγὼ γὰρ ἤδη σπένδομαι·" καὶ παραμυθούμενος αὐτοὺς ἐπὶ τῇ οἰκείᾳ τελευτῇ, καὶ κελεύων ἀσμένως φέρειν τὸν ὑπὲρ Χριστοῦ θάνατον· ὥσπερ σπονδὴ καὶ θυσία, φησὶ, γίνομαι. ὢ μακαρίας ψυχῆς· θυσίαν καλεῖ τὴν προσαγωγὴν αὐτήν· πολλῷ γὰρ βέλτιον τοῦ βοῦς προσενεγκεῖν, τὸ ψυχὴν προσενεγκεῖν· ἂν τοίνυν ἐπὶ τῇ προσφορᾷ ταύτῃ καὶ ἐμαυτὸν ἐπιδῶ, φησὶν, ὥσπερ σπονδὴν τὸν θάνατον τὸν ἐμὸν χαίρω· συγχάρητέ μοι καὶ ὑμεῖς χαίροντι ἑαυτῷ.

Ἄλλος φησίν· οὕτω, φησὶν, ἐν μέσῳ τῶν ἀνθρώπων, οἷς περὶ τὰ χείρονα κατάγε τὸ πλεῖστον ἡ σπουδὴ, φανήσεσθε ἄμεμπτοι, καὶ οἵους πρέπει φαίνεσθαι τοὺς ἐν υἱῶν τάξει γεγονότας, ὡς διαλάμπειν ὑμᾶς ἐν αὐτοῖς φωστήρων δίκην κατὰ τὴν ἀρετὴν, ἀπεκδεχομένους τὴν αἰώνιον ζωὴν ἐν τῇ μελλούσῃ ἡμέρᾳ· ἀφ' οὗ δὴ καὶ ἐμοὶ τὸ καυχᾶσθαι ὡς εἰκὸς προσγενήσεται· καὶ δεικνὺς ὡς πολ-

λὴν καὶ αὐτῷ παρέξει τὴν παρρησίαν ἡ ἐν τοῖς βελτίοσιν ἐκείνων προκοπή· "ὅτι οὐκ εἰς κενὸν ἐκοπίασα·" ὑμῶν γάρ, φησὶν, ἐπιμελομένων ἀρετῆς, καὶ αὐτὸς ἐλπίδι τοῦ καὶ ἐπὶ τοῦ μέλλοντος αἰῶνος ἐφ' ὑμῖν εὐφρανθήσεσθαι, εἰδὼς ὅτι οὐ μάτην ὑπὲρ ὑμῶν ἐκοπίασα· ἀλλὰ γὰρ εἰκότως ἅπαντα ὑπομένω, κἂν εἰ τὸν ὑπὲρ ὑμῶν ἑλοίμην θάνατον· ὑμῶν μὲν ὥσπερ τινα θυσίαν τὴν πίστιν τῷ Θεῷ προσκομιζόντων, ἐμοῦ δὲ δίκην σπονδῆς ἐπιχεόντος ὑμῖν τὸ οἰκεῖον αἷμα· καλῶς δὲ "τὸ δ' αὐτὸ καὶ ὑμεῖς·" ἀντὶ τοῦ δίκαιον καὶ ὑμᾶς δι' ὧν πράττετε, κοινωνοῦντάς μοι φαίνεσθαι τῆς χαρᾶς.

ΚΕΦ. Δ.

Περὶ Τιμοθέου καὶ Ἐπαφροδίτου οὓς ἀπέστειλε πρὸς αὐτούς.

19 Ἐλπίζω δὲ ἐν Κυρίῳ Ἰησοῦ, Τιμόθεον ταχέως πέμψαι ὑμῖν, ἵνα κἀγὼ εὐψυχῶ, γνοὺς τὰ περὶ ὑμῶν.

Ὥσπερ ὑμᾶς, φησὶν, ἀνεστησάμην, ταῦτα ἀκούσαντας ἅπερ ηὔχεσθε περὶ ἐμοῦ, ὅτι τὸ εὐαγγέλιον ἐπέδωκεν, ὅτι κατησχύνθησαν ἐκεῖνοι, ὅτι δι' ὧν ἐνόμιζον βλάπτειν, διὰ τούτων ηὔφραναν, οὕτω βούλομαι καὶ τὸ κατ' ὑμᾶς μαθεῖν, "ἵνα κἀγὼ εὐψυχῶ, "γνοὺς τὰ περὶ ὑμῶν·" δείκνυσιν ὅτι χαίρειν ἐκείνους ἔδει ἐπὶ τοῖς δεσμοῖς, καὶ τούτοις κατακολουθεῖν· πολλὴν γὰρ ἔτικτον αὐτῷ τὴν ἡδονήν· τὸ γὰρ "ἵνα κἀγὼ εὐψυχῶ," τουτέστιν ὥσπερ ὑμεῖς· ὅτε γὰρ αὐτὸς οὐκ ἐδύνατο παραγένεσθαι, τοὺς μαθητὰς ἔπεμπε, μὴ καρτερῶν ὀλίγον χρόνον ἀγνοεῖν τὰ κατ' αὐτούς· οὐ γὰρ δὴ τῷ Πνεύματι πάντα ἐμάνθανε· καὶ τοῦτο δὲ εἰκότως ἐγίνετο, ἵνα σπουδαιότεροι γίνοιντο, προσδοκῶντες μὴ λανθάνειν· ἅμα δὲ καὶ τιμᾷ αὐτοὺς Τιμόθεον πέμπων.

20 Οὐδένα γὰρ ἔχω ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει.

Οὐκ ἄν τις εὐκόλως ἕλοιτο, φησὶν, ταύτης ἕνεκεν τῆς αἰτίας ὁδοιπορίαν τοσαύτην ποιήσασθαι· ὁ φιλῶν ὑμᾶς, φησὶν, μετ' ἐμοῦ Τιμόθεός ἐστιν· ἐνῆν μὲν καὶ ἄλλους πέμψαι, ἀλλ' οὐδεὶς τοιοῦτός ἐστιν. ἄρα τοῦτο ἰσοψύχου ἐστὶ, τὸ τοὺς μαθητευομένους ὁμοίως

αὐτῷ φιλεῖν. οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ· τουτέστιν τὴν οἰκείαν ἀνάπαυσιν καὶ τὸ ἐν ἀσφαλείᾳ εἶναι· τοῦτο καὶ Τιμοθέῳ γράφων λέγει. τί δήποτ' οὖν ἀποδύρεται ταῦτα; παιδεύων ἡμᾶς τοὺς ἀκούοντας μὴ ζητεῖν ἄνεσιν· ὁ γὰρ ἄνεσιν ζητῶν, οὐ ζητεῖ τὰ τοῦ Χριστοῦ, ἀλλὰ τὰ ἑαυτοῦ. δεῖ γὰρ παρεσκευάσθαι πρὸς πάντα πόνον.

22 Τὴν δὲ δοκιμὴν αὐτοῦ γινώσκετε, ὅτι ὡς πατρὶ
23 τέκνον, σὺν ἐμοὶ ἐδούλευσεν εἰς τὸ Εὐαγγέλιον. τοῦτον
μὲν οὖν ἐλπίζω πέμψαι, ὡς ἂν ἀπίδω τὰ περὶ ἐμὲ ἐξαυ-
24 τῆς· πέποιθα δὲ ἐν Κυρίῳ, ὅτι καὶ αὐτὸς ἐγὼ τάχεως
25 ἐλεύσομαι πρὸς ὑμᾶς. ἀναγκαῖον δὲ ἡγησάμην Ἐπαφρόδιτον τὸν ἀδελφὸν καὶ συνεργὸν καὶ συστρατιώτην μου.

Παρατίθεται δὲ τὸν Τιμόθεον ἐνταῦθα εἰκότως, ὥστε πολλῆς ἀπολαῦσαι τιμῆς παρ' αὐτῶν· τοῦτο καὶ πρὸς Κορινθίους ἐπιστέλλων ποιεῖ λέγων, "μή τις αὐτοῦ καταφρονήσῃ· τὸ γὰρ "ἔργον Κυρίου ἐργάζεται ὡς καὶ ἐγώ·" οὐκ ἐκείνου κηδόμενος, ἀλλὰ τῶν δεχομένων αὐτόν· "ὡς ἂν ἀπίδω," φησὶ, "τὰ περὶ ἐμὲ "ἐξ αὐτῆς·" τουτέστιν ὅταν ἴδω ἐν τίνι ἕστηκα, καὶ ποῖον ἕξει τέλος τὰ κατ' ἐμέ· οὐ διὰ τοῦτο δὲ αὐτὸν πέμπω, ὡς μὴ ἐλευσόμενος· ἀλλ' ἵνα μηδὲ τὸν ἐν τῷ μεταξὺ χρόνῳ ἐν ἀγνοίᾳ. "πέποιθα "δὲ ἐν Κυρίῳ·" ὅρα πῶς πάντα ἐξαρτᾷ τοῦ Θεοῦ· τουτέστιν ἐὰν Θεὸς βούληται· τῷ δὲ εἰπεῖν αὐτὸν "συστρατιώτην," δεικνύντος ἐστὶν τὴν πολλὴν αὐτοῦ κοινωνίαν ἐν τοῖς κινδύνοις· τὸ γὰρ συστρατιώτην πλέον ἐστὶ τοῦ συνεργόν· ἴσως γάρ τις ἐν ψιλοῖς γράμμασι συνήργησεν, ἀλλ' ἐν πολέμῳ καὶ κινδύνοις οὐκέτι· τῷ δὲ εἰπεῖν "συστρατιώτην," καὶ τοῦτο ἐδήλωσεν.

Ὑμῖν δὲ Ἀπόστολον.

Τουτέστιν ὑμέτερα ὑμῖν χαρίζομαι· ἤτοι τὸν ὑμέτερον ὑμῖν πέμπομεν· ἢ τὸν ὑμᾶς διδάσκοντα.

Καὶ λειτουργὸν τῆς χρείας μου.

Ἵνα εἴπῃ, δι' οὗ μοι τὰ περὶ τὴν χρείαν ἀπετείλατε· πολλὰ δὲ καὶ περὶ τῆς ἀγάπης αὐτοῦ προστίθησι λέγων,

26 Ἐπειδὴ ἐπιποθῶν ἦν πάντας ὑμᾶς ἰδεῖν καὶ ἀδημο-
27 νῶν, διότι ἠκούσατε ὅτι ἠσθένησεν. καὶ γὰρ ἠσθένησεν
παραπλήσιον θανάτου· ἀλλ' ὁ Θεὸς ἠλέησεν αὐτόν·
οὐκ αὐτὸν δὲ μόνον, ἀλλὰ καὶ ἐμὲ ἵνα μὴ λύπην ἐπὶ
λύπῃ σχῶ.

Δείκνυσιν ἐνταῦθα ὅτι καὶ αὐτὸς οἶδε πῶς ἀγαπᾶται παρ' ὑμῶν· οὐ μικρὸν δὲ τοῦτο εἰς τὸ φιλεῖν· ἐπίστασθε πῶς ἠσθένησε, φησὶν, καὶ ἤλγει· διότι ὑγιάνας οὐκ εἶδεν ὑμᾶς, καὶ τῆς λύπης ὑμᾶς ἀπήλλαξεν ἣν εἴχετε διὰ τὴν ἀσθένειαν αὐτοῦ. ἐνταῦθα καὶ ἄλλο κατασκευάζει ὅτι διὰ χρόνου πέμπει πρὸς αὐτοὺς, ἀλλ' οὐ διὰ ῥαθυμίαν· ἀλλὰ τὸν μὲν Τιμόθεον, διὰ τὸ μηδένα ἔχειν, κατεῖχεν· οὐκ εἶχον γὰρ, φησὶν, ἰσόψυχον· τὸν δὲ Ἐπαφρόδιτον διὰ τὴν ἀσθένειαν. εἶτα δεικνὺς ὅτι μακρὰ αὕτη, γέγονε φησὶν, "ἠσθένησε "παραπλήσιον θανάτου." ὁρᾷς ὅσην ὁ Παῦλος ποιεῖται σπουδὴν ὑπὲρ τοῦ πάσης ῥαθυμίας καὶ ὀλιγωρίας πρόφασιν ἐκκόψαι ἐκ τῆς τῶν μαθητῶν διανοίας· καὶ μὴ ὑποπτευθῆναι ὅτι καταφρονῶν αὐτῶν οὐκ ἦλθεν, ὅπερ ὑπερβαλλούσης ἀγάπης ἐστίν· "ὅτι ἠκού-"σατε" φησὶν, "ὅτι ἠσθένησεν· καὶ γὰρ ἠσθένησεν παραπλήσιον "θανάτου·" καὶ ὅτι οὐ προφασίζομαι ἀκούσατε· "ἀλλ' ὁ Θεὸς "αὐτὸν ἠλέησε." τί λέγεις, ὦ αἱρετικὲ, ἐνταῦθα; ἔλεον φασὶν τοῦ Θεοῦ εἶναι· τὸ τὸν μέλλοντα ἀπιέναι κατέχειν καὶ ὑποστρέψαι πάλιν· καὶ μὴν εἰ πονηρὸν ὁ κόσμος, οὐκ ἔλεος τοῦτο ἐστὶ τὸ ἐν τῷ πονηρῷ ἀφιέναι. πρὸς δὲ τὸν Χριστιανὸν ἐροῦμεν λέγοντα ἴσως, εἰ τὸ ἀναλῦσαι σὺν Χριστῷ πολλῷ κρεῖσσον, τίνος ἕνεκεν φησὶν αὐτὸν ἠλεῆσθαι; ἐγὼ δέ σε ἐρήσομαι· τίνος ἕνεκεν αὐτὸς φησὶν ἀναγκαιότερον εἶναι τὸ ἐπιμεῖναι πρὸς ὑμᾶς; ὥσπερ γὰρ αὐτὸ ἀναγκαῖον ἦν· οὕτω καὶ τοῦτο μετὰ πλειόνος πλούτου καὶ μείζονος παρρησίας μέλλοντι πρὸς τὸν Θεὸν ἀπιέναι· τὰ δὲ πολλὰ καὶ κατὰ τὴν κοινὴν συνήθειαν τῶν ἀκουόντων ὁ Παῦλος φθέγγεται, καὶ οὐ πανταχοῦ φιλοσοφεῖ· πρὸς γὰρ ἀνθρώπους κοσμικοὺς ὁ λόγος ἦν αὐτῷ, δεδοικότας ἔτι τὸν θάνατον· ἄλλως δὲ καὶ χωρὶς τούτου καλὸν ἡ παροῦσα ζωή. ἐπεὶ εἰ μὴ καλὸν, διατί ἐν τάξει τιμωρίας τίθησι τοὺς ἀώρους θανάτους, ὡς ὅταν λέγῃ, "διὰ "τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄρρωστοι, κεκοιμῶνται ἱκα-

"νοί." "ἵνα μὴ λύπην" φησὶν "ἐπὶ λύπην σχῶ·" τὴν ἀπὸ τῆς τελευτῆς, ἐπὶ τῇ διὰ τὴν ἀρρωστίαν, γενομένην. * * δείκνυσιν ὅσων τιμᾶται τὸν Ἐπαφρόδιτον.

28 Σπουδαιοτέρως οὖν ἔπεμψα αὐτὸν, ἵνα ἰδόντες αὐτὸν χαρῆτε, κἀγὼ ἀλυπότερος ὦ.

Οὐκ εἶπεν ἄλυπος, ἀλλ' "ἀλυπότερος," δεικνὺς ὅτι οὐδέποτε ἡ ψυχὴ αὐτοῦ λυπῆς ἦν ἐκτός. τοῦτο οὖν φησὶν, ὅτι ταύτην ἀποτίθεναι τὴν ἀθυμίαν—"προσδέχεσθε οὐκ αὐτὸν ἐν Κυρίῳ," ἤτοι σὺν Κυρίῳ· τουτέστιν πνευματικῶς, μετὰ πολλῆς τῆς σπουδῆς· μᾶλλον δὲ τὸ ἐπὶ Κυρίου· τουτέστιν τοῦ Θεοῦ θέλοντος· ἀξίως τῶν ἁγίων ὑποδέξασθε· ὥσπερ τοὺς ἁγίους προσῆκεν, μετὰ ἁπάσης χαρᾶς· καὶ τοὺς τοιούτους ἐντίμους ἔχετε, ὅτι διὰ τὸ ἔργον Κυρίου μέχρι θανάτου ἤγγισε, παραβουλευσάμενος τῇ ψύχῃ, ἵνα πληρώσῃ τὸ ὑμῖν ὑστέρημα τῆς πρὸς ἐμὲ λειτουργίας· οὕτως κοινῇ παρὰ τῆς πόλεως ἦν ἀπεσταλμένος τῆς Φιλιππησίων καὶ διακονήσων Παύλῳ· καὶ ἴσως τί ἀποκομίζων αὐτῷ ἐληλύθει. ὅτι γὰρ καὶ χρήματα ἐκόμισε, δείκνυσι πρὸς τῷ τέλει λέγων, "δεξά-"μενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν." εἰκὸς οὖν αὐτὸν ἐπιστάντα τῇ πόλει Ῥωμαίων, ἐν πολλῷ τὸν Παῦλον κινδύνῳ καταλαβεῖν καὶ σφοδρῷ, ὡς μηδὲ τοὺς πλησιάζοντας αὐτῷ μετὰ ἀσφαλείας δύνασθαι τοῦτο ποιεῖν· ἀλλὰ καὶ αὐτοὺς ἐπισφαλῶς προσιέναι· ὅπερ εἴωθε γίνεσθαι μάλιστα ἐν τοῖς κινδύνοις τοῖς μεγάλοις καὶ ταῖς ὀργαῖς τῶν βασιλέων. ὅταν γάρ τις βασιλεῖ προσκεκρουκὼς εἰς δεσμωτήριον ἐμβληθῇ, καὶ ἐν πολλῇ γένηται φυλακῇ, τότε καὶ τοῖς οἰκέταις ἡ πρόσοδος ἀποτετίχισται· ὅπερ εἰκὸς τὸν Παῦλον τότε πάσχειν· τὸν δὲ Ἐπαφρόδιτον ἄνδρα γενναῖον ὄντα, παντὸς καταφρονῆσαι κινδύνου, ὡς καὶ προσελθεῖν καὶ ὑπηρετήσασθαι, καὶ πάντα πράξαι ἅπερ ἐχρῆν. δύο τοίνυν τίθησιν ἀφ' ὧν ποιεῖ αὐτὸν αἰδέσιμον· ἓν μὲν ὅτι μέχρι θανάτου ἐκινδύνευσεν δι' ἐμὲ φησίν· δεύτερον δὲ ὅτι τὸ πρόσωπον τῶν ἀποστειλάντων περιτιθέμενος, ταῦτα ἔπασχεν, ὡς ἐν τῷ κινδύνῳ ἐκείνου τοῖς πέμψασι λογιεῖσθαι τὸν μισθόν· καὶ οὐκ εἶπεν δι' ἐμὲ, ἀλλ' ἀξιοπιστότερον αὐτὸ ποιεῖ, λέγων "διὰ τὸ ἔργον τοῦ Θεοῦ." οὐδὲ γὰρ δι' ἐμὲ ἐποίει, ἀλλὰ διὰ τὸν Θεόν.

30 Ἵνα ἀναπληρώσῃ τὸ ὑμῖν ὑστέρημα τῆς πρός με
λειτουργίας.

Οὐ παρῆτε ὑμεῖς, φησὶν, ἀλλ' ἐλειτουργήσατέ μοι δι' ἐκείνου πᾶσαν λειτουργίαν τῷ ἐκεῖνον πέμψαι· τὸ οὖν ὑστέρημα τῆς ὑμετέρας λειτουργίας αὐτὸς ἀνεπλήρωσεν.

ΚΕΦ. Ε.

Περὶ πνευματικοῦ βιοῦ τοῦ μὴ ὡς ἐν σαρκὶ, ὅ ἐστι μίμησις θανάτου Χριστοῦ.

1 Τὸ λοιπὸν ἀδελφοί μου, χαίρετε ἐν Κυρίῳ.

Οὐκ ἔχετε λοιπὸν ἀθυμίας ὑπόθεσιν· ἔχετε Ἐπαφρόδιτον δι' ὃν ἠλγεῖτε, ἔχετε Τιμόθεον· ἔρχομαι κἀγώ. τὸ Εὐαγγέλιον ἐπιδίδωσι, τί ὑμῖν λείπει; λοιπὸν χαίρετε. Γαλάτας μὲν οὖν τέκνα καλεῖ· τούτους δὲ ἀδελφούς. ὅταν μὲν γὰρ ἢ διορθοῦσθαί τι βούλεται, ἢ φιλοστοργίαν ἐνδείξασθαι, τέκνα καλεῖ· ὅταν δὲ μετὰ πλείονος τιμῆς διαλέγηται, ἀδελφούς. καλῶς δὲ εἶπεν "ἐν Κυ-"ρίῳ," οὐ κατὰ τὸν κόσμον, οὐκέτι γὰρ χαρῆναι τοῦτο. αἱ θλίψεις αὗται, φησὶν, κατὰ Κύριον ἔχουσι χαράν.

Τὰ αὐτὰ γράφειν ὑμῖν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, ὑμῖν δὲ
2 ἀσφαλές. βλέπετε τοὺς κύνας.

Ὅτε αὐτοὺς πολλὰ ἐπῄνεσε καὶ ἐθαύμασε, τότε εἰσάγει καὶ τὴν παραίνεσιν· καὶ πάλιν δὲ ἐπαινεῖ. δοκεῖ γὰρ οὗτος φορτικώτερος εἶναι ὁ λόγος· ὅθεν αὐτὸν παντόθεν συσκιάζει. τίνας δὲ φησὶν κύνας ἐνταῦθα; ἦσαν τινὲς Ἰουδαῖοι, οὓς ἐν πάσαις ταῖς Ἐπιστολαῖς αἰνίττεται, μιαροὶ καὶ κατάπτυστοι, αἰσχροκερδεῖς καὶ φίλαρχοι, οἳ βουλόμενοι τῶν πιστῶν πολλοὺς παρασπᾶσαι, ἐκήρυττον καὶ τὸν Χριστιανισμὸν καὶ τὸν Ἰουδαϊσμὸν, παραφθείροντες τὸ Εὐαγγέλιον. ἐπεὶ οὖν ἦσαν δυσδιάγνωστοι, διὰ τοῦτο φησὶν "βλέπετε τοὺς κύνας·" οὐκέτι γὰρ τέκνα οἱ Ἰουδαῖοι, ποτὲ ἐθνικοὶ, καὶ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ ἀλλότριοι ἦσαν· οὕτω καὶ οὗτοι γεγόνασι νῦν· καὶ τὸ ἀναιδὲς αὐτῶν καὶ ἰταμὸν παρίστησι, καὶ τὴν πολλὴν πρὸς τὰ τέκνα διάστασιν.

Βλέπετε τοὺς κακοὺς ἐργάτας.

Ἐργάζονται μὲν φησὶν, ἀλλ᾽ ἐπὶ κακῷ, ὃ καὶ ἀργίας πολλῷ χεῖρον ἔργον, ἀνασπῶντες τὰ καλῶς κείμενα.

3 Βλέπετε τὴν κατατομήν· ἡμεῖς γὰρ ἐσμὲν ἡ περιτομή.

"Οἱ πνεύματι Θεῷ λατρεύοντες καὶ οὐκ ἐν σαρκὶ πεποιθότες." σεμνὸν ἦν παρὰ Ἰουδαίοις τὸ τῆς περιτομῆς. ὅπου γε καὶ ὁ νόμος αὐτῇ ὑπεξίστατο, καὶ τὸ σάββατον ἦν εὐτέλεστερον τῆς περιτομῆς. ἵνα μὲν γὰρ περιτομὴ γένηται, ἔλυε τὸ σάββατον· ἵνα δὲ τὸ σάββατον φυλαχθῇ, οὐδέποτε ἐλύετο περιτομή. καὶ θέα τοῦ Θεοῦ τὴν οἰκονομίαν· αὕτη τοῦ σαββάτου αἰδεσιμωτέρα εὑρίσκεται ἔν τισι χρόνοις μὴ παραλειφθεῖσα· ὅταν οὖν αὕτη λύεται, πολλῷ μᾶλλον τὸ σάββατον. διὰ τοῦτο οὐδὲ τοῦ ὀνόματος αὐτῇ μετέδωκεν ὁ Παῦλος· ἀλλὰ τί φησὶν, ἡ περιτομὴ ἐκείνη, νῦν κατατομή ἐστι. διατί; οὐδὲν γὰρ ἄλλο ποιοῦσιν, ἢ τὴν σάρκα κατατέμνουσιν· ὅταν γὰρ μὴ ᾖ νόμιμον τὸ γινόμενον· οὐδὲν ἄλλο ἢ σαρκὸς τομή ἐστι καὶ κατατομή. ἢ διὰ τοῦτο, ἢ ὅτι τὴν ἐκκλησίαν ἐπειρῶντο κατατέμνειν, τοῦτο φησίν· καὶ κατατομὴν δὲ λέγομεν ἐπὶ τῶν εἰκῇ καὶ ἁπλῶς καὶ ἄνευ τέχνης τοῦτο ποιούντων. εἰ γὰρ δεῖ περιτομὴν ζητῆσαι φησὶν, παρ᾽ ἡμῖν ταύτην ἂν εὑρήσατε οἱ πνεύματι Θεῷ λατρεύοντες· τουτέστιν οἱ πνευματικῶς λατρεύοντες. εἰπὲ γάρ μοι· τί βέλτιον, ψυχὴ ἢ σῶμα; οὐκ οὖν καὶ ἡ περιτομὴ ἐκείνη βελτίων· μᾶλλον δὲ οὐκέτι βελτίων, ἀλλ᾽ αὕτη μόνη ἐστὶ περιτομή. ἕως μὲν γὰρ ὁ τύπος εἱστήκει, εἰκότως κατὰ σύγκρισιν προηγεῖτο· "περιτεμνεῖσθε γὰρ," φησὶ, "τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν·" λοιπὸν δὲ καὶ τοῦ ὀνόματος αὐτὴν ἀποστερεῖ. οὕτως καὶ ἐν τῇ πρὸς Ῥωμαίους ἀναιρεῖ αὐτὴν λέγων, "οὐ γὰρ ὁ ἐν τῷ φανερῷ "Ἰουδαῖος ἐστὶν, οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομή· ἀλλ᾽ "ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος· καὶ περιτομὴ καρδίας, οὐ γράμματι, "ἀλλὰ πνεύματι·" καὶ οὐκ εἶπεν, ἐν ἡμῖν γάρ ἐστι περιτομή· ἀλλ᾽ "ἡμεῖς ἐσμὲν" εἰκότως· τοῦτο γάρ ἐστιν ἄνθρωπος, ἡ περιτομὴ ἡ ἐνάρετος· καὶ οὐκ εἶπεν, ἐν ἐκείνοις γάρ ἐστιν ἡ κατατομὴ, ἀλλ᾽ αὐτοὶ λοιπὸν εἰσὶν ἐν ἀπωλείᾳ καὶ κακίᾳ.

(Θεόδωρος.) Ἄλλος δὲ φησὶν, ἐντεῦθεν ἄρχεται τῶν ἐκ περιτομῆς καθάπτεσθαι, οἳ πείθειν αὐτοὺς ἐπειρῶντο κατὰ νόμον ζῆν.

τῷ τὰ αὐτὰ γράφειν, οὐχ ὡς καὶ ἤδη γράψας λέγει· οὐδαμοῦ γὰρ τῆς Ἐπιστολῆς φαίνεται περὶ αὐτῶν εἰπών· ἑτέραν δὲ ὅτι γεγράφηκεν πρὸς αὐτοὺς Ἐπιστολὴν οὐδαμόθεν ἐμάθομεν· ἀλλ' ὡς διαλεχθεὶς αὐτοῖς πολλὰ περὶ τούτων ὅτε παρῆν, τοῦτο λέγει, ὅτι ἐμοὶ περὶ ὧν ὑμῖν διελέχθην, περὶ τῶν αὐτῶν καὶ γράφειν ὄκνος οὐδείς, ἐπειδήπερ ἀσφάλειαν ὑμῖν ἡ συνέχεια παρέχει τῶν ῥημάτων. κύνας δὲ αὐτοὺς καλεῖ, ὡς ἀναισχύντους καὶ πολλάκις ἐλεγχθέντας, ἐφ' οἷς οὐ καλῶς διδάσκουσιν, ἐπιμένοντας δὲ ὅλως. κακοὺς δὲ ἐργάτας, ὡς οὐ τὰ προσήκοντα διδάσκειν ἐσπουδακότας.

3 Οἱ πνεύματι Θεῷ λατρεύοντες καὶ οὐκ ἐν σαρκὶ πεποιθότες.

Οἱ ἀσώματον τῷ Θεῷ τὴν λατρείαν ἀποδιδόντες, ὥσπερ οὖν προσῆκον ἐστὶν, καὶ καυχώμενοι ἐπὶ τῷ Χριστῷ τῷ τούτων ἡμῖν αἰτίῳ γεγονότι, οὐ μὴν ἐν τοῖς περὶ τὴν σάρκα τὴν εὐσέβειαν ὁριζόμενοι.

4 Καίπερ ἐγὼ ἔχω πεποίθησιν ἐν σαρκί.

Τί λέγει ἐνταῦθα πεποίθησιν; καύχημα, σεμνολόγημα· καὶ καλῶς τοῦτο προσέθηκεν· εἰ μὲν γὰρ ἐξ ἐθνῶν ὤν, κατηγόρει τῆς περιτομῆς, (οὐ τῆς περιτομῆς δὲ, ἀλλὰ τῶν ἀκαίρως αὐτὴν μεταχειριζόντων,) ἔδοξεν ἂν ὡς ἀπεστερημένος τῆς τοῦ Ἰουδαϊσμοῦ εὐγενείας, κατατρέχειν αὐτῆς, ὡς οὐκ εἰδὼς τὰ σεμνὰ, οὐδὲ μετεσχηκὼς αὐτῶν· νῦν δὲ ὁ μετασχὼν καὶ κατηγορῶν, οὐ διὰ τοῦτο κατηγορήσει ὡς οὐ μετασχών· οὐ δι' ἄγνοιαν, ἀλλὰ δι' ἐπίγνωσιν μάλιστα.

Εἴ τις δοκεῖ ἄλλος πεποιθέναι ἐν σαρκὶ, ἐγὼ μᾶλλον.

Εἴ τις ἄλλος φησὶν, δεικνὺς τὴν ἀνάγκην· ὅτι δι' ἐκείνους ἔλεγεν· εἰ πεποίθατε, φησὶν, κἀγὼ λέγω, ἐπεὶ σιωπῶ καὶ τὸ ἀνεπαχθὲς τῶν ἐλέγχων τὸ μὴ ὀνομαστὶ τοῦτο ποιεῖν, τοῦτο κἀκείνοις ἐδίδου χώραν ἀναδραμεῖν· "εἴ τις δοκεῖ πεποιθέναι·" καλῶς εἶπεν "δοκεῖ·" ἢ ὡς οὐκ ἔχοντα τοσαύτην πεποίθησιν· ἢ ὡς τῆς πεποιθήσεως ἐκείνης οὐκ ὄντως πεποιθήσεως οὔσης. πάντα γὰρ ἀνάγκης ἦν, οὐ προαιρέσεως. τοῦτο οὖν φησίν· εἰ τὸ ἐπὶ

τούτοις μέγα φρονεῖν ἦν ἀγαθὸν, οὐδενὸς ἐλαττοῦμαι, κατάγε τὴν ἐν τούτοις πλεονεξίαν. "περιτομὴ ὀκταήμερος·" οὐχ ὡς ἐπὶ προσηλύτου ὕστερον γενομένη. "ἐκ γένους Ἰσραὴλ," οὐδὲ προσηλύτων γονέων. "φυλῆς Βενιάμιν." οὐκ ἐκ τῶν δέκα φυλῶν. Ἑβραῖος ἐξ "Ἑβραίων·" ἄνωθεν τῶν εὐδοκίμων Ἰουδαίων· ἐνῆν μὲν τοῦ Ἰσραῆλ, ἀλλ᾽ οὐχ "Ἑβραῖος ἐξ Ἑβραίων·" πολλοὶ γὰρ καὶ διέφθειρον ἤδη τὸ πρᾶγμα, καὶ τῆς γλώσσης ἦσαν ἀμύητοι, ἑτέροις κυκλούμενοι ἔθνεσιν. ἢ τοῦτο οὖν, ἢ τὴν πολλὴν εὐγένειαν δείκνυσιν.

5 Κατὰ νόμον Φαρισαῖος.

Ἔρχεται λοιπὸν καὶ εἰς τὰ τῆς αὐτοῦ προαιρέσεως. ἐκεῖνα γὰρ τὰ προειρημένα ἦν ἀπροαίρετα· ἀλλ᾽ οὐκ ἀρκεῖ τοῦτο· ἔστι γὰρ καὶ Φαρισαῖον εἶναι, καὶ μὴ σφόδρα ζηλωτήν· διὰ τοῦτο προστίθησιν,

6 Κατὰ ζῆλον διώκων τὴν ἐκκλησίαν.

Ἀλλ᾽ ἔστι ῥιψοκίνδυνον εἶναι τινὰ, ἢ φιλαρχίας ἕνεκεν τοῦτο ποιεῖν, ἀλλ᾽ οὐ τῷ νόμῳ ζηλοῦντα, ὅπερ ἐποίουν οἱ ἀρχιερεῖς· ἀλλ᾽ οὐδὲ τοῦτο φησίν.

Κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμπτος.

Εἰ τοίνυν καὶ εὐγενείας ἕνεκεν, καὶ προθυμίας καὶ τρόπου καὶ βίου πάντων ἐκράτουν, τίνος ἕνεκεν τὰ σεμνὰ ἐκεῖνα εἴασα φησὶν, ἀλλ᾽ ἢ διὰ τὸ μείζονα εὑρεῖν τὰ τοῦ Χριστοῦ; καὶ πολλῷ μείζονα· διὸ ἐπήγαγεν,

7 Ἀλλ᾽ ἅτινα ἦν μοι κέρδη, ταῦτα ἥγημαι διὰ Χριστοῦ ζημίαν.

Ἐπιπηδῶσιν ἐνταῦθα αἱρετικοί· καὶ γὰρ καὶ τοῦτο τῆς σοφίας ἐστὶ τοῦ Πνεύματος· ἐλπίδας αὐτοῖς ὑποτίθεσθαι νίκης, ἵνα καταδέξωνται τὴν μάχην. εἰ γὰρ φανερῶς εἴρητο, ὅπερ ἂν ἐποίησαν ἐπὶ τῶν ἄλλων, ἐποίησαν καὶ ἐπὶ τούτων. ἐξήλειψαν τὰ γράμματα, παρῃτήσαντο τὴν γραφὴν, οὐ δυνάμενοι ὅλως ταύτην βλάπτειν· ἀλλ᾽ ὅπερ ἐπὶ τῶν ἰχθύων γίνεται, τὸ δυνάμενον αὐτοὺς ἑλεῖν κρύπτεται ὥστε αὐτοὺς ἐπιδραμεῖν, καὶ οὐ πρόδηλον κεῖται, οὕτω δὴ καὶ ἐνταῦθα. σκύβαλα εἴρηται ὁ νόμος φησίν· ζημία εἴρηται. λέγει οὐκ ἐνῆν Χριστὸν κερδᾶναι, εἰ μὴ νόμον

ἐζημιώθην· ταῦτα πάντα ἐπεσπάσατο τοὺς αἱρετικοὺς δέξασθαι τὸ χωρίον, νομίζοντας ὑπὲρ αὐτῶν εἶναι· ἐπειδὴ δὲ ἐδέξαντο, τότε αὐτοὺς περιέβαλε τοῖς δικτύοις παντόθεν· αὐτὰ γὰρ τὰ εἰρημένα ὑπὲρ τοῦ νόμου ἐστὶ, καὶ πόθεν, ἐκεῖθεν δῆλον.

Προσέχωμεν δὲ ἀκριβῶς τοῖς λεγομένοις. οὐκ εἶπε ζημία ἐστὶν ὁ νόμος, ἀλλ' ἥγημαι αὐτὸν ζημίαν· καὶ ὅτε μὲν περὶ τοῦ κέρδους ἔλεγεν, οὐκ εἶπεν ἥγημαι· ἀλλ' ἦν κέρδος· ὅτε δὲ περὶ ζημίας, εἶπεν ἥγημαι· ἐκεῖνο μὲν γὰρ ἦν φύσει, τοῦτο δὲ γέγονεν ἀπὸ τῆς ἡμετέρας ὑπολήψεως· κέρδος γὰρ ἦν, ἀλλὰ λοιπὸν ζημίαν αὐτὸν ἡγούμεθα· οὐκ ἐπειδὴ ζημία ἐστὶν, ἀλλ' ἐπειδὴ πολλῷ μείζων ἡ χάρις. ὥσπερ ὁ πένης ἐν λιμῷ ὢν, ἕως μὲν ἂν ἔχῃ ἀργύριον, διαφεύγει τὸν λιμόν· ἐπειδὰν δὲ χρυσίον εὕρῃ, καὶ μὴ ἐξῇ ἀμφότερα κατασχεῖν, ζημίαν ἡγεῖται τὸ ἐκεῖνο κατέχειν· καὶ ἀφεὶς αὐτὸ, λαμβάνει τὸ χρυσίον· οὕτω καὶ ἐνταῦθα, οὐκ ἐπειδὴ ζημία τὸ ἀργύριον, οὐ γάρ ἐστιν· ἀλλ' ἐπειδὴ οὐκ ἔνι τὰ δύο ὁμοῦ λαβεῖν, ἀλλὰ ἀνάγκη τὸ ἓν καταλιπεῖν· ζημία οὖν οὐχ ὁ νόμος ἐστίν· ἀλλὰ τὸ τῷ νόμῳ προσκαθήμενον ἀφίστασθαι τοῦ Χριστοῦ. διατί δὲ οὐκ ἀφίησι προσελθεῖν τῷ Χριστῷ ὁ νόμος; καὶ μὴν εἰς τοῦτο ἐδόθη, καὶ πλήρωμα νόμου Χριστός· ἀφίησιν ἐὰν θέλωμεν. τέλος νόμου Χριστός· ὁ τῷ νόμῳ πειθόμενος αὐτὸν ἀφίησι τὸν νόμον; ἀφίησιν ἐὰν προσέχωμεν· οὐχ ἀφίησιν, ἐὰν μὴ προσέχωμεν.

8 *Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι τὰ πάντα ζημίαν διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν.*

Λέγω, φησὶν, τοῦτο περὶ τοῦ νόμου· οὐ καλὸν ὁ κόσμος; οὐχὶ καλὸν ἡ παροῦσα ζωή; ἀλλ' ἐάν με ἀπάγῃ τοῦ Χριστοῦ, ζημίαν ταῦτα τίθεμαι· διατί; "διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ "Χριστοῦ τοῦ Κυρίου μου·" τοῦ γὰρ ἡλίου φανέντος προσκαθῆσθαι τῷ λύχνῳ ζημία· ὥστε ἀπὸ τῆς παραβολῆς ζημία γίνεται, ἀπὸ τοῦ ὑπερέχοντος. ὁρᾷς ὅτι σύγκρισιν ποιεῖται; διὰ τὸ ὑπερέχον φησίν· οὐ διὰ τὸ ἀλλότριον· τὸ γὰρ ὑπερέχον τοῦ ὁμογενοῦς ὑπερέχει· ὥστε ἀφ' ὧν ποιεῖται τὴν κατὰ σύγκρισιν ὑπεροχὴν, ἀπὸ τούτων δείκνυσιν τὴν οἰκείωσιν τῆς γνώσεως.

(Σευηριανοῦ.) Ἄλλος φησὶν, εἰ διὰ τὸν Χριστὸν ζημίαν ἡγεῖται, οὐκ ἦν κακά· ἦν γὰρ κέρδη· καὶ "ἥγημαι" εἶπεν· οὐ γὰρ ἦν ζημία· ἀλλὰ κατὰ παράθεσιν τῆς ὑπερβολῆς τῶν κρειττόνων ἡγεῖται ζημίαν.

(Θεόδωρος.) Καὶ ἄλλος δὲ ὁμοίως φησίν· τὸ "ἦν·" εἰς σύστασιν τοῦ ποτὲ κέρδους ἔχει τὴν περὶ ταῦτα σπουδήν.

Δι' ὃν τὰ πάντα ἐζημιώθην· καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω.

Θεοδώρου[a]. Ἐπειδὴ ἐφύβριστον ἦν τὸ σκύβαλα κάλεσαι τὰ τοῦ νόμου, μάλα ὀξέως ἐπήγαγεν, "ἵνα Χριστὸν κερδήσω·" δεικνὺς ὅτι ἡ παράθεσις ἐκείνων ταῦτα τοιαῦτα εἶναι ποιεῖ· καὶ οὔπω μὲν δῆλον εἰ περὶ τοῦ νόμου φησίν· εἰκὸς γὰρ αὐτὸν περὶ κοσμικῶν πραγμάτων λέγειν· εἰπὼν γὰρ "ἅτινά μοι ἦν κέρδη, "ταῦτα ἥγημαι διὰ τὸν Χριστὸν ζημίαν. ἀλλὰ μενοῦνγε ἡγοῦ"μαι τὰ πάντα ζημίαν εἶναι." καίτοι πάντα εἶπεν. εἰ δὲ βούλει καὶ τὸν νόμον, οὐδὲ οὕτως ὕβρισται· τὸ γὰρ σκύβαλον ἀπὸ τοῦ σίτου ἐστίν· καὶ τὸ ἰσχυρὸν τοῦ σίτου τὸ σκύβαλον ἐστὶν, τὸ ἄχυρον λέγω· ἀλλ' εἰ μὴ τὸ σκύβαλον ἦν, οὐκ ἂν ὁ νόμος ἐγένετο. οὐχ ὁρᾷς πῶς πανταχοῦ οὐκ αὐτὸ ζημίαν τὸ πρᾶγμα καλεῖ, ἀλλὰ διὰ τὸν Χριστόν. ὁρᾷς πῶς ἐπιλαμβάνεται τοῦ ἐρείσματος τοῦ Χριστοῦ πάντοθεν, καὶ οὐκ ἀφίησιν οὐδαμοῦ γυμνωθῆναι τὸν νόμον, οὐδὲ πληγὴν λαβεῖν, ἀλλὰ περιβάλλει πανταχόθεν αὐτόν.

(Σευηριανοῦ.) Καὶ ἄλλος δὲ φησὶν, τὸ σκύβαλον μέρος ἐστὶ καλάμης· ἡ δὲ καλάμη καὶ ὁ στάχυς ποτὲ ἀπὸ σπόρου. τοῦτο οὖν τὸ σκύβαλον ποτὲ χρησιμώτατον εἰς τὸ τεχθῆναι τὸν σπόρον· ὥσπερ γὰρ ἀπὸ σπόρου ῥίζα καὶ καλάμη καὶ στάχυς, οὕτως ἀπὸ τῆς πίστεως τοῦ Ἀβραὰμ ὡσπερεὶ ἀπὸ σπόρου ἡ ἀπὸ τῶν ἐν νόμῳ· καὶ ἡ καλάμη τῶν προφητῶν καὶ ὁ στάχυς ἤδη τὸν Χριστὸν ἐν τῷ κρυπτῷ προκαταγγέλλων· ὁ δὲ τούτων θερισμὸς καὶ ὁ ἀλοητὸς ἐν τῇ πρώτῃ παρουσίᾳ τοῦ Σωτῆρος· "οὗ τὸ πτύον ἐν τῇ χειρὶ "καὶ διακαθαριεῖ τὴν ἅλωνα·" ὅτε λοιπὸν ἐπαύσατο μὲν ἡ καλάμη τοῦ νόμου, ὥσπερ δὲ σκύβαλον ἐχωρίσθη, περιτομὴ, σαββάτων τηρήσις, καὶ τῶν ἄλλων· καὶ καθαρὸς ὁ τῆς πίστεως σῖτος, ὁ ἐναποκεκρυμμένος τῇ προφητικῇ καλάμῃ ἀπετέθη ταῖς

[a] Non Theodori sed Chrys. est Schol.

ἀποθήκαις τοῦ κοινοῦ δεσπότου· τοῦτο οὖν τὸ τοῦ σκυβάλου ὄνομα δείκνυσιν οἰκεῖον τὸν νόμον, καὶ ὥσπερ ἄνευ τοῦ νόμου τὸ τέλειον τῆς χάριτος κατορθωθῆναι.

9 Καὶ εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν δικαιοσύνην τὴν
ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Ἰησοῦ Χριστοῦ.

Τὴν ἐκ Θεοῦ δικαιοσύνην εἰς δικαιοσύνην ἔχων. διὰ τὸ μηδὲν αὐτὴν εἶναι, πρὸς ταύτην τὴν δικαιοσύνην ἔδραμεν· οἱ μὴ ἔχοντες πῶς οὐ πολλῷ μᾶλλον ὀφείλουσι προστρέχειν αὐτῷ; καὶ καλῶς εἶπεν "ἐμὴν δικαιοσύνην·" ἣν ἐκ πόνων καὶ ἱδρώτων ἐκτησάμην, ἀλλὰ τὴν ἀπὸ τῆς χάριτος φησίν. εἰ τοίνυν ὁ κατορθώσας ἀπὸ χάριτος σώζεται, πολλῷ μᾶλλον ὑμεῖς· ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς λέγειν, ὅτι μείζων αὕτη ἡ δικαιοσύνη ἡ διὰ πόνων, δείκνυσιν ὅτι σκύβαλον τοῦτό ἐστι πρὸς ἐκείνην· ποῖα δὲ ἔστιν αὕτη; ἡ ἀπὸ πίστεως τοῦ Θεοῦ. τουτέστιν καὶ αὕτη παρὰ Θεοῦ δέδοται, Θεοῦ ἔστιν αὕτη ἡ δικαιοσύνη, δῶρον ἐστὶν αὕτη ὁλόκληρον· τὰ δὲ τοῦ Θεοῦ δῶρα, πολλῷ τῷ μέτρῳ ὑπερβαίνει τὴν εὐτέλειαν τῶν κατορθωμάτων, τῶν διὰ τὴν ἡμετέραν σπουδὴν γινομένων· ἄρα διὰ πίστεως ἡ γνῶσις, καὶ ταύτης ἄνευ γνῶναι αὐτὸν οὐκ ἔνι. πῶς γάρ; δι᾿ αὕτης δεῖ γνῶναι, φησὶν, τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ. "ποῖος γὰρ λογισμὸς τὴν ἀνάστασιν ἡμῖν παραστήσει; ἀπὸ τῆς πίστεως καὶ ἡ κοινωνία τῶν παθημάτων. εἰ γὰρ μὴ ἐπιστεύομεν ὅτι συνυπομένοντες συμβασιλεύσομεν· οὐδ᾿ ἂν ἐπάθομεν τὰ παθήματα. διὰ τοῦτο ἔλεγεν καὶ "εὑρεθῶ ἐν αὐτῷ μὴ ἔχων ἐμὴν "δικαιοσύνην τὴν ἐκ τοῦ νόμου, ἀλλὰ τὴν διὰ πίστεως Χριστοῦ."

10 Τὴν ἐκ Θεοῦ δικαιοσύνην ἐπὶ τῇ πίστει, τοῦ γνῶναι
αὐτὸν, καὶ τὴν δύναμιν τῆς ἀναστάσεως αὐτοῦ, καὶ τὴν
κοινωνίαν τῶν παθημάτων αὐτοῦ, συμμορφούμενος τῷ
11 θανάτῳ αὐτοῦ, εἰ πῶς καταντήσω εἰς τὴν ἐξανάστασιν
τὴν ἐκ νεκρῶν.

"Συμμορφούμενος" φησὶν, "τῷ θανάτῳ αὐτοῦ·" τουτέστιν κοινωνῶν· καθάπερ γὰρ ἐκεῖνος ὑπὲρ τῶν ἀνθρώπων ἔπαθεν, οὕτως κἀγώ· καὶ ἀλλαχοῦ πάλιν, "ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ "Χριστοῦ ἐν τῇ σαρκί μου·" τουτεστιν οἱ διωγμοὶ καὶ τὰ παθή-

ματα ταῦτα τὴν εἰκόνα δημιουργοῦσιν ἐκείνην τὴν τοῦ θανάτου. διὰ τοῦτο τὴν αὐτὴν ὁδὸν ὁδεύομεν, ἥνπερ ὥδευσεν· τουτέστιν ἀδελφοὶ γινόμενοι αὐτῷ καὶ κατὰ τοῦτο. ὥσπερ γὰρ "ἐν τῷ "βαπτίσματι συνετάφημεν ἐν τῷ ὁμοιώματι τοῦ θανάτου αὐ-"τοῦ·" οὕτως ἐνταῦθα τῷ θανάτῳ αὐτοῦ· ἐκεῖ εἰκότως εἶπεν "ἐν "τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ·" οὐ γὰρ ὅλον τὸν θάνατον ἀπεθάνομεν· οὐ γὰρ σώματι καὶ σαρκὶ ἀπεθάνομεν· ἀλλ' ἁμαρτίᾳ· ἐπεὶ οὖν θάνατος καὶ θάνατος λέγεται, ἀλλ' ἐκεῖνος μὲν ἀπέθανε σώματι, ἡμεῖς δὲ ἁμαρτίᾳ, διὰ τοῦτό φησι "τῷ ὁμοιώματι τοῦ "θανάτου αὐτοῦ·" ἐνταῦθα δὲ οὐκέτι ὁμοιώματι θανάτου, ἀλλ' αὐτῷ τῷ θανάτῳ. Παῦλος *γὰρ ἁμαρτίᾳ οὐκέτι ἀπέθανεν ἐν τοῖς διωγμοῖς· ἀλλ' αὐτῷ τῷ σώματι. ὥστε τὸν αὐτὸν ὑπέμεινε θάνατον· "εἴ πως καταντήσω" φησὶν "εἰς τὴν ἐξανάστασιν τὴν ἐν νε-"κρῶν." τί λέγεις; καὶ μὴν πάντες αὐτῆς τυγχάνουσι· καὶ οὐκ ἀναστάσεως μόνης, ἀλλὰ καὶ τῆς ἀφθαρσίας· οἱ μὲν εἰς τιμήν· οἱ δὲ εἰς ἐφόδιον κολάσεως· πῶς οὖν ὁ μέλλων ἐξαιρέτου τινὸς τυγχάνειν ἔλεγεν, "εἴ πως καταντήσω εἰς τὴν ἐξανάστασιν τὴν ἐκ "νεκρῶν;" τί οὖν ἐστι; δοκεῖ μέγα τί ἐνταῦθα αἰνίττεσθαι· οὕτω γὰρ μέγα ἦν, ὅτι οὐδὲ ἐθάρρησεν ἀποφήνασθαι, ἀλλὰ φησίν· εἴπως ἐπίστευσα εἰς αὐτὸν καὶ τὴν ἀνάστασιν αὐτοῦ· ἀλλὰ καὶ πάσχω δι' αὐτὸν, ἀλλ' οὔπω δύναμαι θαρρῆσαι περὶ τῆς ἀναστάσεως. ποίαν ἀνάστασιν ἐνταῦθα φησίν; τὴν πρὸς αὐτὸν ἄγουσαν τὸν* Χριστόν· *ὅπερ καὶ ἀλλαχοῦ λέγει· "μήπως ἄλλοις κη-"ρύξας, αὐτὸς ἀδόκιμος γένωμαι."*

12 Οὐκ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ Ἰησοῦ.

Οὐχ ὅτι ἤδη ἔλαβον τὸ βραβεῖον. εἰ δὲ ὁ τοσαῦτα παθὼν, εἰ ὁ τὴν νέκρωσιν ἔχων, οὔπω ἐθάρρει περὶ τῆς ἀναστάσεως ἐκείνης, τί ἂν εἴποιμεν ἡμεῖς; τί ἐστιν "εἰ καὶ καταλάβω;" τὴν αὐτοῦ, φησὶν, ἀνάστασιν ἐὰν καταλάβω· τουτέστιν ἐὰν δυνηθῶ τοσαῦτα παθεῖν· ἂν δυνηθῶ μιμήσασθαι αὐτόν· οἷον, πολλὰ ἔπαθεν ὁ Χριστὸς, *ἐνεπτύσθη· ἐρραπίσθη· ἐμαστίχθη· ὕστερον ἔπαθεν, ἅπερ ἔπαθε· τοῦτο στάδιον ἐστί· διὰ τούτων πάντων δεῖ πρὸς τὴν ἀνάστασιν*

αὐτοῦ φθάσαι. ἢ τοῦτο φησίν· ἐὰν καταξιωθῶ τῆς ἀναστάσεως τυχεῖν εὐδοκίμου παρρησίαν ἐχούσης εἰς τὴν ἐξανάστασιν τὴν αὐτοῦ· ἂν γὰρ δυνηθῶ τοὺς ἀγῶνας πάντας ἐνεγκεῖν, καὶ τὴν ἀναστάσιν αὐτοῦ δυνήσομαι σχεῖν, καὶ μετὰ δόξης ἀναστῆναι. οὐδέπω γὰρ ἄξιος εἰμι φησὶν, ἔτι ἐναγώνιός μοι ὁ βίος· ἔτι τοῦ τέλους εἰμὶ πόρρω· ἔτι τῶν [a]βραχέων ἀφέστηκα· ἔτι διώκω. καὶ οὐκ εἶπε τρέχω, ἀλλὰ διώκω. ὁ διώκων, ἴστε μεθ' ὅσου πόνου διώκει· οὐδὲν ὁρᾷ· πάντας μετὰ πολλῆς τῆς ῥώμης τοὺς διακόπτοντας ἀπωθεῖται, καὶ διάνοιαν καὶ ὄμμα, καὶ ἰσχὺν καὶ ψυχὴν καὶ σῶμα συστρέφει· πρὸς ἕτερον μὲν οὐδὲν ὁρῶν, πρὸς δὲ βραβεῖον μόνον. εἶτα δεικνὺς ὅτι ὀφειλὴ τὸ πρᾶγμα ἐστὶ, φησὶν, "ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ "Ἰησοῦ." τῶν ἀπολλυμένων ἤμην, φησίν· ἐπνιγόμην, ἤμελλον ἀπόλλυσθαι· κατέλαβέ με ὁ Θεός. καὶ γὰρ αὐτὸς ἡμᾶς ἐδίωκε φεύγοντας αὐτὸν μετὰ πολλῆς τῆς σπουδῆς. ὥστε πάντα παρίστησι. τὸ γὰρ εἰπεῖν ὅτι "κατελήφθην," ἔδειξε καὶ τοῦ βουλομένου καταλαβεῖν τὴν σπουδὴν, καὶ ἡμῶν τὴν ἀποστροφὴν πολλὴν καὶ τὴν πλάνην, ὅτι αὐτὸν ἐφεύγομεν· ὥστε πολλῆς ἐσμὲν ὀφειλῆς ὑπεύθυνοι.

13 Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὐ λογίζομαι κατειληφέναι.

Οὐδὲν οὕτως κενοῖ κατορθώματα καὶ ἀποφυσᾷ, ὡς ἡ μνήμη τῶν πεπραγμένων ἡμῖν ἀγαθῶν. δύο γὰρ τίκτει· καὶ ῥαθυμοτέρους ἐργάζεται, καὶ εἰς ἀπόνοιαν αἴρει· δι' ὅπερ ὁ Παῦλος ἐπειδὴ οἶδεν ὀξύρροπον τὴν ἡμετέραν φύσιν πρὸς ῥαθυμίαν, καὶ πολλὰ τοὺς Φιλιππησίους ἐπῄνησεν· ὅρα πῶς αὐτῶν καταστέλλει τὸ φρόνημα διὰ πολλῶν μὲν καὶ ἑτέρων ἀνωτέρω, μάλιστα δὲ διὰ τοῦ παρόντος ῥητοῦ. τί λέγων; "ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὐ λογί"ζομαι κατειληφέναι." εἰ δὲ Παῦλος οὐδέπω κατέλαβεν, οὐδ' ἐθάρρει περὶ τῆς ἀναστάσεως, οὐδὲ περὶ τῶν μελλόντων, σχολῇ γ' οὖν ἐκεῖνοι οἱ μηδὲ τὸ πολλοστὸν αὐτοῦ μέρος κατωρθωκότες, τοῦτο ἂν ἔπραξαν. τουτέστιν. οὐδέπω κατειληφέναι τὴν ἀρετὴν πᾶσαν ἡγοῦμαι. εἰ δὲ λέγει ἀλλαχοῦ "τὸν ἀγῶνα τὸν καλὸν ἠγώ"νισμαι" καὶ ἐνταῦθα "οὐδέπω λογίζομαι κατειληφέναι," ἀναγνοὺς τίς ἀκριβῶς, εἴσεται τὴν αἰτίαν καλῶς καὶ ἐκείνων τῶν ῥημάτων·

[a] Leg. βραβείων.

οὐ γὰρ δεῖ συνεχῶς τὰ αὐτὰ στρέφειν. καὶ ὅτι πολλῷ πρότερον ἔλεγεν, ἐκεῖνα δὲ πρὸς τῇ τελευτῇ.

14 ἝΕν δὲ τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἐμπρόσθεν ἐπεκτεινόμενος, κατὰ σκόπον διώκω ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ.

Τοῦτο γὰρ αὐτὸν ποιεῖ τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι, τὸ τῶν ὀπίσω ἐπιλανθάνεσθαι. τοῦτο οὖν ἡμᾶς ἀεὶ δεῖ λογίζεσθαι, κἂν μυρία κατορθώσωμεν ἀγαθά· εἰ γὰρ Παῦλος μετὰ μυρίους θανάτους, τοῦτο ἐλογίζετο, πολλῷ μᾶλλον ἡμεῖς. καὶ οὐκ εἶπεν ὅτι τὰ ὀπίσω οὐκ ἀναλογίζομαι, ἀλλ' οὐδὲ μέμνημαι· "ἐπεκτεινόμενος" φησὶν, πρὶν ἢ παραγενέσθαι, λαβεῖν σπουδάζω· ἐπικλίνων ἑαυτὸν εἰς τὰ ἔμπροσθεν [ἵνα] καὶ τὰς χεῖρας ἐκτείνων, ἵνα καὶ τοῦ δρόμου πλέον ἐργάσηται· οὕτω δεῖ τρέχειν τὸν τρέχοντα μετὰ τοσαύτης προθυμίας, οὐκ ἀναπεπτωκότα· ἄνω κεῖται τὸ βραβεῖον φησίν· ὅρα πόσον διάστημα τοῦτο δεῖ[b] δραμεῖν· ὅρα πόσον τὸ ὕψος· ἐκεῖ δεῖ σταθῆναι τοῖς τοῦ Πνεύματος πτεροῖς· ἑτέρως γὰρ οὐκ ἔνι τὸ ὕψος τοῦτο τεμεῖν· μετὰ τοῦ σώματος ἐκεῖ δεῖ βαδίσαι· ἔξεστι γὰρ ἐν Χριστῷ Ἰησοῦ, φησίν· οὐ γὰρ ἔνι χωρὶς τῆς ἐκείνου ῥοπῆς τοσοῦτο διελθεῖν διάστημα· κάτω μέν σε ἀγωνίζεσθαι ἠβουλήθη, ἄνω δὲ στεφανοῖ. οὐχ ὁρᾶτε καὶ ἐνταῦθα, ὅτι τοὺς μάλιστα τιμωμένους καὶ τῶν ἀθλητῶν καὶ τῶν ἡνιόχων οὐ στεφανοῦσιν, ἐν τῷ σταδίῳ κάτω, ἀλλ' ἄνω καλέσας ὁ βασιλεὺς, οὕτως στεφανοῖ; οὕτως καὶ ἐνταῦθα· εἰς τὸν οὐρανὸν λαμβάνεις τὸ βραβεῖον.

Σευηριανὸς δὲ ὁμοίως φησὶν, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος οὐχ ὡς κακὰ, ἀλλ' ὃ λέγει τοιοῦτόν ἐστιν. οὐχ ἀσχολοῦμαι εἰς τὸ ἀναμιμνήσκεσθαι τοὺς ἀγῶνάς μου τοὺς παρελθόντας, ἀλλ' εἰς τὸ μεριμνᾶν τί κατορθώσω εἰς τὰ ἑξῆς.

(Θεόδωρος.) Ταύτην δὲ τὴν ἐξήγησιν Θεόδωρος οὐ προσιέται· βούλεται γὰρ ἀπὸ τοῦ τὰ αὐτὰ γράφειν ὑμῖν, ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, δι' ὅλου περὶ τοῦ μὴ δεῖν πείθεσθαι τοῖς κατὰ νόμον ἡμῖν αὐτοῖς βουλομένοις διαλέγεσθαι· τοῦτο γάρ ἐστιν ὅ φησι γεγενῆσθαι· ἐμαυτὸν ἐν τῇ ἀληθινῇ τελειότητι οὐκ ἀποφαίνομαι· οὐδέπω

[b] Cod. δὲ.

γὰρ ἐν ἀπολαύσει τῶν προσδοκωμένων κατέστημεν· ἀλλ' ὅμως εἰδὼς ἐκείνων τὸ μέγεθος, τῶν μὲν παλαιῶν ἁπάντων οὐδένα ποιοῦμαι λόγον· πρὸς δὲ τὰ μέλλοντα ἐμαυτοῦ λογισμὸν ἐκτείνων, ἕνα σκοπὸν ἔχω, πρὸς ὃν ἀφορῶν, ἅπαντα πράττω, ὅπως ἂν τύχοιμι τῶν προκειμένων ἡμῖν ἐπάθλων εἰς τὴν ἄνω κλῆσιν· ἵνα εἴπῃ τὴν ἐν τοῖς οὐρανοῖς δίαιταν, ἧς ἐπὶ τὸ τυχεῖν κεκλήμεθα πάντες.

15 Ὅσοι οὖν τέλειοι τοῦτο φρονῶμεν.

Ποῖον; τὸ ὅτι δεῖ τῶν ἔμπροσθεν ἐπιλανθάνεσθαι· ὥστε τελείου τὸ μὴ νομίζειν ἑαυτὸν τέλειον εἶναι· τοῦτο γάρ ἐστι τελειότης· ὡς ὅ γε νομίζων τὸ πᾶν κατειληφέναι, οὐδὲν ἔχει.

Καὶ εἴ τι ἑτέρως φρονεῖτε, καὶ τοῦτο ὁ Θεὸς ὑμῖν ἀποκαλύψει.

Τουτέστιν, εἰ δέ τις νομίζει τὸ πᾶν κατορθωκέναι, ἀσφαλιζέτω ἑαυτόν· ἀλλ' οὐκ εἶπεν οὕτως· ἀλλ' ὅρα πῶς συνεσταλμένως τοῦτο φησίν· ὁ Θεὸς ὑμᾶς διδάξει, τουτέστιν ὁ Θεὸς ὑμᾶς πείσει, οὐχὶ διδάξει· ἐδίδασκεν γὰρ ὁ Παῦλος, ἀλλ' ἐνάξει ὁ Θεός· ἀλλ' οὐκ εἶπεν ἐνάξει ἀλλ' "ἀποκάλυψει" ἵνα δόξῃ μᾶλλον ἀγνοίας εἶναι τὸ πρᾶγμα. οὐ περὶ δογμάτων ταῦτα εἴρηται, ἀλλὰ βίου τελειότητος, καὶ τοῦ μὴ νομίζειν ἑαυτοὺς τελείους εἶναι.

Ἄλλος δέ φησιν, εἰ καὶ μὴ ἴσμεν ἀκριβῶς τὰ μέλλοντα ὁποῖα καθέστηκεν, ἀλλ' ἐπὶ τῶν πραγμάτων αὐτὰ ἡμῖν δείξει ὁ Θεός.

16 Πλὴν εἰς ὃ ἐφθάσαμεν, τῷ αὐτῷ στοιχεῖν κανόνι, τὸ αὐτὸ φρονεῖν.

Τέως φησὶν, ἐν οἷς ἐσμὲν καὶ ἐν οἷς ἐκλήθημεν ἐπιμένειν ὀφείλομεν, σύμφωνον τὴν περὶ αὐτὰ διάθεσιν ἐπιδεικνύμενοι, καὶ μὴ ἐξιστάμενοι τῆς τῶν μελλόντων προσδοκίας καὶ τοῦ κατ' ἐκεῖνα τὸν ἑαυτῶν ῥυθμίζειν βίον.

(Χρυσοστόμου.) Ἄλλος δέ φησιν· τοῦτο βούλεται εἰπεῖν κυρίως, ὃ κατορθώσαμεν, κατέχωμεν· τὸ τῆς ἀγάπης, τὸ τῆς ὁμονοίας, τὸ τῆς εἰρήνης· τοῦτο ἡμῖν κατώρθωται. "τῷ αὐτῷ "στοιχεῖν κανόνι" τὸ αὐτὸ φρονεῖν· κανόνι βούλεται εἶναι τὰ παραγγέλματα. ὁ κανὼν οὔτε πρόσθεσιν οὔτε ἀφαίρεσιν δέχε-

ται· ἐπεὶ τὸ κανὼν εἶναι ἀπόλλυσι· τουτέστιν, τῷ αὐτῷ ὅρῳ, τῇ αὐτῇ πίστει.

17 Μιμηταί μου γίνεσθε, ἀδελφοί, καὶ σκοπεῖτε τοὺς οὕτως περιπατοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς.

Εἴ τις ἡμᾶς βούλεται μιμεῖσθαι φησὶν, εἴ τις τὴν αὐτὴν βαδίζειν ὁδὸν, ἐκείνους προσέχετε, εἰ καὶ ἐγὼ μὴ πάρειμι· ἀλλ' ἴστε τῆς ἐμῆς βαδίσεως τὸν τρόπον· τουτέστιν τῆς ἀναστροφῆς τοῦ βίου. οὐ γὰρ διὰ ῥημάτων μόνην ἐδίδασκον, ἀλλὰ καὶ διὰ πραγμάτων.

(Θεόδωρος.) Ἄλλος φησίν· ἀντὶ τοῦ μὴ ὑπὸ νόμον ζῶντες, ἀλλ' ὁμοίως ἐμοί. "καὶ σκοπεῖτε" φησὶν "τοὺς οὕτω περιπα-"τοῦντας, καθὼς ἔχετε τύπον ἡμᾶς·" καὶ καθόλου φησὶν, πρὸς τοὺς οὕτω ζῶντας ἀφορᾶτε, κἀκείνους μιμεῖσθε.

18 Πολλοὶ γὰρ περιπατοῦσιν, οὓς πολλάκις ἔλεγον ὑμῖν, νῦν δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ, ὧν τὸ τέλος ἀπώλεια.

Οὐδὲν οὕτως ἀλλότριον καὶ ἀνάρμοστον Χριστιανοῦ, ὡς ἄνεσιν καὶ ἀνάπαυσιν ζητεῖν, καὶ τὸ τῷ παρόντι προστετηκέναι βίῳ, τῆς ἐπαγγελίας ἀλλότριον· ὁ δεσπότης σου ἐσταυρώθη, καὶ ἄνεσιν ζητεῖς; ὁ δεσπότης σου προσηλώθη, καὶ σὺ τρυφᾷς; καὶ ποῦ ταῦτα στρατιώτου γενναίου; διὰ τοῦτο ὁ Παῦλος φησίν· "νυνὶ "δὲ καὶ κλαίων λέγω, τοὺς ἐχθροὺς τοῦ σταυροῦ τοῦ Χριστοῦ." ἐπειδὴ τινὲς ἦσαν ὑποκρινόμενοι τὸν Χριστιανισμὸν, ἐν ἀνέσει δὲ ὄντες καὶ τρυφῇ, τοῦτο δὲ ἐναντίον τῷ σταυρῷ, διὰ τοῦτο ἔλεγεν ταῦτα. οἶδεν σταυρὸν ὁ Χριστὸς τὰ πάθη λέγειν, ὡς ὅταν λέγῃ· "ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι·" τουτέστιν ἐὰν μή τις ᾖ παρεσκευασμένος πρὸς θάνατον· οὗτοι δὲ φιλόζωοι καὶ φιλοσώματοι ὄντες, ἔχθροι τοῦ σταυροῦ τυγχάνουσιν· δακρύων οὖν οἱ τοιοῦτοι ἄξιοι.

Ἄλλος δὲ φησὶν, τί γὰρ ἕτερον εἴη ἂν καὶ ὑπολαβεῖν ἐπὶ τῶν ἐναντιουμένων τῷ Χριστῷ καὶ ἐλαττούντων τὰ περὶ αὐτῶν τῇ περὶ τὰ νόμιμα σπουδῇ;

19 Ὧν τὸ Θεὸς ἡ κοιλία.

Τόδε φάγε, καὶ τόδε μὴ φάγῃς· καὶ περὶ τοῦτο ἑαυτοὺς ἀσχολοῦντες ὥσπερ Θεῷ τῇ κοιλίᾳ προσέχοντες· καὶ τὸ εὐσεβεῖν ἐν τῷ τάδε αὐτῇ προσκομίζειν ἢ μὴ τάδε τιθέμενοι· ἢ καὶ οὕτως· "φάγωμεν καὶ πίωμεν·" ὁρᾷς ὅσον ἡ τρυφὴ κακόν; τοῖς μὲν τὰ χρήματα, τοῖς δὲ ἡ κοιλία Θεός· οὐχὶ εἰδωλολάτραι καὶ οὗτοι, καὶ ἐκείνων χείρους;

Καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν.

Ἀλλὰ τί ἐφ' οἷς δεῖ ἐγκαλύπτεσθαι ἐπὶ τούτοις σεμνύνονται· δεινὸν μὲν γὰρ τὸ αἰσχρὰ πράττειν· τὸ δὲ πράττοντα αἰσχύνεσθαι, ἐξ ἡμισείας ἔστι δεινόν· ὅταν μέντοι τίς καὶ ἐγκαλωπίζηται, ὑπερβολὴ ἀναισθησίας.

(Θεόδωρος,) Ἄλλος δὲ οὕτως. μέγα φησὶν, νομίζουσι τὸ μὴ τάδε φαγεῖν, ἀλλὰ τάδε· οὐκ ἐννοοῦντες ὅτι κόπρος γίνεται ὅπερ ἂν φάγωσιν, ἣν καὶ ὁρᾶν αἰσχύνονται· ἰδοὺ τῆς σπουδῆς αὐτῶν τὸ τέλος.

Οἱ τὰ ἐπίγεια φρονοῦντες.

Χρυσοστόμου. Οἱ γὰρ μηδὲν πνευματικὸν φρονοῦντες, ἀλλ' ἐνταῦθα πάντα κεκτημένοι, καὶ ταῦτα φρονοῦντες, εἰκότως τὴν κοιλίαν Θεὸν ἔχουσι, λέγοντες, "φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ "ἀποθνήσκομεν."

20 Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει.

Μὴ τοίνυν ἐνταῦθα ζητῶμεν ἄνεσιν· ἐκεῖ ἐσμὲν λαμπροὶ, ἔνθα καὶ πολιτευόμεθα.

Ἐξ οὗ καὶ Σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν
21 Χριστόν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώ-
σεως.

Σώματι τῆς δόξης αὐτοῦ κατὰ μικρὸν ἀνήγαγεν ἡμᾶς ἀπ' οὐρανοῦ, φησὶν, ὁ ἡμέτερος Σωτήρ· ἀπὸ τοῦ τόπου, ἀπὸ τοῦ προσώπου τὸ σεμνὸν δεικνύς· πολλὰ φησὶν πάσχει τὸ σῶμα, δεσμεῖται, μαστίζεται, μυρία πάσχει δεινά. ἀλλὰ καὶ τὸ τοῦ Χριστοῦ τοσαῦτα ἔπαθεν· τοῦτο γοῦν ᾐνίξατο εἰπὼν, "εἰς τὸ "γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ." ἄρα τὸ αὐτὸ μέν ἐστιν· ἐνδύσεται δὲ ἀφθαρσίαν, μετασχηματίσει

ἄρα· καὶ τὸ σχῆμα ἕτερον, ἢ τὴν μεταβολὴν οὕτω καταχρηστικῶς ἐκάλεσεν· "σῶμα δὲ ταπεινώσεως" ἡμῶν εἶπεν, ὅτι τεταπείνωται. νῦν τῇ φθορᾷ ἐστὶν ὑπεύθυνον, τῇ ἀλγηδόνι. δοκεῖ εὐτελὲς εἶναι, καὶ οὐδὲν τῶν λοιπῶν ἔχειν πλέον. "εἰς τὸ γενέσθαι αὐτὸ," φησὶν, "σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ." βαβαῖ, ἐκείνῳ τῷ καθημένῳ ἐν δεξιᾷ τοῦ Πατέρος, σύμμορφον τοῦτο τὸ σῶμα γίνεται; ἐκείνῳ τῷ προσκυνουμένῳ· ᾧ παρεστήκασιν καὶ ἀσώματοι δυνάμεις; εἶτα ἵνα μὴ ἀπιστήσῃς, καὶ λογισμὸν ἐπάγαγεν.

Κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα.

Δύναμιν ἔχει, φησὶν, ὥστε πάντα ὑποτάξαι· οὐκοῦν καὶ τὴν φθορὰν καὶ τὸν θάνατον. μᾶλλον δὲ ἀπὸ τῆς αὐτῆς δυνάμεως καὶ τοῦτο ποιεῖ· ποίας γὰρ δυνάμεως μεῖζον ἐστὶν δαίμονας καὶ Ἀγγέλους καὶ Χερουβὶμ καὶ Σεραφὶμ ὑποτάξαι, ἢ σῶμα ποιῆσαι ἄφθαρτον; πολλῷ δὴ μᾶλλον τοῦτο ἐκείνου. καὶ οἱ ἄλλοι ὁμοίως.

ΚΕΦ. ϛ.

Παραίνεσις ἴδιαι τινῶν καὶ κοιναὶ πάντων.

1 Ὥστε ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στεφανός μοι, οὕτως στήκετε ἐν Κυρίῳ.

Οὕτω· πῶς; ἀκλινεῖς. ὅρα πῶς μετὰ τὴν παραίνεσιν τὰ ἐγκώμια. "χαρὰ καὶ στεφανός μου·" τί ταύτης τῆς ἀρετῆς ἴσον; ὅταν Παύλου στέφανος ὦσιν.

Οὕτως στήκετε ἐν Κυρίῳ ἀγαπητοί.

Τουτέστιν "ἐν τῇ ἐλπίδι τοῦ Θεοῦ."

2 Εὐοδίαν παρακαλῶ, καὶ Συντύχην παρακαλῶ, τὸ αὐτὸ φρονεῖν ἐν Κυρίῳ. καὶ ἐρωτῶ καὶ σὲ σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵ τινες ἐν τῷ εὐαγγελίῳ συνήθλησάν μοι· μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συνεργῶν μου· ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς.

ὁρᾷς ὅσην αὐτοῖς ἀρετὴν μαρτυρεῖ· ὅπερ τοῖς Ἀποστόλοις εἶπεν ὁ Χριστὸς, "μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν ἐγγέγραπται ἐν βίβλῳ ζωῖς." δοκοῦσι δέ μοι αὗται αἱ γυναῖκες κεφάλαιον εἶναι τῆς Ἐκκλησίας τῆς ἐκεῖ· καὶ παρατίθεται αὐτὰς ἀνδρί τινὶ ἴσως θαυμαστῷ, καὶ ὃν σύζυγον καλεῖ· ᾧ ἴσως εἰώθει παρατίθεσθαι ὡς συνεργῷ καὶ συστρατιώτῃ καὶ κοινωνῷ καὶ ἀδελφῷ· ὅπερ καὶ ἐν τῇ πρὸς Ῥωμαίους ποιεῖ λέγων, "συνίστημι ὑμῖν Φοίβην τὴν ἀδελφὴν ὑμῶν, διάκονον "οὖσαν τῆς Ἐκκλησίας τῆς ἐν Κεγχρέαις·" ἢ ἀδελφὸν τινὰ αὐτῶν, ἢ ἄνδρα αὐτῆς· ὡς ἂν εἰ ἔλεγεν, νῦν ἀδελφὸς εἶ γνήσιος. τινὲς δέ φασιν ὄνομα εἶναι κύριον τὸ Σύζυγε· καὶ εἴτε τοῦτο, εἴτε ἐκεῖνο, οὐ σφόδρα ἀκριβολογεῖσθαι δεῖ· ἀλλ' ὅτι καὶ αὗται οὐ μικρὸν συνεβάλοντο μέρος ἐν τῷ εὐαγγελίῳ, καίτοι πολλῶν ὄντων τῶν συνεργούντων.

(Θεόδωρος.) Ἄλλος δὲ φησὶν, δῆλον ὅτι καὶ αὗται πρὸς ἀλλήλας ἐστασιάζον, περὶ πρωτείων ἐρίζουσαι· ἐνάρετοι οὖσαι, καὶ ὡς εἰκὸς εἰς τὴν περὶ τῶν τοιούτων ἔριδα καταπίπτουσαι· δῆλον δὲ ὡς οὐ γυναῖκα ἑαυτοῦ λέγει τὸ "σύζυγε," ὥς τινες οἴονται, ἐπεὶ περιττὸν ἦν τὸ γνήσιε· ὃ ἀνδρὶ μὲν ἁρμόττει, γυναικὶ δὲ οὐκέτι· δέον αὐτοὺς κἀκεῖνο ἐννοῆσαι, ὅτι σύζυγον ἡ θεία γραφὴ οὐδαμοῦ τὸν γάμῳ συνημμένον λέγει, ἀλλὰ τὸν ὑπὸ τὴν αὐτὴν πίστιν. τινὲς δὲ Εὐοδίαν φασὶν εἶναι τὴν γυναῖκα τοῦ δεσμοφύλακος, Συντύχην δὲ τὸν ἄνδρα.

4 Χαίρετε ἐν Κυρίῳ πάντοτε· πάλιν ἐρῶ, χαίρετε.

"Μακάριοι οἱ πενθοῦντες καὶ οὐαὶ τοῖς γελῶσιν," εἶπεν ὁ Κύριος· τί οὖν νῦν φησὶν ὁ Παῦλος; τὸν γέλωτα τοῦ κόσμου τούτου τὸν ἐπὶ τοῖς παροῦσι γινόμενον πράγμασιν, ἐταλάνισεν ὁ Χριστὸς, καὶ τοὺς πενθοῦντας ἐμακάρισεν, οὐ τοὺς ἁπλῶς ἐπὶ ταῖς τῶν οἰκείων ἀποβολαῖς, ἀλλὰ τοὺς κατανενυγμένους καὶ τὰ οἰκεῖα πενθοῦντας κακὰ, καὶ τὰ ἑαυτῶν ἁμαρτήματα ἀναλογιζομένους, ἢ καὶ τὰ ἀλλότρια· οὐκ ἔστιν δὲ αὕτη ἡ χαρὰ ἐναντία τῷ πένθει ἐκείνῳ· ἀλλὰ γὰρ ἀπ' ἐκείνου τοῦ πένθους, καὶ αὕτη τίκτεται. ὁ γὰρ πενθῶν τὰ ἑαυτοῦ κακὰ, καὶ ἐξομολογούμενος χαίρει· ἄλλως τε, ἔνεστι πενθεῖν ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων,

χαίρειν δὲ ἐπὶ τῷ Κυρίῳ· καλῶς δὲ ἐδιπλασιάσεν· ἐπειδὴ γὰρ τῶν πραγμάτων ἡ φύσις λύπην ἔτικτεν, διὰ τοῦτο διπλασιασμοῦ δείκνυσιν ὅτι πάντως δεῖ χαίρειν.

5 Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ
6 Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε.

Ὑμεῖς, φησὶν, ἐν θλίψει, ἐκεῖνοι δὲ ἐν τρυφαῖς· ἀλλ' ἤδη ταῦτα λήψεται τέλος· ἀλλ' ἐπιβουλεύουσι καὶ ἀπειλοῦσι; μηδὲν μεριμνᾶτε· ἤδη ἐφέστηκεν ἡ κρίσις, ὅταν ταναντία ἔσται, ἂν ἐπιεικῶς προσενεχθῆτε τοῖς τὰ δεινὰ ὑμᾶς διατιθεῖσιν.

Ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν.

"Ἐν παντὶ" φησὶν, ὥστε ὑπερ ἁπάντων εὐχαριστεῖν δεῖ, καὶ τῶν δοκούντων εἶναι λυπηρῶν· τοῦτο γὰρ ὄντως εὐχαρίστου· ἐκεῖνο γὰρ ἡ φύσις τῶν πραγμάτων ἀπαιτει· τοῦτο δὲ ἀπὸ ψυχῆς γίνεται εὐγνώμονος, καὶ σφόδρα διακειμένης περὶ τὸν Θεόν· ταύτας ἐπιγινώσκει τὰς εὐχὰς ὁ Θεὸς, τὰς δὲ ἄλλας οὐκ οἶδεν.

7 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ, ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ.

Τί ἐστι τοῦτο; ἡ εἰρήνη τοῦ Θεοῦ ἣν πρὸς ἀνθρώπους εἰργάσατο· πάντα οὖν ὑπερέχει· τίς γὰρ ἂν προσεδόκησε, τίς ἂν ἤλπισε τοσαῦτα ἔσεσθαι ἀγαθά; πᾶσαν ἀνθρωπίνην ὑπερβαίνει διάνοιαν, οὐχὶ λόγων μόνον· ὑπὲρ τῶν ἐχθρῶν, ὑπὲρ τῶν μισούντων αὐτὸν τὸν Υἱὸν ἐκδοῦναι οὐ παρῃτήσατο, ὥστε εἰρήνην ποιῆσαι πρὸς ἡμᾶς· αὕτη δὴ οὖν ἡ εἰρήνη, τουτέστιν ἡ καταλλαγὴ, ἡ ἀγάπη τοῦ Θεοῦ φρουρήσει τὰς καρδίας ὑμῶν· τοῦτο γὰρ διδασκάλου, μὴ μόνον παραινεῖν, ἀλλὰ καὶ ὑπερεύχεσθαι, καὶ διὰ δεήσεως βοηθεῖν· ὥστε μήτε ὑπὸ πειρασμῶν βαπτίζεσθαι, μήτε ὑπὸ ἀπάτης περιφερέσθαι. τί ἐστιν ἐν Χριστῷ Ἰησοῦ; ἐν αὐτῷ φυλάξει ὥστε μένειν, καὶ μὴ ἐκπεσεῖν αὐτοῦ τῆς πίστεως. ἢ τοῦτο φησίν· ἤγουν ἡ εἰρήνη ἐκείνη ἣν φησὶν ὁ Χριστὸς "εἰρήνην "ἀφίημι ὑμῖν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν·" αὕτη φρουρήσει ὑμᾶς. ἡ γὰρ εἰρήνη ὑπερέχει πάντα νοῦν ἀνθρώπινον.

8 Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ,
ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα,
εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ
9 καὶ ἐμάθετε καὶ παρελάβετε καὶ ἠκούσατε καὶ ἴδετε ἐν
ἐμοί.

Τί ἐστι τὸ λοιπόν; ἀντὶ τοῦ πάντα ἡμῖν εἴρηται· ἐπειγομένου τὸ ῥῆμά ἐστι, καὶ οὐδὲν κοινὸν ἔχοντος πρὸς τὰ παρόντα. τί ἐστιν "ὅσα προσφιλῆ;" προσφιλῆ τοῖς πιστοῖς, προσφιλῆ τῷ Θεῷ· "ὅσα "ἀληθῆ;" ταῦτα γὰρ ὄντως ἀληθῆ· ψεῦδος δὲ ἡ κακία· καὶ γὰρ ἡ ἡδονὴ αὐτῆς καὶ ἡ δόξα αὐτῆς ψεῦδος· "ὅσα σεμνά;" πρὸς τὸ τὰ ἐπίγεια φρονοῦντας. "ὅσα ἁγνά;" περὶ τὸ ὢν ὁ Θεὸς ἡ κοιλία· "ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος;" ἐνταῦθα βούλεται αὐτοὺς καὶ τῶν πρὸς ἀνθρώπους προνοεῖν. ταῦτα λογίζεσθε φησίν· ὁρᾷς ὅτι βούλεται καὶ πᾶσαν ἔννοιαν ἐξορίσαι πονηρὰν ἀπὸ τῶν ἡμετέρων ψυχῶν; ἀπὸ γὰρ ἐννοιῶν αἱ πράξεις ἐγένοντο· "ἃ καὶ ἐμάθετε καὶ παρελάβετε·" τοῦτο διδασκαλία, ἐν πάσαις ταῖς παραινέσεσιν ἑαυτὸν παρέχειν τύπον· τουτέστιν ἐδιδάχθητε "καὶ ἠκούσατε καὶ ἴδετε ἐν ἐμοί·" ἀντὶ τοῦ καὶ διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ὑμᾶς ἐνήγαγον.

Ταῦτα πράσσετε, καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

Τουτέστιν ἐν γαλήνῃ ἔσεσθε καὶ ἐν ἀσφαλείᾳ πολλῇ· ὅταν γὰρ ἡμεῖς εἰρηνεύωμεν πρὸς αὐτὸν διὰ τῆς ἀρετῆς, πολλῷ μᾶλλον αὐτὸς μεθ' ἡμῶν ἔσται. τί οὖν φησίν; πρὸς ἐπαίνους προσέχοντα δεῖ ζῆν; οὐκ εἶπεν πρὸς ἔπαινον ὅρα· ἀλλὰ τὰ ἐπαινετὰ ποιεῖ, ὅσα σεμνά· τὸ σεμνὸν τῆς ἔξω ἐστὶ δυνάμεως· τὸ δὲ ἁγνὸν τῆς ψυχῆς. μὴ δίδοτε, φησὶν πρόσκομμα, μὴ δὲ λαβήν· ἐπειδὴ εἶπεν "ὅσα εὔφημα," ἵνα μὴ νομίσῃς ὅτι τὰ παρὰ ἀνθρώποις ἁπλῶς φησὶν, ἐπήγαγεν· "εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος·" εἰ γὰρ μέλλοιμεν πρὸς ἑαυτοὺς εἰρηνεύειν, καὶ ὁ Θεὸς ἔσται μεθ' ἡμῶν.

10 Ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθά-
λετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε.

Πολλάκις εἶπον, ὅτι ἡ ἐλεημοσύνη οὐ τῶν λαμβανόντων ἕνεκεν ἀλλὰ τῶν διδόντων ἐπεισήχθη· καὶ γὰρ ἐκεῖνοι εἰσὶν οἱ τὰ μέγιστα κερδαίνοντες· τοῦτο καὶ ἐνταῦθα δείκνυσιν ὁ Παῦλος, πῶς ἀπέστειλαν αὐτῷ τινὰ διὰ μακροῦ τοῦ χρόνου Φιλιππήσιοι, αὐτὰ δὴ ταῦτα Ἐπαφροδίτῳ ἐγχειρίσαντες. μέλλων τοίνυν αὐτὸν πέμπειν τὴν Ἐπιστολὴν αὐτοῖς ἀποκομίζοντα, ὅρα πῶς καὶ ἐπαινεῖ αὐτούς, καὶ δείκνυσιν, ὅτι οὐ τῆς τῶν λαμβανόντων χρείας, ἀλλὰ τῆς τῶν διδόντων ἕνεκεν τοῦτο γεγένηται· τοῦτο δὲ ποιεῖ, ἵνα μήτε εἰς ἀπόνοιαν αἴρωνται οἱ εὐποιοῦντες· καὶ προθυμότεροι γένωνται περὶ τὸ εὖ ποιεῖν, ἅτε αὐτοὺς μᾶλλον ὠφελοῦντες· οἵτε λαμβάνοντες μὴ ἐπιτρέχωσιν ἀδεῶς τὸ λαμβάνειν, ἵνα μὴ κρίμα ἔχωσι.

Τί οὖν φησίν; "ἐχάρην δὲ ἐν Κυρίῳ μεγάλως·" οὐ βιωτικῶς· ἀλλ' "ἐν Κυρίῳ·" οὐχ ὅτι ἀνάπαυσιν εἶχον ἐγώ, ἀλλ' ὅτι ὑμεῖς προσεκόψατε· διὰ τοῦτο καὶ "μεγάλως·" καὶ ὅρα πῶς ἠρέμα ἐπιτιμήσας ὑπὲρ τοῦ παρελθόντος χρόνου, ταχέως αὐτὸ συνεσκίασεν· παιδεύων διὰ παντὸς ἐν εὐποιΐᾳ εἶναι· "ὅτι ἤδη "ποτε," φησίν· τοῦτο δὲ χρόνον ἐστὶ δηλοῦντος μακρόν· "ἀνεθά"λετε" ὡς ἐπὶ καρπῶν βλαστησάντων, ξηρανθέντων, καὶ ὕστερον βλαστησάντων· τοῦτο δὲ δείκνυσιν ὅτι πρότερον ὄντες ἀνθηροί, εἶτα μαρανθέντες, πάλιν ἐβλάστησαν· ὡς καὶ ἐπιτίμησιν εἶναι καὶ ἔπαινον τὸ "ἀνεθάλετε·" διὰ τοῦτο ἐπήγαγεν. "εἰς τὸ ὑπὲρ ἐμοῦ "φρονεῖν, ἐφ' ᾧ καὶ ἐφρονεῖτε." καὶ ἵνα μὴ νομίσῃς καὶ ἐν τοῖς ἄλλοις αὐτοὺς ῥαθυμοτέρους γεγενῆσθαι, ἀλλ' ἐν τούτῳ μόνῳ. ζητήσειε δ' ἄν τις πῶς λέγων "μακάριόν ἐστιν μᾶλλον δίδοναι "ἢ λαμβάνειν·" καὶ "ὅτι αἱ χεῖρές μου ὑπηρέτησαν ταῖς "χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ·" καὶ πάλιν Κορινθίοις γράφων ἔλεγεν· "καλὸν γάρ μοι ἀποθανεῖν μᾶλλον, ἢ τὸ καύ"χημά μου ἵνα τίς κενώσῃ·" περιορᾷ νῦν κενούμενον ἑαυτοῦ τὸ καύχημα. λαβὼν ἐκεῖ, εἰκότως οὐκ ἐλάμβανε διὰ τοὺς ψευδαποστόλους· ἐλάμβανον μὲν γὰρ ἐκεῖνοι, λανθανόντως δέ, καὶ ἐκαυχῶντο ὡς μὴ λαμβάνοντες· διὰ τοῦτο ἔλεγεν "ἐν ᾧ καυχῶνται·" διὰ τοῦτο πάλιν αὐτὸς ἔλεγεν, "οὐ φραγήσεται τὸ καύχημά μου·" καὶ οὐχ ἁπλῶς εἶπεν "οὐ φραγήσεται·" ἀλλὰ τί; "ἐν τοῖς κλί"μασι τῆς Ἀχαΐας·" καὶ τὸ "ἄλλας ἐκκλησίας ἐσύλησα λα-

“ βῶν ὀψώνιον,” δηλοῦντος ἦν ὅτι ἐλάμβανεν· ἀλλὰ Παῦλος μὲν εἰκότως ἐλάμβανεν, ἔργον ἔχων τηλικοῦτον· εἴ που καὶ ἐλάμβανεν, οἱ δὲ μηδὲν ἐργαζόμενοι πῶς ἂν δύναιντο λαμβάνειν;

Ἠκαιρεῖσθε δέ.

Οὐ τῆς ῥαθυμίας ὑμῶν φησὶν, ἀλλὰ τῆς ἀνάγκης· οὐκ εἴχετε ἐν χερσὶν, οὐδὲ ἐν ἀφθονίᾳ ἦτε. τοῦτο γάρ ἐστιν ἠκαιρεῖσθε, ἀπὸ τῆς κοινῆς αὐτοὺς συνηθείας ἔλαβεν. οὕτω γὰρ οἱ πλείους λέγουσιν, ὅταν αὐτοῖς μὴ μετὰ ἀφθονίας ἐπιρρέῃ τὰ βιωτικὰ, ἀλλ' ἐν στενοχωρίᾳ εἴη.

(Θεόδωρος.) Ἄλλος δὲ τὸ “ἠκαιρεῖσθε” φησὶν, ἀντὶ τοῦ ἐκωλύεσθε· καὶ οὐκ εἴχετε τοῦτο ποιῆσαι ὅπερ ἐβούλεσθε· “ οὐχ ὅτι “ καθ' ὑστέρησιν λέγω” εἶπον φησὶν, ᾗ δὲ ποτὲ καὶ ἐπετίμησα· οὐ διὰ τοῦτο μεμφόμενος ὡς ἐν ἐνδείᾳ ὢν, οὐδὲ τὸ ἐμαυτοῦ ζητήσας. πόθεν τοῦτο, ὅτι οὐ κομπάζεις ὦ Παῦλε; οὐκ ἂν εἴγε ἐκόμπαζεν ταῦτα εἶπεν· παρὰ γὰρ εἰδόσιν αὐτὸν ἔλεγεν.

11 Ἐγὼ γὰρ ἔμαθον, ἐν οἷς εἰμὶ, αὐτάρκης εἶναι.

“Ἔμαθον,” φησίν· ἄρα διδασκαλίας τὸ πρᾶγμά ἐστι καὶ μελετης· οὐ γὰρ εὐκατόρθωτόν ἐστιν, ἀλλὰ καὶ σφοδρα δύσκολον.

12 Οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν· ἐν παντὶ καὶ ἐν πᾶσι μεμύημαι.

Τουτέστιν καὶ ὀλίγοις κεχρῆσθαι οἶδα, καὶ λιμὸν φέρειν καὶ ἔνδειαν· καὶ περισσεύειν καὶ ὑστερεῖσθαι, φησίν· ἀλλὰ τοῦτο οὐκ ἔστιν ἐπιστήμης φησὶν, οὐδὲ ἀρετῆς τὸ περισσεύειν· καὶ σφόδρα ἀρετῆς, οὐχ ἧττον ἢ ἐκεῖνο. πῶς; ὅτι ὥσπερ ἡ στενοχωρία πολλὰ παρασκευάζει κακὰ ποιεῖν, οὕτως καὶ ἡ ἄδεια. πολλοὶ γὰρ πολλάκις ἐν ἀφθονίᾳ γενόμενοι ῥαθυμότεροι ἐγένοντο, καὶ οὐκ ἔγνωσαν ἐνεγκεῖν τὴν εὐπραγίαν. πολλοὶ πολλάκις ἀφορμὴν ἔλαβον τοῦ μὴ ἐργάζεσθαι· ἀλλ' οὐχ ὁ Παῦλος· καὶ γὰρ λαμβάνων, εἰς ἄλλους ἀνήλισκεν· καὶ ἴσος ἦν ἔν τε ἐνδείᾳ, ἔν τε πλησμονῇ· οὔτε ἐκεῖθεν πιεζόμενος, οὔτε ἐντεῦθεν χαυνούμενος. δείκνυσιν ὅτι οὔτε νῦν ἥσθη, οὔτε πρότερον ἐλυπεῖτο, αὐτοῦ γε ἕνεκεν. “ ἐν “ παντὶ” γὰρ, φησὶ, “ καὶ ἐν πᾶσι μεμύημαι” τουτέστιν πεῖραν

ἔλαβον ἐν τῷ παντὶ τούτῳ χρόνῳ πάντων· καὶ ταῦτά μοι πάντα κατώρθωται· ἀλλ᾽ ἐπειδὴ μεγαληγορία τὸ πρᾶγμα ἦν, ὅρα πῶς ἐπιλαμβάνεται ταχέως,

13 Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ.

Οὐκ ἐμὸν, φησὶν, τὸ κατόρθωμα, ἀλλὰ τοῦ τὴν ἰσχὺν δεδωκότος ἐστίν.

14 Πλὴν καλῶς ἐποιήσατε, συγκοινωνήσαντές μου τῇ θλίψει.

Ἐπειδὴ οἱ ποιοῦντες, ὅταν ἴδωσιν οὐ διατιθέμενον τὸν λαμβάνοντα, ἀλλὰ καταφρονοῦντα τῶν διδομένων, ῥαθυμότεροι γίνονται· αὐτοὶ γὰρ ὡς χαριζόμενοι διέκειντο· ἵνα μὴ τοῦτο γένηται, ὅρα πῶς αὐτὸ ἰάσατο· καὶ διὰ μὲν τῶν ἄνω εἰρημένων, τὰ φρονήματα αὐτῶν κατέσπασεν· διὰ δὲ τούτων τὴν προθυμίαν αὐτῶν ἀναζῇν ποιεῖ λέγων, "πλὴν καλῶς ἐποιήσατε συγκοινωνήσαντές μου τῇ "θλίψει." δείκνυσι δὲ αὐτοὺς καὶ οὐ δόντας μόνον, ἀλλὰ κερδάναντας, διὰ τοῦ εἰπεῖν "συγκοινωνήσαντες·" εἴγε τῶν ἄθλων ἐγένοντο κοινωνοί. καὶ θέα τὸ σεμνόν· μὴ πέμπουσι μὲν οὐκ ἐγκαλεῖ, ἵνα μὴ δόξῃ τὸ ἑαυτοῦ θεραπεύειν· ἐπειδὴ δὲ ἔπεμψαν, τότε ἐπετίμησεν ὑπὲρ τοῦ παρελθόντος χρόνου, καὶ ἤνεγκαν. λοιπὸν γὰρ οὐκ ἂν ἔδοξε τὸ αὐτοῦ θεραπεύειν.

15 Οἴδατε καὶ ὑμεῖς, Φιλιππήσιοι, ὅτι ἐν ἀρχῇ τοῦ Εὐαγγελίου, ὅτε ἐξῆλθον ἀπὸ Μακεδονίας, οὐδεμία μοι Ἐκκλησία ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ λήψεως, εἰ μὴ ὑμεῖς μόνοι.

Βαβαῖ· ἡλίκον τὸ ἐγκώμιον; εἴγε Κορίνθιοι μὲν ἐκ τοῦ ἐκεῖνα ἀκούειν παρ᾽ αὐτοῦ καὶ Ῥωμαῖοι προτρέπονται· οὗτοι δὲ, οὐδεμιᾶς ἐκκλησίας ἀρξαμένης· καὶ γὰρ "ἐν ἀρχῇ τοῦ Εὐαγγελίου" φησὶ, τοσαύτην περὶ τὸν ἅγιον ἐπεδείξαντο σπουδὴν, ὡς μηδὲ παράδειγμα ἔχοντες, αὐτοὺς πρώτους τῆς καρποφορίας ἄρχεσθαι ταύτης· καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι παραμένοντι, οὐδὲ τῶν πρὸς αὐτοὺς ἕνεκεν ταῦτα ἐποίουν· "ὅτε ἐξῆλθον" γὰρ φησὶν, "ἀπὸ "Μακεδονίας." τί δέ ἐστιν "ἐκοινώνησεν εἰς λόγον δόσεως καὶ

"λήψεως;" κοινωνία τὸ πρᾶγμά ἐστιν· "εἰ γὰρ ἡμεῖς τὰ πνευ-"ματικὰ," φησὶν "ἐσπείραμεν· τί μέγα εἰ ἡμεῖς τὰ σαρκικὰ "ὑμῶν θερίσομεν;" "εἰς λόγον δόσεως," τῶν σαρκικῶν· "λήψεως," τῶν πνευματικῶν. ὥσπερ γὰρ οἱ πωλοῦντες καὶ οἱ ἀγοράζοντες, κοινωνοῦσιν ἀλλήλοις, τὰ παρ' ἀλλήλων ἀντιδιδόντες, τοῦτο γάρ ἐστι κοινωνία· οὕτω δὴ καὶ ἐνταῦθα· οὐ γάρ ἐστιν οὐκέτι ταύτης τῆς ἀγορασίας καὶ τῆς ἐμπορείας τί κερδαλεώτερον.

16 Ὅτι καὶ ἐν Θεσσαλονίκῃ καὶ ἅπαξ καὶ δὶς εἰς τὰς χρείας μοι ἐπέμψατε.

Πάλιν μέγα τὸ ἐγκώμιον· εἴ γε ἐν τῇ μητροπόλει καθήμενος, παρὰ τῆς μικρᾶς ἐτρέφετο πόλεως. καὶ ὅρα· ἵνα μὴ διὰ παντὸς ἐξέλκων ἑαυτὸν τῆς χρείας, ὅπερ εἶπον προλαβὼν, ῥαθυμοτέρους ποιήσῃ· διὰ τοσούτων δείξας ὅτι οὐ δεῖται, ἓν τοῦτο μόνον ἐποίησεν, εἰπὼν "εἰς τὰς χρείας." καὶ οὐκ εἶπεν τὰς ἐμὰς, ἀλλ' ἁπλῶς, τοῦ σεμνοῦ ἐπιμελούμενος· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἑξῆς. ἐπειδὴ γὰρ συνεῖδεν αὐτὸ σφόδρα ταπεινὸν, πάλιν αὐτὸ τῇ ἐπιδιορθώσει ἀσφαλίζεται.

17 Οὐχ ὅτι ἐπιζητῶ τὸ δόμα, ἀλλ' ἐπιζητῶ τὸν καρπὸν τὸν πλεονάζοντα εἰς λόγον ὑμῶν.

Ὃ γὰρ εἶπεν ἄνω, "οὐχ ὅτι καθ' ὑστέρησιν λέγω," ἐκεῖνο δὲ τούτου μεῖζον ἐστίν· ἕτερον γὰρ ὑστεροῦντα μὴ ζητῆσαι καὶ ἕτερον ἐν ὑστερήσει ὄντα μηδὲ νομίζειν ὑστερεῖσθαι. ὁρᾷς ὅτι ὁ καρπὸς ἐκείνοις τίκτεται; δι' ὑμᾶς ταῦτα λέγω φησὶν, οὐ δι' ἐμαυτόν. ἐγὼ γὰρ οὐδὲν κερδαίνω λαμβάνων· τῶν διδόντων ἐστὶν ἡ χάρις· τοῖς μὲν γὰρ διδοάσιν ἐκεῖ φυλάττεται ἡ ἀμοιβή· τοῖς δὲ λαμβάνουσιν ἐνταῦθα ἀναλίσκεται.

18 Ἀπέχω πάντα καὶ περισσεύω.

Τουτέστιν, οὐ μόνον ἐπληρώσατε τὰ ἐλλειφθέντα ἐν τῳ παρελθόντι χρόνῳ, ἀλλὰ καὶ ὑπερεβάλεσθε· ἐπειδὴ εἶπεν "οὐχ ὅτι "ἐπιζητῶ τὸ δόμα·" καὶ "ὅτι ἤδη ποτέ·" καὶ δείξας ὅτι ὀφειλή ἐστι τὸ πρᾶγμα, εἶπεν καὶ τὸ "ἀπέχω."

Πεπλήρωμαι δεξάμενος παρὰ Ἐπαφροδίτου τὰ παρ' ὑμῶν, ὀσμὴν εὐωδίας, θυσίαν δεκτήν.

Βαβαί· τοῦτο δῶρον αὐτὸν ἀνήγαγεν· οὐκ ἐγὼ, φησὶν, ἔλαβον, ἀλλ' ὁ Θεὸς δι' ἐμοῦ· ὥστε κἂν ἐγὼ μὴ χρήζω, μηδὲ λέγω ὑμῖν· ἐπειδὴ οὐδὲ ὁ Θεὸς ἔχρηζε, καὶ ἀπεδέχετο, οὕτως ὡς μὴ παραιτήσασθαι εἰπεῖν τὴν θείαν γραφὴν "ὠσφράνθη ὁ Θεὸς "ὀσμὴν εὐωδίας·" ὅπερ ἦν εὐφραινομένου. ἴστε γὰρ ἴστε, πῶς διατίθεται ἡμῶν ἡ ψυχὴ ἐπὶ τῆς εὐωδίας, πῶς εὐφραίνεται. οὐ παρῃτήσατο τοίνυν εἰπεῖν περὶ Θεοῦ ἀνθρώπινον οὕτω ῥῆμα καὶ ταπεινὸν ἡ γραφὴ, ἵνα τοῖς ἀνθρώποις δείξῃ ὅτι δεκτὰ τὰ παρ' αὐτῶν δῶρα γέγονεν. οὐ γὰρ ἡ κνίσσα οὐδὲ ὁ καπνὸς δεκτὰ ἐποίει, ἀλλ' ἡ προαίρεσις ἡ προσφέρουσα· ὅτε δὲ λοιπὸν τῆς ἄλλης ἀρετῆς ἀμελήσαντες ταῖς θυσίαις ἐθάρρουν, ὅρα πῶς διορθοῦται αὐτοὺς πάλιν λέγων, "μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων "πίομαι;" "οὐχ ὅτι ἐπιζητῶ," φησὶν "τὸ δόμα."

19 *Ὁ δὲ Θεός μου πληρώσει πᾶσαν χρείαν ὑμῶν κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ, ἐν Χριστῷ Ἰησοῦ.*

Ὅρα πῶς καὶ ἐπεύχεται, καθάπερ οἱ πένητες· εἰ δὲ Παῦλος ἐπεύχεται τοῖς διδόασιν· πολλῷ μᾶλλον ἡμεῖς μὴ αἰσχυνώμεθα λαμβάνοντες τοῦτο ποιεῖν· μηδὲ λαμβάνωμεν ὡς αὐτοὶ χρήζοντες, μηδὲ χαίρωμεν ἡμῶν ἕνεκεν ἀλλὰ τῶν διδόντων αὐτῶν· οὕτως ἡμῖν ἔσται μισθὸς καὶ λαμβάνουσιν, ἂν δι' ἐκείνους χαίρωμεν. "ὁ δὲ "Θεός μου" φησὶν "πληρώσει πᾶσαν χρείαν ὑμῶν·" ἢ πᾶσαν χάριν, ἢ πᾶσαν χαράν· μᾶλλον δὲ πᾶσαν χρείαν. ἐπειδὴ εἶπεν "ἠκαιρεῖσθε δέ·" ἐπήγαγε τοῦτο ὅπερ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ λέγων, "ὁ ἐπιχορηγῶν σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶ- "σιν, χορηγῆσαι καὶ πληθύναι τὸν σπόρον ὑμῶν·" ἐπεύχεται οὖν αὐτοῖς, ὥστε εἶναι ἐν ἀφθονίᾳ· καὶ ἐπεύχεται οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τὸν πλοῦτον αὐτοῦ, ὥστε καὶ τοῦτο συμμετρημένως. εἰ μὲν γὰρ κατ' αὐτὸν ἦσαν καὶ οὕτω φιλόσοφοι καὶ οὕτως ἐσταυρωμένοι, οὐκ ἂν τοῦτο ἐποίησεν. ἐπειδὴ δὲ ἄνδρες ἦσαν χειροτέχναι, πένητες, γυναῖκας ἔχοντες, παῖδας τρέφοντες, οἰκίας προεστῶτες,

καί τινα εἶχον ἐπιθυμίαν καὶ τῶν πάροντων, ἐπεύχεται συγκαταβατικῶς· τοῖς γὰρ οὕτω κεχρημένοις οὐδὲν ἄτοπον ἐπεύχεσθαι τὴν αὐτάρκειαν καὶ τὴν ἀφθονίαν. ὅρα γοῦν τι εἶπεν, οὐκ εἶπεν ὅτι ποίησει πλουσίους καὶ εὐπόρους σφοδρα, ἀλλὰ "πληρώσει πᾶσαν "χρείαν ὑμῶν," ὥστε μὴ εἶναι ἐν ἐνδείᾳ, ἀλλὰ τὰ πρὸς τὴν χρείαν ἔχειν. ἐπεὶ καὶ ὁ Χριστὸς" ὅρον ἡμῖν εὐχῆς διδοὺς, τοῦτο τῇ εὐχῇ ἐνέθηκεν· διδάσκων ἡμᾶς λέγειν, "τὸν ἄρτον ἡμῶν τὸν "ἐπιούσιον δὸς ἡμῖν σήμερον." "κατὰ τὸν πλοῦτον αὐτοῦ," τουτέστιν κατὰ τὴν δωρεὰν αὐτοῦ. ὅτι εὔκολον αὐτῷ καὶ δυνατόν. καὶ ἐπειδὴ χρείαν εἶπον, μὴ νομίσητε ὅτι στενοχωρήσει ὑμᾶς· διὰ τοῦτο ἐπήγαγεν, "κατὰ τὸν πλοῦτον αὐτοῦ ἐν δόξῃ ἐν Χρίστῳ "Ἰησοῦ," οὕτως περισσεῦσαι ὑμῖν ἅπαντα, ὥστε εἰς δόξαν αὐτοῦ ἔχειν. ἢ ὅτι οὐδενὸς ὑστερεῖσθαι· "καὶ χάρις γὰρ μεγάλη" φησὶν "ἦν ἐπὶ πάντας αὐτούς. οὐδὲ γὰρ ἐνδεής τίς ὑπῆρχεν ἐν "αὐτοῖς." ἢ ὥστε εἰς δόξαν αὐτοῦ κεχρῆσθαι τῇ περιουσίᾳ.

20 Τῷ δὲ Θεῷ καὶ πατρὶ ἡμῶν ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

Αὕτη ἡ δόξα οὐχὶ τοῦ Υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ Πατέρος γίνεται· ὅταν γὰρ ὁ Υἱὸς δοξάζηται, τότε καὶ ὁ Πατήρ.

21 Ἀσπάσασθε πάντα ἅγιον ἐν Χριστῷ Ἰησοῦ. ἀσπάζονται ὑμᾶς οἱ σὺν ἐμοὶ ἀδελφοί.

Καὶ μὴν ἔλεγες ὅτι οὐδένα ἔχεις ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει· πῶς οὖν λέγεις "οἱ σὺν ἐμοὶ ἀδελφοί;" ἢ τοὺς μετ' αὐτῶν φησίν· ἢ ὅτι οὐδένα τῶν μεθ' ἑαυτοῦ ἔχω ἰσόψυχον· οὐ περὶ τῶν ἐν τῇ πόλει λέγων· ποίαν γὰρ ἀνάγκην εἶχον ἐκεῖνοι τὰ τῶν Ἀποστόλων ἀναδέχεσθαι πράγματα; ἢ ὅτι οὐ παραιτεῖται καὶ τούτους ἀδελφοὺς καλεῖν.

22 Ἀσπάζονται ὑμᾶς πάντες οἱ ἅγιοι, μάλιστα οἱ ἐκ τῆς Καίσαρος οἰκίας. ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ Πνεύματος ὑμῶν. ἀμήν.

Ἀνέστησεν αὐτοὺς καὶ ἀνέρρωσεν. δεικνὺς ὅτι καὶ τῆς βασιλι-

κῆς οἰκίας τὸ κήρυγμα ἥψατο. εἰ γὰρ οἱ ἐν τοῖς βασιλείοις πάντων κατεφρόνησαν διὰ τὸν βασιλέα τῶν οὐρανῶν, πολλῷ μᾶλλον αὐτοὺς χρὴ τοῦτο ποιεῖν· καὶ τοῦτο δὲ τεκμήριον τῆς Παύλου ἀγάπης, καὶ τοῦ πολλὰ περὶ αὐτῶν διηγεῖσθαι καὶ μέγαλα λέγειν· ὥστε καὶ εἰς πόθον αὐτῶν ἤγαγεν τοὺς ἐν τοῖς βασιλείοις· ὥστε καὶ ἀσπάσασθαι αὐτοὺς τοὺς οὐχ ἑωρακότας . . . . ·

*τριάς * μονάς * ἐλέησον **

τῶν εἰς τὴν πρὸς Φιλιππησίους Ἐπιστολὴν ἐξηγητικῶν ἐκλογῶν

τόμος α.

τοῦ μακαρίου Ἰωάννου. ΙΩ.

Σευηριανοῦ. Σ.

Θεοδώρου. Θ.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ ΠΡΩΤΟΣ.

ΠΑΣΑΙ μὲν ἅγιαι αἱ Ἐπιστολαὶ Παύλου. ἔχουσι δέ τι πλέον αἱ δεδεμένου αὐτοῦ πεμπόμεναι· οἷα ἐστὶν ἡ πρὸς Ἐφεσίους· οἷα ἡ πρὸς Φιλήμονα· οἷα ἡ πρὸς Τιμόθεον· οἷα ἡ πρὸς Φιλιππησίους· οἷα αὕτη ἡ παροῦσα. καὶ γὰρ καὶ αὕτη δεσμίου ὄντος ἐπέμπετο, καθὼς καὶ γράφων ἔλεγεν, "διὸ καὶ δέδεμαι ἵνα "φανερώσω αὐτὸ, ὡς δεῖ με λαλῆσαι." ἀλλ' αὕτη μὲν δοκεῖ τῆς πρὸς Ῥωμαίους ὑστέρα εἶναι· ἐκείνην μὲν γὰρ, οὐδέπω ἰδὼν Ῥωμαίους, ἔγραφεν· ταύτην δὲ ἤδη τεθεαμένος, καὶ πρὸς τῷ τέλει τοῦ κηρύγματος ὤν. καὶ δῆλον ἐκεῖθεν. ἐν γὰρ τῇ Ἐπιστολῇ φησὶ, τῇ πρὸς Φιλήμονα, "τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης·" καὶ ὑπὲρ Ὀνησίμου ἀξιοῖ· ἐν ταύτῃ δὲ, αὐτὸν πέμπει τὸν Ὀνήσιμον, καθὼς φησὶν "σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ "ἀδελφῷ·" πιστὸν καὶ ἀγαπητὸν καὶ ἀδελφὸν αὐτὸν καλῶν· διὸ καὶ θαρρούντως λέγει ἐν ταύτῃ τῇ Ἐπιστολῇ "ἀπὸ τῆς ἐλπίδος "τοῦ Εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ κτίσει "τῇ ὑπὸ τὸν οὐρανόν·" ἤδη γὰρ χρόνον εἶχε τὸ κήρυγμα. ταύτης οὖν πρεσβύτεραν οἶμαι τὴν πρὸς Τιμόθεον εἶναι, καὶ πρὸς αὐτῇ τῇ τελευτῇ λοιπόν· ἐκεῖ γὰρ φησὶν "ἐγὼ γὰρ ἤδη σπένδομαι·" τῆς μὲν οὖν πρὸς Φιλιππησίους πρεσβύτερα· ἐκεῖ γὰρ τότε ἦν, ἀρχὴν ἔχων τῶν δεσμῶν τῶν ἐν Ῥώμῃ. τίνος δὲ ἕνεκεν λέγω πλέον ἔχειν ταύτας τὰς Ἐπιστολὰς κατὰ τοῦτο, ὅτι ἐν δεσμοῖς ὢν γράφει; ὡσανεὶ ἀριστεὺς σφαγᾶς μεταξὺ καὶ τρόπαια ἱστὰς ἐπέστελλεν, οὕτω δὴ καὶ αὐτὸς ἐποίει· οἶδεν γὰρ καὶ αὐτὸς τοῦτο μέγα ὄν· τῷ γὰρ Φιλήμονι γράφων φησὶν, "ὃν ἐγὼ ἐγέννησα ἐν "τοῖς δεσμοῖς μου." ταῦτα δὲ εἶπεν, ἵνα μὴ ἀσχάλλωμεν πρὸς

τὰ δεινὰ ἀλλὰ χαίρωμεν. ἐνταῦθα ἦν παρὰ τούτοις Φιλήμων· καὶ γὰρ ἐκεῖ γράφων φησίν· "καὶ Ἀρχίππῳ τῷ συστρατιώτῃ" καὶ ἐνταῦθα Ἀρχίππῳ δοκεῖ μοι οὗτος ἐγκεχειρῆσθαι τινὰ τῆς ἐκκλησίας· οὐκ εἶδεν δὲ οὐδὲ τούτους, οὐδὲ Ῥωμαίους, οὐδὲ Ἑβραίους, ἡνίκα ἔγραφεν πρὸς αὐτούς. καὶ περὶ μὲν ἐκείνων πολλαχόθεν δῆλον· περὶ δὲ τούτων ἄκουε αὐτοῦ λέγοντος· "καὶ ὅσοι "οὐχ ἑωράκασι τὸ πρόσωπόν μου ἐν σαρκί·" καὶ πάλιν· "εἰ "καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ Πνεύματι σὺν ὑμῖν εἰμί." οὕτως ᾔδει μέγα ὂν τὴν παρουσίαν αὐτοῦ. πανταχοῦ καὶ ἀεὶ ἑαυτὸν καὶ ἀπόντα ἐφίστησιν· καὶ ὅταν κολάζῃ τὸν πορνεύοντα, ὅρα πῶς ἑαυτὸν ἐφίστησι τῷ δικαστηρίῳ· "ἐγὼ μὲν γάρ," φησὶν, "ὡς ἀπὼν τῷ σώματι, παρὼν δὲ τῷ Πνεύματι ἤδη κέκρικα ὡς "παρών·" καὶ πάλιν "ἐλεύσομαι πρὸς ὑμᾶς καὶ γνώσομαι οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν." καὶ πάλιν· "μὴ μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς, ἀλλὰ πολλῷ μᾶλλον "ἐν τῷ ἀπεῖναί με."

Σευηριανοῦ. Ἄξιον δὲ τὴν ὑπόθεσιν εἰπεῖν ἣν ἐκ τῆς Ἐπιστολῆς εὕρομεν· ἑτέρως γὰρ παρὰ τοῖς πολλοῖς νοεῖται, [πολλὰ τῆς πρὸς Κολοσσαεῖς] διὰ τὸ τὴν ὑπόθεσιν μὴ πάνυ γινώσκεσθαι, μηδὲ τὸν σκοπὸν τοῦ Ἀποστόλου.

Ἀρχὴ τῆς ὑποθέσεως.

Οἱ ἀπὸ Ἑλλήνων πιστεύσαντες εἶχον καὶ τοὺς ἔτι Ἕλληνας ἀνθέλκειν εἰς τὰς παρατηρήσεις τὰς Ἑλληνικὰς βουλομένους, καὶ τῶν Ἰουδαίων τοὺς πιστεύσαντας, πείθοντας τὸν νόμον τηρεῖν ὡς τῆς χάριτος ἀτελεστέρας οὔσης ἄνευ τοῦ νόμου. πρὸς τούτοις καὶ Ἕλληνες καὶ Ἰουδαῖοι τοὺς Κολοσσαεῖς ἔπειθον Ἀγγέλοις προσέχειν· Ἕλληνες μὲν τοὺς θεοὺς αὐτῶν λέγοντες Ἀγγέλους εἶναι· ὅτι τε ὁ μὲν Θεὸς ἀχώρητος καὶ μέγας οὐκ ἐφικτὸς ἀνθρώποις· διὰ δὲ τῶν Ἀγγέλων τούτων ὥσπερ μεσιτῶν, χορηγεῖ τὰς εὐεργεσίας τοῖς δεχομένοις. οἱ δὲ Ἰουδαῖοι ὅτι "ὁ Θεὸς ἔστησεν ὅρια "ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ·" οὕτω "καὶ Μιχαὴλ ἄρχων τῶν Ἰουδαίων·" οὕτω καὶ "ὁ ἄρχων Περσίδος ἀντέστη μοι·" καὶ πάλιν "ἰδοὺ ὁ ἄρχων τῶν Ἑλλήνων ἤρχετο." ὡς καὶ ὁ Ἰακώβ· "ὁ Ἄγγελος ὁ ῥυόμενός με ἐκ νεότητος μου." καὶ ἐν

ταῖς καθόλου Πράξεσι περὶ Πέτρου, "Ἄγγελος αὐτοῦ ἔστιν·" καὶ ὁ Κύριος, "ὅρατε μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων. ὅτι "οἱ Ἄγγελοι αὐτῶν τὸ πρόσωπον ὁρῶσι τοῦ Πατρός μου τοῦ ἐν "τοῖς οὐρανοῖς·" ἀπὸ γὰρ τούτων ἁπάντων ὧν τοῖς μὲν ἐπίστευον, τοῖς δὲ ἠπίστουν, συνῆγον καὶ Ἰουδαῖοι καὶ Ἕλληνες τὸ περιττὴν εἶναι διὰ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ χάριν. ὄντων ἀγγέλων τῶν ἀπ' αἰῶνος τοὺς πειθομένους προσαγόντων· ἀτελὲς δὲ καὶ τὸ τὰς παρατηρήσεις παρορᾶν, τάς τε παρ' Ἕλλησι καὶ παρὰ Ἰουδαίοις. πρὸς ταῦτα ὁ σκοπὸς τῷ Παύλῳ, καὶ ταῦτα διορθοῦται· διὰ τοῦτο καὶ ἀρχόμενος φησίν.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Εὐχαριστία ὑπὲρ Κολοσσαέων, οἰκειωθέντων Θεῷ ἐπ᾽ ἐλπίδι.

β΄. Εὐχὴ ὑπὲρ αὐτῶν εἰς σοφίαν πρακτικὴν, εἰς δύναμιν ὑπομονῆς, σὺν εὐχαριστίᾳ τῆς οἰκειώσεως τῆς ἐν καθάρσει.

γ΄. Περὶ τῆς ἐν Χριστῷ κτίσεως καὶ ἀνακτίσεως τῆς κατὰ συνάφειαν Θεοῦ.

δ΄. Περὶ ἐθνῶν προσαγωγῆς τῆς ἐν σώματι Χριστοῦ καὶ πάθει διὰ πίστεως.

ε΄. Περὶ τῆς διὰ τῶν πόνων αὐτοῦ διδαχῆς, ἀνακτητικῆς εἰς παράστασιν Θεοῦ.

ς΄. Περὶ τοῦ μὴ ὑπάγεσθαι ἀνθρωπίνῃ σοφίᾳ ἀπατηλῇ, τοὺς ἐν Χριστῷ τὴν σοφίας ἔχοντας.

ζ΄. Ὅτι ἡ πρὸς Θεὸν συνάφεια καὶ τὰ τοῦ νόμου περιέχει πνευματικῶς, εἰς τὸ συζῆν Χριστῷ.

η΄. Ὅτι οἱ τοῦ σαρκικοῦ νόμου τύποι, σαρκικοῖς χρήσιμοι, οὐ πνευματικοῖς τοῖς ἐν δυνάμει Χριστοῦ ζῶσιν.

θ΄. Παραίνεσις καθάρσεως, ἁγιασμοῦ, φιλανθρωπίας, φιλοθεότητος, φιλομαθείας, ψαλμῳδίας, εὐφήμου εἰς Θεὸν διαγωγῆς, εὐχαριστίας.

ι΄. Τὰ πρὸς τοὺς οἰκείους ὁμονοητικῶς.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΚΟΛΟΣΣΑΕΙΣ ΕΠΙΣΤΟΛΗΝ.

---

1 Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ.

Διατί δὲ μὴ Ἀπόστολος Θεοῦ, ἀλλὰ Χριστοῦ; ἢ δηλονότι τοῦ ἀθετουμένου· ἰδοὺ δὲ πάλιν τὸ διατέθεικεν ἐπὶ τοῦ Πατρός· "καὶ Τιμόθεος" φησὶν "ὁ ἀδελφός·" οὐκοῦν καὶ αὐτὸς Ἀπόστολος. εἰκὸς ἦν καὶ τοῦτον γνωρίζεσθαι ἐκείνοις τοῖς ἐν Κολασσαῖς ἁγίοις. ἡ πόλις τῆς Φρυγίας ἦν· καὶ δῆλον ἐκ τοῦ τὴν Λαοδίκειαν πλησίον εἶναι. "καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ·" πόθεν, φησὶν, ἅγιος γέγονας, εἰπέ μοι; πόθεν πιστὸς καλῇ; οὐχ ὅτι διὰ τοῦ θανάτου ἡγιάσθης; οὐχ ὅτι εἰς Χριστὸν πιστεύεις; πόθεν ἀδελφὸς γέγονας; οὐ γὰρ ἐν ἔργῳ οὐδὲ ἐν ἀγγέλῳ, οὐδὲ ἐν κατορθώματι πιστὸς ἐφάνης· πόθεν τοσαῦτα ἐπιστεύθης; εἰπέ μοι, μυστήρια οὐ διὰ Χριστόν; ἐπισημήνασθαι γὰρ χρὴ, διότι ἐν ὀλίγοις στίχοις πολλάκις τοῦ Χριστοῦ μέμνηται· τοῦ γὰρ ἀθετουμένου συνεχῶς ποιεῖται τὴν μνήμην, ἐντυπῶν ταῖς ψυχαῖς τὸν εἰς αὐτὸν πόθον.

2 Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν.

Πόθεν ἡ χάρις ὑμῶν; πόθεν ἡ εἰρήνη; ἀπὸ Θεοῦ, φησὶ, πατρὸς ἡμῶν· καίτοι ἐν ταύτῃ τὸ τοῦ Χριστοῦ οὐ τίθησιν ὄνομα. πρὸς δὲ τοὺς τὸ Πνεῦμα διαβάλλοντας ἐρῶ πόθεν Πατὴρ ὁ Θεὸς τῶν δούλων; ταῦτα τὰ μεγάλα τίς κατώρθωσε; τίς ἅγιόν σε ἐποίησε; τίς πιστόν; τίς υἱὸν τοῦ Θεοῦ; ὁ ποιήσας σε ἀξιόπιστον· αὐτὸς καὶ τοῦ πιστευθῆναί σε ἅπαντα αἴτιος· πιστοὶ γὰρ οὐ διὰ τὸ πιστεύειν καλούμεθα μόνον, ἀλλὰ καὶ διὰ τὸ πιστευθῆναι παρὰ τοῦ Θεοῦ μυστήρια, ἅπερ οὐδὲ οἱ Ἄγγελοι πρὸ ἡμῶν ᾔδεσαν.

ΚΕΦ. Α.

Εὐχαριστία ὑπὲρ Κολοσσαέων οἰκειωθέντων Θεῷ ἐπ' ἐλπίδι.

3 Εὐχαριστοῦμεν τῷ Θεῷ καὶ Πατρὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἐμοὶ δοκεῖ πάντα ἐπὶ τὸν Πατέρα ἀνατιθέναι, ὥστε μὴ εὐθέως αὐτοῖς προστῆναι τὸν λόγον.

Πάντοτε περὶ ὑμῶν προσευχόμενοι.

Οὐ δι' εὐχαριστίας μόνον, ἀλλὰ καὶ διὰ τῆς διηνεκοῦς εὐχῆς τὴν ἀγάπην δείκνυσιν· ὅτι καὶ οὓς οὐκ ἑώρακε, τούτους εἶχε διὰ παντὸς ἐν αὑτῷ· "ἀκούσαντες," φησὶν, "τὴν πίστιν ὑμῶν τὴν ἐν "Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους." τοῦτο οἰκειοῦται αὐτούς· Ἐπαφρόδιτός ἐστιν ὁ ταῦτα ἀπαγγέλλων. πέμπει δὲ τὴν ἐπιστολὴν διὰ Τυχικοῦ· ἐκεῖνον παρ' ἑαυτῷ κατασχών. "καὶ τὴν ἀγάπην," φησὶν, "τὴν εἰς πάντας τοὺς ἁγίους·" οὐκοῦν καὶ εἰς ἡμᾶς, διὰ τὴν ἐλπίδα τὴν ἀποκειμένην ἡμῖν ἐν τοῖς οὐρανοῖς.

Σετηριανοῦ. Τὰ μέλλοντα φησὶν ἀγαθά· τοῦτο δὲ διὰ τοὺς πειρασμούς· ὥστε μὴ ἐνταῦθα ζητεῖν τὴν ἄνεσιν. ἵνα γὰρ μή τις εἴπῃ· καὶ τί κέρδος τῆς ἀγάπης τῆς εἰς τοὺς ἁγίους, κοπτομένων αὐτῶν; χαίρομεν, φησὶν, ὅτι μεγάλα αὐτοῖς προξενεῖτε "ἐν τοῖς "οὐρανοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας·" ἐνταῦθα πληττόντος αὐτούς ἐστι τὸ ῥῆμα, ὅτι πολὺν χρόνον ἔχοντες μετέστησαν. "ἣν προηκούσατε" φησὶν "ἐν τῷ λόγῳ τῆς ἀληθείας "τοῦ Εὐαγγελίου·" καὶ ἀλήθειαν μαρτυρεῖ εἰκότως ὅτι οὐδὲν ψεῦδος ἐν αὐτῷ· καὶ οὐ λέγει τοῦ κηρύγματος, ἀλλὰ τοῦ Εὐαγγελίου, συνεχῶς ἀναμιμνήσκων αὐτοὺς τῶν εὐεργεσιῶν τοῦ Θεοῦ.

6 Τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ.

Ἤδη χαρίζεται αὐτοῖς· "παρόντος" δὲ μεταφορικῶς εἶπεν· οὐ παρεγένετο, φησὶν, καὶ ἀπέστη· ἀλλ' ἔμεινε καὶ ἔστιν ἐκεῖ. εἶτα ἐπειδὴ μάλιστα οἱ πολλοὶ ἐκ τοῦ κοινωνοὺς ἔχειν πολλοὺς τῶν

δογμάτων στηρίζονται· διὰ τοῦτο ἐπήγαγεν, "καθὼς καὶ ἐν παντὶ "τῷ κόσμῳ·" πανταχοῦ κρατεῖ· πανταχοῦ ἕστηκεν. τὴν ἐλπίδα δὲ τὴν ἀποκειμένην τῆς ἀναστάσεως καὶ τῆς βασιλείας οὐκ Ἀγγέλων διοίκησις κατώρθωσεν, ἀλλὰ Ἰησοῦ Χριστοῦ παρουσία· καὶ τὸ Εὐαγγέλιον δὲ τοῦ παρόντος εἰς ὑμᾶς, φησὶν, οὐκ ἔστιν ψεῦδος ἵνα παροφθῇ, οὐδὲ εἰς μόνους ὑμᾶς ἔφθασεν, ἀλλ' εἰς πάντας ἀνθρώπους· καὶ οὐκ ἔφθασεν μὲν, παρηκούσθη δὲ, ἀλλ' "ἔστιν "καρποφορούμενον," φησὶν, καὶ αὐξανόμενον· διὰ μὲν τὰ ἔργα αὐξανόμενον, τῷ πολλοὺς περιλαμβάνειν· τῷ μᾶλλον στηρίζεσθαι, καθὼς καὶ ἐν ὑμῖν φησίν.

Χρυσοστόμου. Προκαταλαμβάνει τὸν ἀκροατὴν τοῖς ἐπαίνοις· ὥστε μηδὲ ἄκοντα ἀποστῆναι. "ἀφ' ἧς ἡμέρας ἠκούσατε·" τὸ θαυμαστὸν, ὅτι τάχεως προσήλθετε καὶ ἐπιστεύσατε· καὶ εὐθέως ἐκ προοιμίων ἐπεδείξασθε καρπούς· "ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ "ἔγνωτε τὴν χάριν τοῦ Θεοῦ ἐν ἀληθείᾳ·" οὐκ ἐν λόγῳ, φησὶν, οὐδὲ ἐν ἀπάτῃ, ἀλλ' ἐν αὐτοῖς τοῖς ἔργοις. τοῦτο τοίνυν λέγει "καρ"ποφορούμενον," ἤτοι τὰ σημεῖα καὶ τὰ θαύματα, ὅτι ἅμα ἐδέξασθε, ἅμα ἔγνωτε τὴν χάριν τοῦ Θεοῦ. τὸ τοίνυν εὐθέως ἐπιδεξάμενον τὴν οἰκείαν δύναμιν, ἀπιστεῖσθαι, πῶς οὐ χαλεπόν;

7 Καθὼς καὶ ἐμάθετε παρὰ Ἐπαφρᾶ τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν.

Τοῦτον εἰκὸς ἐκεῖ κεκηρυχέναι. εἶτα τὸ ἀξιόπιστον δεικνὺς τοῦ ἀνδρὸς φησὶν,

Τοῦ συνδούλου ἡμῶν, ὅς ἐστι πιστὸς ὑπὲρ ὑμῶν διά-
8 κονος τοῦ Χριστοῦ, ὁ καὶ δηλώσας ἡμῖν τὴν ὑμῶν ἀγά-
πην ἐν Πνεύματι.

Τουτέστιν ἀληθής· πῶς "ὑπὲρ ὑμῶν διάκονος;" τῷ πρὸς αὐτὸν ἀπελθεῖν· καὶ "δηλώσας," φησὶν, "ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν "Πνεύματι," τουτέστιν τὴν πνευματικὴν τὴν εἰς ἡμᾶς· εἰ οὗτος τοῦ Χριστοῦ διάκονος, πῶς δι' Ἀγγέλων λέγεται προσάγεσθαι;

ΚΕΦ. Β.

Εὐχὴ ὑπὲρ αὐτῶν εἰς σοφίαν πρακτικὴν, εἰς δύναμιν ὑπομονῆς, σὺν εὐχαριστίᾳ τῆς οἰκειώσεως τῆς ἐν καθάρσει.

9 Διὰ τοῦτο καὶ ἡμεῖς ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ
παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα
πληρωθῆτε τῇ ἐπιγνώσει τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ
10 σοφίᾳ καὶ συνέσει πνευματικῇ, περιπατῆσαι ὑμᾶς ἀξίως
τῇ Κυρίου εἰς πᾶσαν ἀρέσκειαν· ἐν παντὶ ἔργῳ ἀγαθῷ
καρποφοροῦντες καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ
Θεοῦ.

Διὰ τοῦτο, ποῖον; ἐπειδὴ ἠκούσαμεν τὴν πίστιν ὑμῶν καὶ τὴν ἀγάπην· ἐπειδὴ χρηστὰς ἔχομεν ἐλπίδας· εὐέλπιδες ἐσμὲν καὶ περὶ τῶν μελλόντων αἰτεῖν. ἠρέμα δὲ αὐτοὺς αἰνίττεται ὡς οὐδέπω πρὸς τὸ τέλος ἐφθακότας. τὸ γὰρ "ἵνα πληρωθῆτε," τοῦτο δηλοῦντος ἦν· καὶ τὸ "ἐν πάσῃ σοφίᾳ," καὶ τοῦτο αὐτὸ δηλοῖ· καὶ πάλιν "εἰς πᾶσαν ἀρέσκειαν, ἐν παντὶ ἔργῳ ἀγαθῷ·" καὶ πάλιν "ἐν πάσῃ δυνάμει δυναμούμενοι·" καὶ πάλιν "εἰς πᾶσαν "ὑπομονὴν καὶ μακροθυμίαν." τὸ γὰρ πᾶσαν ἀεὶ προστιθέναι, μαρτυροῦντός ἐστιν καὶ τί τοῖς κατορθοῦσιν, εἰ καὶ μὴ τὸ πᾶν· οὕτω καὶ ὁ ἔλεγχος ἀνεπαχθὴς ἐγίνετο, καὶ τὸ ἐγκώμιον οὐκ ἠφίει αὐτοὺς καταπεσεῖν. τί δέ ἐστιν "ἵνα πληρωθῆτε τῇ ἐπιγνώ-"σει τοῦ θελήματος αὐτοῦ;" [a] αυτου διὰ τοῦ Υἱοῦ προσάγεσθαι ἡμᾶς αὐτῷ, οὐκέτι δι' Ἀγγέλων· ὅτι μὲν οὖν δεῖ προσάγεσθαι, ἔγνωτε· λείπει δὲ ὑμῖν τὸ τοῦτο μαθεῖν, καὶ διά τι τὸν Υἱὸν ἔπεμψεν.

"Ἐν πάσῃ σοφίᾳ," φησὶν, "καὶ συνέσει πνευματικῇ·" ἐπειδὴ γὰρ αὐτοὺς οἱ φιλόσοφοι ἠπάτουν, βούλομαι ὑμᾶς, φησὶν, ἐν πνευματικῇ σοφίᾳ εἶναι· δείκνυσι δὲ ἐνταῦθα ὅτι ἐξ ἐκείνου ὁ Παῦλος εὔχεται· καὶ οὐδέπω ἤνυσεν, καὶ οὐκ ἀπέστη. τὸ γὰρ "ἀφ' ἧς ἡμέρας "ἠκούσαμεν," τοῦτο δηλοῖ· κατάγνωσιν δὲ αὐτοῖς φέρει ἐξ ἐκείνου

[a] Verbum legi non potest.

ὅτι καὶ εὐχαῖς βοηθούμενοι μὴ ἀνεκτήσαντο ἑαυτούς· "καὶ αἰτούμενοι, μετὰ πολλῆς τῆς σπουδῆς, εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίους τοῦ "Κυρίου." ἐνταῦθα περὶ βίου καὶ τῶν ἔργων φησίν· ἀεὶ γὰρ τῇ πίστει συζεύγνυσι τὴν πολιτείαν. "εἰς πᾶσαν ἀρέσκειαν· ἐν "παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανόμενοι ἐν τῇ πί- "στει τοῦ Θεοῦ." ὥσπερ, φησὶν, ἀθρόως ὑμῖν ἑαυτὸν ἀπεκάλυψεν, καὶ ὥσπερ τηλικαύτην ἐλάβετε γνῶσιν, οὕτω καὶ πολιτείαν ἀξίαν ἐπιδείξασθε τῆς πίστεως· "ἐν πάσῃ σοφίᾳ καὶ δυνάμει δυναμού- "μενοι·" ἐνταῦθα περὶ τῶν περασμῶν καὶ τῶν διωγμῶν, φησὶν, εὐχόμεθα, ἵνα πληρωθῆτε δυναμούμενοι· ὥστε μὴ ἀκηδιάσαι μηδὲ ἀπογνῶναι· "κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ." ἀλλ' ἵνα τοιαύτην ἀναλάβητε προθυμίαν οἵαν πρέπει τῇ ἰσχύϊ τῆς δόξης αὐτοῦ δοῦναι· "εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν" εὐχόμεθα, φησὶν, ὥστε ἐνάρετον ὑμᾶς βίον ἔχειν, καὶ τῆς πολιτείας ἄξιον, καὶ στῆναι βεβαίως δυναμωθέντας, ὡς εἰκὸς ἀπὸ Θεοῦ δυναμωθῆναι· μακροθυμίαν πρὸς ἀλλήλους, ὑπομονὴν πρὸς τοὺς ἔξω· μακροθυμεῖ γάρ τις πρὸς ἐκείνους, οὓς δυνατὸν καὶ ἀμύνασθαι· ὑπομένει δὲ οὓς οὐ δύναται ἀμύνασθαι. διὰ τοῦτο ἐπὶ μὲν Θεοῦ οὐδέποτε ὑπομονὴ λέγεται, μακροθυμία δὲ πολλαχοῦ.

"Εἰς τὸ περιπατῆσαι ὑμᾶς" φησὶν, τουτέστιν ἀεί· οὐχ ἅπαξ, ἀλλὰ διὰ παντός· ὥσπερ γὰρ τὸ περιπατεῖν ἀναγκαῖον ἡμῖν, οὕτω καὶ τὸ ὀρθῶς βιοῦν· καὶ ἀεὶ περίπατον τὸ τοιοῦτο καλεῖ· εἰκότως· δεικνὺς ὅτι οὗτος ὁ βίος ἡμῖν ἐστιν ὁ προκείμενος· ἀλλ' οὐχ ὁ κοσμικός· καὶ πολὺ δὲ τὸ ἐγκώμιον· "περιπατῆσαι καὶ ὑμᾶς" φησὶν "ἀξίως τοῦ Κυρίου ἐν παντὶ ἔργῳ ἀγαθῷ·" ὥστε ἀεὶ ἐπιδιδόναι, καὶ μηδαμοῦ ἵστασθαι· καὶ μεταφορικῶς "καρποφοροῦντες "καὶ αὐξανόμενοι ἐν τῇ ἐπιγνώσει τοῦ Θεοῦ." ἵνα οὕτω δυναμωθῆτε κατὰ τὴν ἰσχὺν τοῦ Θεοῦ, ὡς ἀνθρώπῳ δυνατὸν ᾖ, "διὰ τοῦ "κράτους αὐτοῦ·" πολλὴ παραμυθία· οὐκ εἶπεν δύναμιν, ἀλλὰ "κράτος," ὅπερ μεῖζόν ἐστιν· "διὰ τοῦ κράτους," φησὶ, "τῆς "δόξης αὐτοῦ·" ὅτι πανταχοῦ ἡ δόξα αὐτοῦ κρατεῖ.

11
12 Μετὰ χαρᾶς· εὐχαριστοῦντες τῷ Θεῷ.

Ἡ ἀκολουθία αὕτη ἐστὶν, οὐ παυόμεθα προσευχόμενοι ὑπὲρ ὑμῶν καὶ εὐχαριστοῦντες ἐπὶ τοῖς προτέροις.

Τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί.

Μέγα ἐφθέγξατο· τοιαῦτά ἐστι τὰ δεδομένα φησίν· ὡς μὴ δοῦναι μόνον, ἀλλὰ καὶ ἰσχυροὺς ποιῆσαι πρὸς τὸ λαβεῖν. τὸ οὖν εἰπεῖν "ἱκανώσαντι," πολὺ τὸ βάρος ἔδειξεν· οἷον ἐὰν ᾖ τὶς βασιλεὺς, δυνατὸν αὐτῷ ἐπαρχότητα δοῦναι ᾧ βούλεται· καὶ τοσοῦτον δύναται μόνον, ὥστε τὸ ἀξίωμα δοῦναι· ἀλλ' οὐχὶ καὶ ἐπιτήδειον ποιῆσαι πρὸς τὴν ἀρχὴν[b] τὸν τοιοῦτον καὶ καταγέλαστον ἡ τιμὴ ποιεῖ· ἐὰν μέντοι καὶ τὸ ἀξίωμα δῷ, καὶ ἐπιτήδειον ποιήσῃ πρὸς τὴν τιμὴν, καὶ ἱκανὸν πρὸς τὴν οἰκονομίαν, τότε τιμὴ τὸ πρᾶγμα ἐστίν. τοῦτο οὖν καὶ ἐνταῦθα φησίν· ὅτι οὐ μόνον ἔδωκε τὴν τιμὴν, ἀλλὰ καὶ ἰσχυροὺς πρὸς τὸ λαβεῖν ἐποίησεν. κλῆρον δὲ καλεῖ, δεικνὺς ὅτι ὥσπερ ὁ κλῆρος ἐπιτυχίας μᾶλλον ἐστὶν, οὕτω δὴ καὶ ἐνταῦθα· οὐδεὶς γὰρ τοιαύτην ἐπιδείκνυται πολιτείαν, ὥστε βασιλείας ἀξιωθῆναι, ἀλλὰ τῆς αὐτοῦ δωρεᾶς ἐστι τὸ πᾶν· διὰ τοῦτό φησιν, "ὅταν πάντα ποιήσητε, λέγετε ἀχρεῖοι δοῦλοι ἐσμέν· ἃ γὰρ ὠφείλαμεν ποιῆσαι πεποιήκαμεν."

"Εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί·" καὶ τῷ μέλλοντι λέγει, καὶ τῷ παρόντι, τουτέστιν, τῇ γνώσει· δοκεῖ δέ μοι καὶ περὶ τῶν παρόντων καὶ περὶ τῶν μελλόντων ὁμοῦ λέγειν· εἶτα δείκνυσιν ὧν ἠξιώθημεν· οὐ γὰρ τοῦτο μόνον ἐστὶ τὸ θαυμαστὸν, ὅτι βασιλείας ἀξιούμεθα, ἀλλ' ὅτι καὶ τίνες ὄντες δεῖ προστιθέναι.

13 Ὃς ἐρρύσατο ἡμᾶς ἀπὸ τῆς ἐξουσίας τοῦ σκότους τούτου.

Αὐτοῦ τὸ πᾶν ἐστι, καὶ ταῦτα δοῦναι κακεῖνα· οὐδαμοῦ γὰρ ἡμῶν τὸ κατόρθωμα· "σκότους" δὲ φησὶν, τῆς πλάνης, τοῦ διαβόλου τῆς τυραννίδος· διὰ τοῦτο γὰρ καὶ "ἐξουσίας" φησίν· ἐκράτει γὰρ ἡμῶν.

Καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ.

Μέγα μὲν οὖν καὶ τοῦ σκότους ἀπαλλάξαι· τὸ δὲ καὶ εἰς

[b] Verbum legi non potest.

βασιλείαν ἀγαγεῖν, πολλῷ μεῖζον· "ὃς ἐρρύσατο," φησὶν, ἡμᾶς·" οὐκ εἶπεν ἐξέβαλεν, ἀλλ' "ἐρρύσατο·" τὴν πολλὴν ταλαιπωρίαν δεικνὺς ἡμῶν καὶ τὴν αἰχμαλωσίαν· εἶτα καὶ τὸ εὔκολον τῆς τοῦ Θεοῦ δυνάμεως. "καὶ μετέστησε," φησὶν, ὥσπερ ἂν εἴ τις στρατιώτων ἀπὸ τόπου εἰς τόπον μεταγάγοι· καὶ οὐκ εἶπεν μετάγαγεν, οὐδὲ μετέθηκεν, τὸ μὲν γὰρ ὅλον τοῦ μεταθέντος ἦν, οὐ τοῦ μετελθόντος, ἀλλὰ "μετέστησεν." ὥστε καὶ ἡμῶν καὶ αὐτοῦ ἐστιν. "εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ·" οὐχ ἁπλῶς εἶπεν βασιλείαν οὐρανῶν, ἀλλὰ σεμνότερον εἰργάσατο τὸν λόγον, "βασιλείαν Υἱοῦ" εἰπών· ὃ καὶ ἀλλαχοῦ φησίν· "εἰ "ὑπομένομεν, καὶ συμβασιλεύσομεν·" τῶν αὐτῶν ἠξίωσεν ἡμᾶς τῷ Υἱῷ· ἀλλὰ καὶ ἡ ἐπίτασις, τῷ ἀγαπητῷ, τοὺς ἐχθροὺς, τοὺς ἐσκοτισμένους· καὶ οὐδὲ τοῦτο, ἀλλὰ καὶ τὸ τῆς φύσεως ὁμότιμον· τί γάρ φησιν; "ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου." ἀλλ' οὐκ εὐθέως ἐπὶ τοῦτο ἦλθεν· ἀλλὰ παρενέβαλεν τὴν εὐεργεσίαν τὴν εἰς ἡμᾶς· ἵνα γὰρ μὴ ἀκούων τίς, ὅτι τὸ πᾶν τοῦ Πατρὸς ἦν, νομίσῃ τὸν Υἱὸν ἐκτὸς εἶναι· δίδωσι τὸ πᾶν τῷ Υἱῷ καὶ τὸ πᾶν τῷ Πατρί· ἐκεῖ μὲν γὰρ μετέθεικεν· ἀλλ' οὗτος τὴν αἰτίαν παρέσχεν· τί γὰρ φησίν; "ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξου-"σίας τοῦ σκότους."

ΚΕΦ. Γ.

Περὶ τῆς ἐν Χριστῷ κτίσεως καὶ ἀνακτίσεως τῆς κατὰ συνάφειαν Θεοῦ.

Ταυτὸν δέ ἐστιν "*ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν τὴν ἄφεσιν "τῶν ἁμαρτημάτων·" εἰ γὰρ μὴ ἀφείθημεν τῶν ἁμαρτημάτων οὐκ ἂν μετέστημεν ἐνταῦθα· ἰδοὺ πάλιν ἐνταῦθα τὸ "ἐν ᾧ·" καὶ οὐκ εἶπεν λύτρωσιν, ἀλλ' "ἀπολύτρωσιν·" ὥστε μηδὲ ἐκπεσεῖν λοιπὸν, μηδὲ γενέσθαι θνητούς.*

(Σετηριανοῦ.) *Ἕτερος δὲ φησὶν, καὶ πρὸ τοῦ κατακλυσμοῦ καὶ μετὰ κατακλυσμοῦ, πρὸ τοῦ νόμου καὶ ἐν τῷ νόμῳ, ἦσαν Ἄγγελοι ὑπηρετούμενοι τῷ Θεῷ, πρὸς τὴν ἡμετέραν σωτηρίαν· ἀλλ' οὐδὲν κατώρθωσαν· νυνὶ δὲ ὁ Θεὸς διὰ τῆς οἰκονομίας τοῦ Κυρίου μετέστησεν ἡμᾶς ἐς τὴν βασιλείαν αὐτοῦ, ὃν ἠγάπησεν· Ἀγγέλους μὲν γὰρ ὡς λειτουργοὺς ἀγαπᾷ, Χριστὸν δὲ ὡς Υἱόν. οὐκ ἤγαγεν οὖν*

ὑμᾶς εἰς τὴν τῶν Ἀγγέλων, ἀλλ' "εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς "ἀγάπης αὐτοῦ·" ὑπὸ τὸν κληρονόμον ἐσμέν· οὐχ ὑπὸ τοὺς οἰκέτας. "Υἱὸν οὖν ἀγάπης" λέγει· ἐπειδὴ ὡς Υἱὸς ἀγαπᾶται· οὐκ ἐπειδὴ τῆς ἀγάπης τοῦ Θεοῦ ἐστιν· οὐδὲ γὰρ οἱ υἱοὶ τῆς ἀπειθείας, ταύτης υἱοὶ φύσει· οὐδὲ οἱ υἱοὶ τῆς γεέννης, ταύτης τέκνα· οὐδὲ υἱὸς φύσει ἀπωλείας ὁ διάβολος· οὐδὲ υἱὸς ἁμαρτίας ὁ ἀντικείμενος· οὕτως οὐδὲ τῆς ἀγάπης Υἱὸς ὁ Κύριος· ἀλλ' ἐπειδὴ εἰσὶν ἀγαπώμενοι δοῦλοι, ὁ δὲ Υἱὸς ὡς Υἱὸς ἀγαπᾶται, εἶπεν "τοῦ "Υἱοῦ τῆς ἀγάπης αὐτοῦ."

Ἢ οὕτως· "μετέστησεν ἡμᾶς εἰς τὴν βασιλείαν τῆς ἀγάπης "τοῦ Υἱοῦ αὐτοῦ·" ἐπειδὴ ἀγαπήσας ἡμᾶς ὁ Υἱὸς, ἔπαθεν ὑπὲρ ἡμῶν, ἵνα τῆς βασιλείας αὐτοῦ καταξιώσῃ ἡμᾶς· διὰ τοῦτο φησὶν, "μετέστησεν ἡμᾶς εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ αὐτοῦ·" τὸ γὰρ ἀπαράλλακτον ἔχων πρὸς τὸν γεγεννηκότα, κατὰ τὸ ἀγαπῆσαι καὶ εὐεργετῆσαι τοὺς ἁμαρτωλοὺς, εἰκών ἐστι τοῦ Πατρός.

Ἀλλ' ὁ ἀνόσιος Θεόδωρος τούτοις ἀντιφθεγγόμενος, ἕνα σκοπὸν ἔχων Ἰουδαϊκῶς καὶ βλασφήμως τὰς θείας γραφὰς ἑρμηνεύειν, τὰς δεικνύσας τοῦ Χριστοῦ τὴν θεότητα, καὶ τὴν προκειμένην χρῆσιν οὕτως ἐξηγήσατο. οὐκ εἶπεν, φησὶν, τοῦ υἱοῦ ἀλλὰ "τοῦ "υἱοῦ τῆς ἀγάπης αὐτοῦ·" οὐ γὰρ κοινωνοὶ τῆς βασιλείας τοῦ Θεοῦ Λόγου γινόμεθα, ἀλλὰ τοῦ ἀναληφθέντος ἀνθρώπου, ᾧ κοινωνοῦμεν τῆς τιμῆς διὰ τὴν φυσικὴν ὁμοιότητα, ὅταν πρὸς αὐτὸν διάθεσιν ἐπὶ τῶν ἔργων ἐπιδειξώμεθα· ὅθεν καὶ "υἱὸν ἀγάπης" αὐτὸν ἐκάλεσεν· ὡς οὐ φύσει τοῦ Πατρὸς ὄντα υἱὸν ἀλλ' ἀγάπῃ τῆς υἱοθεσίας ἀξιωθέντα τούτων. τί ἂν εἴη ἀσεβέστερον, τοῖς εὐτυγχάνουσιν καταλείψω σκοπεῖν.

14 Ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ.

Οὐκ ἐν Ἀγγέλῳ ἐλυτρώθημεν· ἀλλ' ἐν τῷ Υἱῷ, οὐχ ἁπλῶς προστάξαντι, ἀλλὰ μέχρις αἵματος ἀντικαταστάντι· ὥστε ὀφείλομεν αὐτῷ τὴν εἰς αὐτὸν οἰκείωσιν.

15 Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως.

Εἰ τὸ Θεὸς ὄνομα τῆς οὐσίας τοῦ Θεοῦ, εἰκὼν δὲ τοῦ Θεοῦ ὁ Υἱὸς, ὁ Υἱὸς εἰκὼν τῆς οὐσίας. εἰ δὲ λέγοιεν μὴ εἶναι τῆς οὐσίας ὁ Υἱὸς, τὸ ἀόρατον ὄνομα τίνος δώσουσι; τῆς οὐσίας ἢ ἑτέρου τινός; ἀλλ' οὐδενὸς ἑτέρου τὸ ἀόρατον, ἢ μόνης τῆς οὐσίας· ὡς καὶ ἀλλαχοῦ· "ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ Θεῷ·" ἄφθαρτος δὲ ἡ οὐσία τοῦ Θεοῦ· οὐκ οὖν καὶ ἀόρατος ἡ οὐσία τοῦ Υἱοῦ· "εἰκὼν "δὲ τοῦ Θεοῦ τοῦ ἀοράτου," τῆς οὐσίας ἄρα εἰκών· ἄρα οὖν οὐ καθ' ὃ πρωτότοκος εἰκών· ἀλλ' εἰκὼν μὲν τοῦ Θεοῦ, πρωτότοκος δὲ τῆς κτίσεως. ἐπειδὴ γὰρ εἶπεν εἰκὼν τοῦ Θεοῦ, τὸ ἀπαράλλακτον τῆς πρὸς τὸν Πατέρα οὐσίας δεικνὺς τοῦ Υἱοῦ· ἵνα σοι δείξῃ ὅτι καὶ πρὸ πάντων ἐστίν· εἴρηκεν ὅτι καὶ πρωτότοκος πάσης κτίσεως γεγεννημένος· καὶ τῇ ἐπαγωγῇ πλέον τοῦτο δείκνυσι λέγων,

16 Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα.

Εἰ δὲ μὴ ἦν πρὸ πάντων, πῶς ἐν αὐτῷ τὰ πάντα ἐκτίζετο; ὥστε τὸ πρωτότοκος, οὐ κυρίως εἴληπται. ἐπεὶ ἐναντίον ἐστὶ τῷ μονογενεῖ· φύσει γὰρ μονογενὴς μέν ἐστιν, ὁ μόνος πατρί· πρωτότοκος δὲ, ὁ ἔχων ἄλλους ἀδελφοὺς, ὧν ἐστι πρῶτος. καὶ ἑκάτερα λαμβάνεσθαι κυρίως οὐκ ἐγχωρεῖ. ἐν αὐτῷ δὲ εἶπεν ἐκτίσθαι τὰ πάντα· ἵνα ἀποστάντες τοῦ ἐλπίζειν εἰς Ἀγγέλους, τὰς ἐλπίδας ἔχωμεν ἐν Χριστῷ· καὶ ταύτην ἔχει τὴν αἰτίαν τῆς θεολογίας ὁ Παῦλος· καὶ τοῦ δημιουργὸν αὐτὸν δεῖξαι πάσης κτίσεως· τὸ δὲ "ἐν αὐτῷ," ἀντὶ τοῦ δι' αὐτοῦ λέγεται.

Χρυσοστόμου. Τίνος οὖν βούλει εἰκόνα εἶναι; οὐκοῦν καὶ ἀπαράλλακτος οὗπερ ἂν θῇς· εἰ μὲν γὰρ ὡς ἀνθρώπου εἰκὼν, εἰπὲ, καὶ λοιπὸν ὡς μαινομένου ἀποστήσομαι· εἰ δὲ ὡς Θεὸς καὶ Θεοῦ Υἱὸς, εἰκὼν, τὸ ἀπαράλλακτον δείκνυσιν· διὰ τί μηδαμοῦ μήτε εἰκὼν μήτε υἱὸς Ἄγγελος κέκληται, ἀλλ' ἄνθρωπος ἀμφότερα; διὰ τί; ὅτι ἐκεῖ μὲν τὸ τῆς φύσεως ἀνηγμένον, ταχέως ἂν τοὺς πολλοὺς εἰς ταύτην τὴν ἀσέβειαν ἐνέβαλεν· ἐνταῦθα δὲ τὸ εὐτελὲς καὶ ταπεινὸν ἐγγυᾶται τὴν ἀσφάλειαν· καὶ οὐδὲ βουλομένους ἀφίησιν ὑποπτεῦσαί τι τοιοῦτο, καὶ καταγαγεῖν κάτω τὸν λόγον. διὰ τοῦτο ἔνθα μὲν ἦν πολλὴ ταπεινότης, θαρρούντως ἡ γραφὴ τίθησι τὴν τιμήν· ἔνθα δὲ μείζων ἡ φύσις, οὐκέτι· ἡ γὰρ τοῦ ἀοράτου εἰκὼν

καὶ αὕτη ἀόρατος, καὶ ὁμοίως ἀόρατος· ἐπεὶ οὐδ' ἂν εἰκὼν εἴη· τὴν γὰρ εἰκόνα, καθό ἐστιν εἰκὼν, καὶ παρ' ἡμῖν ἀπαράλλακτον εἶναι δεῖ· οἷον τῶν χαρακτήρων καὶ τῆς ὁμοιώσεως· ἀλλ' ἐνταῦθα μὲν οὐδαμῶς τοῦτο δυνατόν· τέχνη γάρ ἐστιν ἀνθρωπίνη ἡ πολλαχοῦ διαπίπτουσα· μᾶλλον δὲ ἀπανταχοῦ ἂν μετὰ ἀκριβείας ζητῇς· ἔνθα δὲ Θεὸς, οὐδαμοῦ σφάλλεται, οὔτε διάπτωσίς τις γίνεται. εἰ δὲ κτίσμα, πῶς εἰκών; οὐδὲ γὰρ ἵππος ἀνθρώπου εἰκών· εἰ μὴ τὸ ἀπαράλλακτον τοῦ ἀοράτου δηλοῖ ἡ εἰκών· τί κωλύει καὶ ἀγγέλους εἰκόνα εἶναι; καὶ γὰρ καὶ οὗτοι ἀόρατοι· ἀλλ' οὐχ ἑαυτοῖς· ἀλλὰ ψυχὴ ἀόρατος· ἀλλ' ἢ ἐπειδὴ ἀόρατος ἁπλῶς, διὰ τοῦτο εἰκών· καὶ μὴ οὕτως ὥσπερ αὐτὸς, καὶ ἄγγελοι εἰκόνες.

"Πρωτότοκος πάσης κτίσεως" τί οὖν φασίν; ἰδοὺ ἔκτισται· καὶ μὴν οὐ πρωτόκτιστος εἴρηται, ἀλλὰ πρωτότοκος ἐπὶ τὰ πολλὰ εἰκὸς αὐτὸν λέγεσθαι· καὶ γὰρ ἀδελφὸν αὐτὸν δεῖ λέγειν κατὰ πάντα, καὶ τὴν δημιουργίαν ἀφαιρεῖν· καὶ μήτε ἀξιώματι μήτε ἄλλῳ τινὶ προέχειν· τὸ γὰρ πρωτότοκος οὐχὶ ἀξίας τιμὴ οὐδὲ ἄλλου τινὸς, ἀλλὰ χρόνου μόνον. τί σημαίνει ὁ πρωτότοκος; τὸ ἔκτισται φησὶν, καλῶς· ἐὰν οὖν τοῦτο ᾖ· καὶ ἀδελφοὺς ἔχει, καὶ ὁμοούσιος ἐστὶν ὧν ἐστὶ πρωτότοκος. οὐκοῦν πάντων ἔσται ὁ υἱὸς πρωτότοκος, καὶ λίθων; πάσης γὰρ εἶπεν κτίσεως· οὐκοῦν καὶ λίθων; καὶ ἐμοῦ πρωτότοκός ἐστιν ὁ Θεὸς Λόγος· ἄλλως δὲ, εἰπέ μοι, πρωτότοκος ἐκ τῶν νεκρῶν· καὶ οὐκ εἶπεν ὅτι ἀπέθανε πρῶτος· ἀλλ' ὅτι πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνέστη· ὥστε οὐδὲν ἕτερον δηλοῖ ἢ τοῦτο· ὅτι τῆς ἀναστάσεως ἀπαρχὴ γέγονεν· οὐκοῦν οὐδὲ ἐνταῦθα· εἶτα λοιπὸν ἐμβαίνει εἰς τὸ δόγμα αὐτό· ἵνα γὰρ μὴ νομίσωσιν νεώτερον αὐτὸν εἶναι, διὰ τὸ πάλαι μὲν δι' Ἀγγέλων προσάγεσθαι, νῦν δὲ δι' αὐτοῦ· δείκνυσι πρῶτον, ὅτι οὐδὲν ἴσχυσαν ἐκεῖνοι, οὐ γὰρ ἀπὸ σκότους εἰς φῶς ἀγαγεῖν ἠδυνήθησαν, ὡς οὗτος. δεύτερον ὅτι καὶ πρὸ αὐτῶν ἐστιν, καὶ σημεῖον ποιεῖται τὸ πρὸ αὐτῶν εἶναι τὸ δι' αὐτοῦ αὐτοὺς ἐκτίσθαι.

(Βασίλειος.) Καὶ τὸ μακάριος δὲ Βασίλειος ἐν τοῖς κατ' Εὐνομίου λόγοις φησὶν, εἰκὼν οὐκ ἄψυχος οὐδὲ χειρόκμητος οὐδὲ τέχνης ἔργον καὶ ἐπινοίας, ἀλλ' εἰκὼν ζῶσα· μᾶλλον δὲ αὐτὸ οὖσα ζωή· οὐκ ἐν σχήματος ὁμοιότητι, ἀλλ' ἐν αὐτῇ τῇ οὐσίᾳ τὸ ἀπαράλλακτον διασώζουσα. ὁμοίως καὶ ἐν τῷ δευτέρῳ λόγῳ τῆς

αὐτῆς ὑποθέσεως· εἰ δὲ ὅτι "πρωτότοκος πάσης κτίσεως," καὶ "πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς" ὁ Κύριος προσηγόρευται, τοῦτο αὐτοὺς παιδοτριβεῖ πρὸς ἀσέβειαν, διδασκέσθωσαν ἐκ τοῦ Εὐαγγελίου, ὅτι καὶ μητέρα ἑαυτοῦ καὶ ἀδελφοὺς ὁ Κύριος τοὺς ἐκ τῶν ἔργων τῆς ἀρετῆς οἰκειωθέντας προσαγορεύει· "τίς γάρ ἐστι," φησὶν, "ἡ μητήρ μου, καὶ τίνες οἱ ἀδελφοί μου; ἀλλ' ἢ οἱ ποιοῦν-"τες τὸ θέλημα τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς." ὥστε καὶ πατὴρ ἡμῶν ὁ Θεὸς, οὐ καταχρηστικῶς οὐδὲ ἐκ μεταφορᾶς, ἀλλὰ κυρίως καὶ πρώτως καὶ ἀληθινῶς ὀνομάζεται· εἰ δὲ ἡμῶν τῶν χάριτι τῆς υἱοθεσίας ἠξιωμένων ἀληθῶς κέκληται Πατὴρ ὁ Θεός· τίς ἀφαιρήσεται λόγος τοῦ κατὰ φύσιν Υἱοῦ, μὴ οὐχὶ πρεπόντως αὐτὸν Πατέρα προσαγορεύεσθαι;

(Γρηγόριος.) Καὶ Γρηγόριος δὲ ὁ θεόλογος ἐν τῷ περὶ Υἱοῦ δευτέρῳ λόγῳ ὁμοίως φησὶν, εἰκὼν δὲ ὡς ὁμοούσιον· καὶ ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου πατήρ· αὕτη γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου καὶ οὗ λέγεται, πλὴν ὅτι καὶ πλεῖον· ἐκεῖ μὲν γὰρ ἀκίνητος κινουμένου· ἐνταῦθα δὲ ζῶντος καὶ ζῶσα καὶ πλεῖον ἔχουσα τὸ ἀπαράλλακτον, ἢ τοῦ Ἀδὰμ ὁ Σὴθ, καὶ τοῦ γεννῶντος παντὸς τὸ γεννώμενον. τοιαύτη γὰρ ἡ τῶν ἁπλῶν φύσις· μήτε μὲν ἐοικέναι, τὸ δὲ ἀπεοικέναι, ἀλλ' ὅλον ὅλου τύπον εἶναι καὶ ταυτὸν μᾶλλον ἢ ἀφομοίωμα.

(Κύριλλος.) Ὁ μακάριος δὲ Κύριλλος ἐν τῷ ἐπιγεγραμμένῳ βιβλίῳ Θησαυρὸς φησὶν, πρωτότοκος οὐχ ἁπλῶς οὐδὲ ἀπολελυμένως, ἀλλ' ἐν πολλοῖς ἀδελφοῖς, καθάπερ γέγραπται· πότε οὖν ἄρα γέγονεν ἡμῶν ἀδελφός; εἰ μὴ ὅτε τὴν ἡμῶν περιεβάλλετο σάρκα· οὐκοῦν τότε πρωτότοκος, ὅτε πολλοὺς κατὰ χάριν ἀπέδειξεν υἱοὺς Θεοῦ; πρωτότοκος πάσης καλεῖται κτίσεως, οὐχ ὡς πρῶτος αὐτῆς κατὰ χρόνον ὑπάρχων, οὐδὲ τῆς αὐτῆς τοῖς κτίσμασιν ὑπάρχων οὐσίας, ἀλλὰ διὰ τὴν πρὸς τὰ κτίσματα συγκατάβασιν, καὶ τὴν πρὸς ἡμᾶς ὁμοίωσιν. παρατηρῆσαι δὲ ὅμως κακεῖνο καλόν· μονογενὴς καλεῖται καὶ πρωτότοκος· ὅτε μὲν οὖν μονογενὴς ὀνομάζεται, οὐδεμίας αὐτῷ συμπεπλεγμένης αἰτίας καθ' ἣν ἐστι μονογενὴς, τοῦτο καλεῖται, ἀλλ' ἀπολελυμένως. "ὁ μονογενὴς "Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός·" ὅτε δὲ πρωτότοκον

αὐτὸν αἱ θεῖαι καλοῦσι γραφαὶ, εὐθὺς ἐπιφέρουσι καὶ ὧν ἐστι πρωτότοκος, καὶ τὴν αἰτίαν δι' ἣν καὶ ταύτην ἔχει τὴν ἐπωνυμίαν· "πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς·" "πρωτότοκος ἐκ τῶν νεκρῶν." ἐπειδὴ γὰρ ἔδει τὸν Υἱὸν τοῦ Θεοῦ κατὰ φύσιν ἔχοντα τὸ πρωτεύειν, καὶ ὅτε γέγονεν ἄνθρωπος, τοῦτο μὴ ἀπολέσαι· εἰκότως καὶ τῆς πρὸς ἡμᾶς ὁμοιώσεως ἐπιλαβόμενος, πάσης προτάττεται κτίσεως. οὐ γὰρ καθ' ὃ γέγονεν ἄνθρωπος, ἐλάττον ἔσται τινὸς, ὅσον εἰς τὸ πρέπον ἀξίωμα τῇ θείᾳ φύσει, ἀλλὰ καὶ οὕτω πρωτεύσει καὶ καθηγήσεται πάσης ὁμοῦ κτίσεως, ἅτε δὴ ποιητὴς ὑπάρχων αὐτῶν καὶ Κύριος.

Θεόδωρος δέ φησιν, τὸ "πρωτότοκος" οὐκ ἐπὶ χρόνου λέγεται μόνον· ἀλλὰ γὰρ καὶ ἐπὶ προτιμήσεως πολλάκις, ὡς τὸ "ἐπικαλέσεταί με, πατήρ μου εἶ συ· καὶ ἐγὼ πρωτότοκον θήσομαι αὐτόν." οὐ τοῦτο εἰπόντος τοῦ Θεοῦ, ὅτι ἕκαστον αὐτῶν πρότερον ποιήσω τῷ χρόνῳ τῶν λοιπῶν· ἀλλ' ὅτι περὶ πολλοῦ ποιήσομαι. λέγει δὲ ταῦτα φησὶν ὁ Δαβὶδ, τῶν πρὸς αὐτὸν ἐπαγγελιῶν τοῦ Θεοῦ μνημονεύων, ὡς ἂν ὑποσχομένου τοὺς ἐξ αὐτοῦ κατὰ διαδοχὴν οἰκειώσεσθαι. ὁ δὲ Ἀπόστολος φησὶν τὸ ἐκκλησίᾳ πρωτοτόκων ἀπογεγραμμένων ἐν οὐρανοῖς· ἵνα εἴπῃ τὸν πολλῆς ἄγαν ἠξιωμένον τῆς τιμῆς· καὶ "τὸ υἱὸς πρωτότοκός μου Ἰσραήλ·" ἀντὶ τοῦ τίμιος ἐμοί· οὕτως φησὶ κἀνταῦθα "πρωτότοκος πάσης κτίσεως," ἀντὶ τοῦ παρὰ πᾶσαν τὴν κτίσιν τιμώμενος.

16 Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς
καὶ τὰ ἐπὶ τῆς γῆς, εἴτε ὁρατὰ εἴτε ἀόρατα, εἴτε θρόνοι,
εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξουσίαι· τὰ πάντα δι'
17 αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· καὶ αὐτός ἐστι πρὸ πάν-
των, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν.

Ὁ μακάριος Ἰωάννης φησὶν, τί λέγουσιν ἐνταῦθα οἱ Παύλου τοῦ Σαμοσατέως, ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς; ὅπερ ἀμφισβητούμενον ἦν, πρῶτον τέθεικεν· "καὶ τὰ ἐπὶ τῆς γῆς·" εἶτα φησὶν, "τὰ ὁρατὰ καὶ τὰ ἀόρατα," οἷον ψυχὴ, καὶ ὅσα ἐν οὐρανῷ γέγονεν ὁρατά· οἷον ἥλιος, πόλος. "εἴτε θρόνοι·" καὶ τὸ μὲν ὁμολογούμενον ἀφίησι, τὸ δὲ ἀμφιβαλλόμενον τίθησιν.

“εἴτε θρόνοι,” φησὶν, “εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἐξου-“σίαι·” τὸ “εἴτε καὶ εἴτε,” τοῦ παντὸς περιληπτικόν ἐστιν. ἀπὸ τῶν μειζόνων καὶ τὰ ἐλάττω δεικνύντός ἐστιν. τὸ δὲ Πνεῦμα οὐ μετὰ τῶν ἐξουσίων τὰ πάντα δι᾽ αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· ἰδοὺ τὸ “ἐν αὐτῷ” δι᾽ αὐτοῦ ἐστιν. εἰπὼν γὰρ ὅτι “ἐν αὐτῷ,” ἐπή-γαγεν “δι᾽ αὐτοῦ·” τὸ δὲ “εἰς αὐτὸν” τί ἐστιν; τουτέστιν εἰς αὐτὸν κρέμαται πάντων ἡ ὑπόστασις· οὐ μόνον αὐτὸς αὐτὰ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήγαγεν, ἀλλὰ καὶ αὐτὸς αὐτὰ συγκρα-τεῖ νῦν· ὥστε ἂν ἀποσπασθῇ τῆς αὐτοῦ προνοίας, ἀπόλωλε καὶ διέφθαρται, ἀλλ᾽ οὐκ εἶπεν διακρατεῖ, ὅπερ ἦν παχύτερον, ἀλλὰ λεπτότερον, ὅτι εἰς αὐτὸν κρέμαται· μόνον τὸ πρὸς αὐτὸν νεύειν ἱκανὸν διακρατῆσαι καὶ συσφίγξαι. οὕτως καὶ πρωτότοκος ὡς θεμέλιος· τοῦτο δὲ οὐ τὸ ὁμοούσιον τῶν κτισμάτων, ἀλλὰ τὸ δι᾽ αὐτοῦ πάντα εἶναι, καὶ ἐν αὐτῷ φέρεσθαι δηλοῖ· ἐπεὶ καὶ Παῦλος ὅταν λέγῃ “θεμέλιον τέθεικα,” οὐ περὶ οὐσιώσεως φησὶν, ἀλλὰ τῆς ἐνεργείας. ἵνα γὰρ μὴ νομίσῃς ὑπηρέτην εἶναι αὐτόν· φησὶν αὐτὸν αὐτὰ διακρατεῖν· ὅπερ οὐχ ἧττον τοῦ ποιῆσαι ἐστίν· καίτοι ἐφ᾽ ἡμῶν καὶ μεῖζον· ἐκεῖνο μὲν γὰρ ἡ τέχνη εἰσάγει· τοῦτο δὲ οὐκέτι, οὐδὲ διαφθειρόμενον κατέχει.

Καὶ αὐτός ἐστι πρὸ πάντων.

Τοῦτο Θεῷ ἁρμόζον· ποῦ Παῦλος ὁ Σαμοσατεύς;

Καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν.

Τουτέστιν εἰς αὐτὸν ἔκτισται· συνεχῶς αὐτὰ στέφει τῇ συνε-χείᾳ τῶν ῥημάτων καθάπερ πυκναῖς τισὶ πληγαῖς πρόρριζον ἀνασπῶν τὸ δόγμα τὸ ὀλέθριον· εἰ γὰρ καὶ τοσαῦτα εἴρηται, καὶ μετὰ τοσοῦτον χρόνον ἔφυ Παῦλος ὁ Σαμοσατεύς· πόσῳ μᾶλλον εἰ μὴ ταῦτα προείρητο; “καὶ τὰ πάντα,” φησὶν, “ἐν αὐτῷ συνέ-“στηκεν.” πῶς συνέστηκε τῷ οὐκ ὄντι; ὥστε καὶ τὰ δι᾽ Ἀγγέ-λων δι᾽ αὐτοῦ ἐστίν.

18 Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλη-σίας· ὅς ἐστιν ἀρχὴ, πρωτότοκος ἐκ τῶν νεκρῶν.

Εἰπὼν ἀνωτέρω περὶ τῆς ἀξίας· λέγει λοιπὸν καὶ περὶ τῆς φιλανθρωπίας· “αὐτός ἐστι,” φησὶν, “ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας·” οὐκ εἶπεν τοῦ πληρώματος· αὐτὸ μὲν δηλῶν·

θέλων δὲ ἡμῖν οἰκειότερον δεῖξαι αὐτόν· ὅτι οὕτως ἄνω καὶ πάντων ἀνώτερος, τοῖς κάτω ἑαυτὸν συνῆψεν· πανταχοῦ γὰρ πρῶτος· ἄνω πρῶτος· ἐν τῇ ἐκκλησίᾳ πρῶτος· κεφαλὴ γάρ ἐστιν· ἐν τῇ ἀναστάσει πρῶτος. τουτέστιν, ἵνα γένηται αὐτὸς πρωτεύων, ὡς καὶ ἐν γενέσει πρῶτος. καὶ τοῦτό ἐστι μάλιστα τὸ σπουδαζόμενον δεῖξαι τῷ Παύλῳ. ἂν γὰρ τοῦτο κατασκευασθῇ, ὅτι πρὸ πάντων ἦν τῶν Ἀγγέλων, κακεῖνο συνεισάγεται, ὅτι τὰς ἐκείνων αὐτὸς ἐποίει ἐπιτάττων· καὶ τὸ δὴ θαυμαστὸν ἐν τῇ ὑστέρᾳ ἐφιλονείκησε πρῶτον αὐτὸν δεῖξαι· καίτοι γε ἀλλαχοῦ πρῶτον φησὶ τὸν Ἀδάμ, ὥσπερ οὖν καὶ ἔστιν. ἀλλὰ τὴν Ἐκκλησίαν ἔλαβεν ἀντὶ τοῦ παντὸς ἀνθρώπων γένους· τῆς γὰρ Ἐκκλησίας πρῶτος ἐστίν· καὶ τῶν μὲν ἀνθρώπων καθάπερ ὁ τῆς κτίσεως πρῶτος τὸ κατὰ σάρκα· καὶ διὰ τοῦτο αὐτὸν καὶ ἐνταῦθα πρωτότοκον τίθησιν ἐκ τῶν νεκρῶν. τί ἐστιν ἐνταῦθα πρωτότοκος; ὁ πρῶτος κτισθείς· ἢ ὁ πρὸ πάντων ἀναστάς· ὥσπερ καὶ ἐκεῖ ὁ πρὸ πάντων ὤν· καὶ ἐνταῦθα μὲν ἀπαρχὴν τέθεικεν, εἰπὼν, "ὅς ἐστιν ἀπαρχὴ, πρωτότοκος ἐκ τῶν "νεκρῶν·" ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων· δεικνὺς ὅτι καὶ οἱ ἄλλοι τοιοῦτοι· ἐκεῖ δὲ οὐκ ἀπαρχὴ τῆς κτίσεως· καὶ ἐκεῖ μὲν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, καὶ τότε πρωτότοκος. ἀπαρχὴν δὲ εἶπεν, καθάπερ ἐπὶ καρποῦ τινός· δεικνὺς ὅτι πάντας ἡμᾶς ἡγίασεν· καὶ ὥσπερ θυσίαν προσήνεγκεν διὰ τῆς ἀπαρχῆς.

(Σευηριανός.) Καὶ Σευηριανὸς φησίν· εἰ μὴ ἦν πρὸ πάντων, πῶς ἐν αὐτῷ τὰ πάντα ἐκτίζετο; καὶ τὰ ἄλλα ὁμοίως. "καὶ "αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος τῆς ἐκκλησίας·" δημιουργὸς μὲν τῆς κτίσεως, δημιουργὸς δὲ καὶ τῆς ἡμετέρας ἐπιστροφῆς· ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρωτεύων. εἰ γὰρ κεφαλὴ τῆς ἐκκλησίας, καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ἐν πολιτείᾳ πρῶτος· καὶ ἐν παθήμασι πρῶτος, καὶ ἐν ὑπακοῇ πρῶτος· καὶ ἐν βαπτίσματι πρῶτος· ἐν πᾶσιν αὐτὸς πρωτεύει κατὰ τὴν οἰκονομίαν.

Θεόδωρος δὲ, καὶ ταύτην πλημμελῶς ἐξηγεῖται τὴν ῥῆσιν, φάσκων, οὐκ εἶπεν δι' αὐτοῦ, ἀλλ' "ἐν αὐτῷ." οὐ γὰρ τὴν πρώτην λέγει κτίσιν, ἀλλὰ τὴν ἐν αὐτῷ γενομένην ἀνάκτισιν, καθ' ἣν τὰ πάντα διαλελυμένα, εἰς συμφωνίαν ἤχθη μίαν, ὡς καὶ ἀλλαχοῦ φησὶν, "ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ· "τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς."

Ὅτι δὲ ταῦτα Παύλου τοῦ Σαμοσατέως φησὶν εἶναι ὁ μακάριος Ἰωάννης, φθάσαντες παρεθέμεθα. ἐναντιούμενος δὴ συνήθως πᾶσι τοῖς ἁγίοις πατράσι, καὶ ταῦτα ἐπιφέρει—οἵ δέ γε παρερμηνεύειν βουλόμενοι τὰ ῥητὰ καὶ τὸ "ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως," ἐπὶ τῆς θείας ἐκλαβεῖν ἐπιχειρήσαντες φύσεως, οὐδαμῶς συκοφαντῆσαι τὴν ἑρμηνείαν ἡμῶν δυνήσονται ἀπὸ τῆς ἀπὸ τῶν θείων ἐπὶ τὰ ἀνθρωπίνα μεταβάσεως, ἤτοι τῆς ἀπὸ τῶν ἀνθρωπίνων ἐπὶ τὰ θεῖα· τὸ γὰρ αὐτὸ καὶ αὐτοὺς ποιῆσαι ἀνάγκη· τὰ μὲν ἀνώτερα ἐπὶ τῆς ἄνω ἐκλαμβάνοντας φύσεως· τὸ δὲ "πρωτότοκος ἐκ τῶν νεκρῶν" εἰ τὰ πάντα ἀναισχυντοῖεν, οὐδαμῶς ἐκλαβεῖν ἐπὶ τῆς θείας δυναμένους φύσεως. προφανῶς τοίνυν κἂν τούτοις ἀπεδείχθη Θεόδωρος τὴν πρὸς τοὺς ἁγίους πάντας ἀράμενος μάχην.

19 Ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι,
20 καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνο-
ποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ, εἴτε τὰ ἐπὶ
τῆς γῆς, εἴτε τὰ ἐν τοῖς οὐρανοῖς.

(Χρυσοστόμου.) *Ὁ μακάριος Ἰωάννης φησίν· τὸ πλήρωμα οἱ μὲν τῆς θεότητος φασὶν, καθάπερ ὁ Ἰωάννης ἔλεγεν "ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν." τουτέστιν, εἴτι ἦν ὁ Υἱὸς, ὅλος ὁ Υἱὸς ἐκεῖ ᾤκησεν· οὐχὶ ἐνέργειά τις ἀλλ' οὐσία· οὐκ ἔχει δὲ αἰτίαν εἰπεῖν οὐδεμίαν, ἀλλὰ τὴν θέλησιν τοῦ Θεοῦ· τοῦτο γάρ ἐστιν "ὅτι ἐν αὐτῷ εὐδόκησεν·" καὶ "δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν·" ἵνα μὴ νομίσῃς ὅτι ὑπηρέτου τάξιν ἀνέλαβεν, "εἰς αὐτὸν φησίν·" καὶ μὴν ἀλλαχοῦ φησὶν ὅτι τῷ Θεῷ καταλάττει, καθάπερ ἐν τῇ πρὸς Κορινθίοις Ἐπιστολῇ φησίν. καλῶς εἶπεν "δι' αὐτοῦ ἀποκαταλλάξαι·" ἤδη γὰρ ἦσαν κατηλλαγμένοι· ἀλλὰ τελείως· ὥστε μηκέτι ἐχθραίνειν αὐτῷ. πῶς; οὐ γὰρ ἡ καταλλαγὴ ἀπεδίδοτο μόνον, ἀλλὰ καὶ ὁ τρόπος τῆς καταλλαγῆς· εἰρήνη διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ. μέγα μὲν τὸ καταλλάξαι· τὸ δὲ καὶ δι' αὐτοῦ, μεῖζον. καὶ τὸ τούτου μεῖζον, τὸ "διὰ τοῦ αἵματος·" οὐχ ἁπλῶς αἵματος· ἀλλὰ τὸ τούτου μεῖζον, "διὰ τοῦ ἰδίου σταυροῦ·" ὥστε πέντε θαυμαστά ἐστιν, τῷ Θεῷ κατήλλαξεν, δι' ἑαυτοῦ· διὰ τοῦ αἵματος*

αὐτοῦ· διὰ τοῦ σταυροῦ· ἵνα γὰρ μὴ νομίσῃς πέντε εἶναι, μηδὲ τὸν σταυρὸν εἶναί τι καθ' ἑαυτὸν, λέγει δι' ἑαυτοῦ· πῶς οἶδεν μέγα τοῦτο ὄν; ὅτι οὐ ῥήματα εἰπὼν, ἀλλ' ἑαυτὸν ἐκδοὺς ὑπὲρ τῆς καταλλαγῆς, οὕτως ἅπαντα εἰργάσατο.

Τί δὲ ἐστὶ "τὰ ἐν τοῖς οὐρανοῖς; τὰ μὲν γὰρ ἐπὶ τῆς γῆς·" εἰκότως· ἔχθρας γὰρ ἐμπέπληστο, καὶ εἰς πολλὰ διῄρητο· καὶ πρὸς ἑαυτὸν ἕκαστος ἡμῶν διεστασίαζεν, καὶ πρὸς τοὺς πολλούς· τὰ δὲ ἐν τοῖς οὐρανοῖς πῶς εἰρηνοποίησεν; ἢ καὶ ἐκεῖ πόλεμος ἦν καὶ μάχη; καὶ πῶς εὐχόμεθα λέγοντες "γενηθήτω "τὸ θέλημά σου ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς;" τί οὖν ἐστιν; ἀπέσχιστο ἡ γῆ τοῦ οὐρανοῦ· ἐκπεπολεμωμένοι ἦσαν οἱ Ἄγγελοι πρὸς τοὺς ἀνθρώπους· τὸν δεσπότην ὁρῶντες τὸν ἑαυτὸν ὑβριζόμενον· τὰ μὲν οὖν ἐν τοῖς οὐρανοῖς οὕτως μετέστησεν· ἐκεῖ τὸν ἄνθρωπον ἤγαγεν αὐτοῖς, τὸν ἐχθρὸν, τὸν μισούμενον· οὐ μένοντα ἐπὶ τῆς γῆς ἐποίησεν εἰρηνεύειν· ἀνήγαγεν πρὸς αὐτοὺς αὐτὸν τὸν ἐχθρὸν καὶ πολέμιον· τοῦτο εἰρήνη βαθεία. Ἄγγελοι ἐπὶ γῆς ἐφαίνοντο λοιπὸν, ἐπειδὴ καὶ ἄνθρωπος ἐν οὐράνῳ ἐφάνη. δοκεῖ δέ μοι ἡ ἁρπαγὴ τοῦ Παύλου τούτου ἕνεκεν γεγενῆσθαι, καὶ τοῦ δεῖξαι ὅτι καὶ ὁ Υἱὸς ἐκεῖ ἀνελήφθη. καὶ τὸ μὲν πρὶν ἐπὶ γῆς ἐφαίνοντο Ἄγγελοι πρὸς τιμωρίαν ἀποστελλόμενοι ἐπὶ τῶν Ἰσραηλιτῶν· ἐπὶ τοῦ Δαβὶδ, ἐπὶ τῶν Σολομιτῶν· ἐπὶ τῆς κοιλάδος τοῦ κλαυθμῶνος. νῦν δὲ ἐξ ἐναντίας ἐπὶ γῆς ἦδον σφόδρα χαίροντες· καὶ τούτους κατήγαγε πρὸς αὐτούς· καὶ τοὺς ἀνθρώπους ἀνήγαγεν ἐκεῖ. καὶ θέα μοι τὸ παράδοξον· τούτους πρώτους κατήγαγεν ὧδε, καὶ τότε τὸν ἄνθρωπον ἀνήγαγεν· ἐπειδὴ τὰ τῆς γῆς ἔμελλεν οὐρανὸς δέχεσθαι· διὰ τοῦτο εὐχαριστοῦμεν λέγοντες· "δόξα ἐν "ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία," τουτέστιν καταλλαγή.

Σετηριανὸς δέ φησιν, ἐν τῇ πρὸς Ἐφεσίους ἐδείκνυεν ὅτι πλήρωμα Θεοῦ ἡ Ἐκκλησία λέγεται· ηὐδόκησεν οὖν ὁ Θεὸς τὸ πλήρωμα ἑαυτοῦ, τουτέστιν τὴν ἐκκλησίαν τὴν πεπληρωμένην αὐτοῦ ἐν τῷ Χριστῷ, οἷα ἐν κεφαλῇ ἰδίᾳ, οἰκῆσαι· τουτέστιν αὐτῷ στοιχεῖν καὶ αὐτοῦ ἐξῆφθαι· ἀλλὰ μὴ Ἀγγέλων· ηὐδόκησε γὰρ δι' αὐτοῦ ἀποκαταλλάξαι πάντα, οὐ δι' Ἀγγέλων· καὶ γὰρ τὰ ὑπὲρ τοῦ κόσμου κατορθώματα διὰ τοῦ Χριστοῦ.

ΚΕΦ. Δ.

Περὶ ἐθνῶν προσαγωγῆς τῆς ἐν σώματι Χριστοῦ καὶ πάθει διὰ πίστεως.

21 Καὶ ὑμᾶς ποτε ὄντας ἀπηλλοτριωμένους καὶ ἐχθροὺς
τῇ διανοίᾳ ἐν τοῖς ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκα-
22 τήλλαξεν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανά-
του, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγ-
κλήτους ἐνώπιον αὐτοῦ.

Ἐνταῦθα δείκνυσιν ὅτι καὶ ἀναξίους ὄντας καταλλαγῆς, κατήλλαξε· καὶ ἵνα μὴ νομίσῃς διὰ τοῦ εἰπεῖν ὑπὸ τὴν ἐξουσίαν τοῦ σκότους, ἀνάγκης εἶναι, προσεπάγει τὸ "ἀπηλλοτριωμένους," ἀντὶ τοῦ οὐχὶ ἄκοντας οὐδὲ ἀναγκαζομένους, ἀλλ' ἑκόντας καὶ μετὰ τοῦ βούλεσθαι ἀποπηδῶντας αὐτοῦ καὶ ἀναξίους ὄντας, ἀπήλλαξεν, μὴ δὲ προσδοκῶντας ἐπανελθεῖν· εἶτα οὐχὶ μέχρι τῆς προαιρέσεως μόνης ἡ ἀλλοτρίωσις, ἀλλὰ τί; "καὶ ἐν τοῖς ἔργοις τοῖς πονη-"ροῖς·" καὶ ἔχθροι ἦτε φησὶν, καὶ τὰ τῶν ἐχθρῶν ἐπράττετε· "νυνὶ "δὲ ἀποκατήλλαξεν ἐν τῷ σώματι," φησὶν, "τῆς σαρκὸς αὐτοῦ·" πάλιν τίθησι καὶ τὸν τρόπον τῆς καταλλαγῆς· ὅτι ἐν τῷ σώματι· οὐχὶ ἁπλῶς πληγεὶς οὐδὲ μαστιγωθεὶς, ἀλλὰ καὶ ἀποθανών· καὶ ἀποθανὼν τῷ αἰσχίστῳ θανάτῳ· διὰ τοῦτο πάλιν τοῦ σταυροῦ μέμνηται "εἰς τὸ παραστῆσαι," φησὶν, "ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ "ἀνεγκλήτους κατενώπιον αὐτοῦ." οὐ γὰρ δὴ μόνον τῶν ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ τοῖς εὐδοκιμηκόσι κατέστησεν· καὶ τὸ δὴ μέγα, ὅτι ἁγιωσύνην τὴν κατενώπιον αὐτοῦ ἔδωκεν, καὶ τὸ ἀνέγκλητον. ἐπίτασις τοῦ ἀμώμου τὸ ἀνέγκλητον· ὅταν μηδὲ μέχρι καταγνώσεως ἢ ἐγκλήματος ᾖ τί πεπραγμένον ἡμῖν. ἀλλ' ἐπειδὴ τὸ ὅλον αὐτῷ τέθεικεν, ὅτι διὰ τοῦ θανάτου ταῦτα κατώρθωσεν· διὰ τοῦτο ἐπήγαγεν,

23 Εἴγε ἐπιμένετε τῇ πίστει, τεθεμελιωμένοι καὶ ἑδραῖοι
καὶ μὴ μετακινούμενοι ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγε-
λίου.

Τὴν ῥαθυμίαν αὐτῶν ἐνταῦθα ἐπικόπτει· καὶ οὐχ ἁπλῶς εἶπεν "ἐπιμένετε·" ἔστιν γὰρ ἐπιμένειν σαλευόμενον, διχοστατοῦντα·

"εἴγε ἐπιμένετε," φησὶν, "τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ "μετακινούμενοι," ὅρα οὐδὲ φορτικὸν τέως τίθησιν, οὐδὲ ἐπίτονον· ἀλλὰ πίστιν καὶ ἐλπίδα. τουτέστιν ἐὰν μένητε πιστεύοντες ὅτι ἀληθὴς ἡ ἐλπὶς τῶν μελλόντων· ἐπὶ μὲν γὰρ τῆς ἀρετῆς, οὐκ ἔνι μὴ μετασαλευθῆναι κἂν μικρόν· ἐπὶ δὲ τῆς πίστεως καὶ τῆς ἐλπίδος δυνατόν· οὕτως οὐκ ἔστιν ἐπαχθές. τίς δέ ἐστιν ἡ ἐλπὶς τοῦ εὐαγγελίου ἀλλ' ἢ ὁ Χριστός; αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, καὶ πάντα ταῦτα ὁ ἐργασάμενος, οὐχὶ Ἄγγελοι· ὥστε ὁ ἑτέροις ἐπιγράφων μετακεκίνηται· "οὗ ἠκούσατε," φησίν· καὶ πάλιν αὐτοὺς φέρει μάρτυρας· εἶτα τὴν οἰκουμένην ἅπασαν. οὐ λέγει τοῦ κηρυττομένου, ἀλλ' ἤδη πιστευθέντος καὶ κηρυχθέντος· ὅπερ καὶ ἀρχόμενος ἐποίησεν· ἀπὸ τῆς τῶν πολλῶν μαρτυρίας καὶ τούτους στῆσαι βουλόμενος.

Οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος.

Καὶ τοῦτο εἰς τὸ ἀξιόπιστον συνετέλει· μέγα γὰρ ἦν αὐτοῦ τὸ ἀξίωμα λοιπὸν πανταχοῦ δεομένου, καὶ τῆς οἰκουμένης ὄντος διδασκάλου.

Θεόδωρος φησίν· τοῦτο γὰρ ἦν ἔργον αὐτοῦ, τὸ κηρύττειν εἰς τὰ ἔθνη τὸ Εὐαγγέλιον ἔξω τῆς τῶν νομικῶν παρατηρήσεως.

ΚΕΦ. Ε.

Περὶ τῆς διὰ τῶν πόνων αὐτοῦ διδαχῆς, ἀνακτητικῆς εἰς παράστασιν Θεοῦ.

24 Νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ, ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία.

Ὥστε φησὶν, ἥδομαι καὶ πάσχων ὑπὲρ ὑμῶν· καὶ ἐπειδὴ προλαβὼν ὑπὲρ τῆς ὑμετέρας εὐεργεσίας ἔπαθεν ὁ Χριστὸς, ὥστε σῶμα ἑαυτοῦ ὑμᾶς ἀποφῆναι διὰ τῆς ἀναστάσεως· τὰ προσλείποντα ταῖς θλίψεσιν αὐτοῦ ταῖς ὑπὲρ ὑμῶν ἀναπληρῶ. τί δὲ ἦν τὸ προσλεῖπον; τὸ μαθόντας ὑμᾶς τίνα ἔστι τὰ ὑπὲρ ὑμῶν κατορθωθέντα, παρ' αὐτοῦ δέξασθαι τὴν περὶ αὐτῶν ἐπαγγελίαν· τοῦτο

δὲ ἄνευ πόνων καὶ θλίψεων γενέσθαι οὐδαμῶς οἷόν τε ἦν· ὑπὲρ δὴ τούτων πάσχω, περιϊὼν καὶ κηρύττων ἅπασι τὰ κατορθωθέντα· ὥστε ὑμᾶς πιστεύσαντας τῇ διαθέσει τῆς ψυχῆς, τὴν πρὸς αὐτὸν οἰκείωσιν δέξασθαι· τούτων γὰρ ἐγὼ κατέστην διάκονος.

(Χρυσοστόμου.) Ὁ μακάριος δὲ Ἰωάννης φησὶν, καὶ διάκονος φησὶν, ἀντὶ τοῦ οὐδὲν παρ' ἐμαυτοῦ εἰσφέρω· ἀλλὰ τὰ ἑτέρων καταγγέλλων, οὕτω πιστεύω ὅτι καὶ πάσχω ὑπὲρ αὐτοῦ καὶ χαίρω πάσχων, πρὸς τὴν ἐλπίδα τὴν μέλλουσαν ὁρῶν· καὶ πάσχω οὐχ ὑπὲρ ἐμαυτοῦ ἀλλ' ὑπὲρ ὑμῶν· "καὶ ἀνταναπληρῶ," φησὶν, "τὰ "ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου." δοκεῖ μὲν μέγα εἶναι ὅπερ ἐφθέγξατο· ἀλλ' οὐκ ἔστιν ἀπονοίας, μὴ γένοιτο· ἀλλὰ καὶ φιλοστοργίας τῆς περὶ τὸν Χριστόν· οὐ γὰρ βούλεται αὐτοῦ εἶναι, ἀλλ' ἐκείνου τὰ πάθη· τούτους οἰκειῶσαι αὐτῷ βουλόμενος. καὶ ἃ ἐγὼ πάσχω, δι' ἐκεῖνον πάσχω, φησίν· ὥστε μὴ ἐμοὶ χάριν ἔχετε, ἀλλ' ἐκείνῳ· αὐτὸς γὰρ πάσχει ταῦτα· ὥσπερ ἂν εἴ τις πεμφθεὶς πρός τινα ἀξιώσειεν λέγων, παραβαλῶ σε ὑπὲρ ἐμοῦ· ἄπελθε πρὸς τόνδε· εἶτα ἐκεῖνος λέγει ὅτι διὰ τόνδε ταῦτα ποιῶ· ὥστε οὐκ ἐπαισχύνεται καὶ ταῦτα αὐτοῦ παθήματα λέγειν. οὐ γὰρ μόνον ἀπέθανεν ὑπὲρ ὑμῶν, ἀλλὰ καὶ μετὰ τὸ ἀποθανεῖν, ἕτοιμός ἐστι θλιβῆναι δι' ὑμᾶς· ἐφιλονείκησεν καὶ ἐβιάσατο δεῖξαι ἑαυτὸν καὶ νῦν κινδυνεύοντα ὑπὲρ τῆς ἐκκλησίας διὰ τοῦ ἰδίου σώματος. καὶ πρὸς ἐκεῖνο ἀποτείνεται ὅτι οὐ δι' ἡμῶν προσάγεσθε, ἀλλὰ δι' αὐτοῦ, κἂν ἡμεῖς ταῦτα ποιῶμεν. καὶ ταυτόν ἐστιν ὥσπερ ἂν εἰ τάξις λαχοῦσα στρατηγὸν τὸν ὑπερασπίζοντα αὐτῆς καὶ ἐν τῷ πολέμῳ στήκοι· εἶτα ἀπελθόντος ἐκείνου, ὁ ὑποστράτηγος τὰ ἐκείνου τραύματα ἀναδέξαιτο μέχρι τοῦ λυθῆναι τὸν πόλεμον. διὰ γὰρ τοῦτο καὶ "ὑστερήματα" εἶπεν, ἵνα δείξῃ ὅτι οὐδὲ τὸ πᾶν ἡγεῖται οὐδέπω πεπονθέναι ὑπὲρ ὑμῶν· καὶ μετὰ θάνατον γὰρ πάσχει· εἰκὲ ἔτι ἐλλείμματα ἔμεινεν. οὐ τοίνυν ἑαυτὸν ἐπαίρων λέγει ταῦτα, ἀλλὰ τὸν Χριστόν· δεῖξαι βουλόμενος ἔτι καὶ νῦν ὑπὲρ αὐτῶν φροντίζοντα· καὶ τὸν λόγον ἀξιόπιστον δείκνυσιν τῷ ἐπαγαγεῖν "ὑπὲρ τοῦ σώματος "αὐτοῦ." ὅρα πῶς ἡμᾶς συνῆψεν αὐτῷ. τί τοίνυν ἐπεισάγετε διὰ μέσου Ἀγγέλους;

25 Κατὰ τὴν οἰκονομίαν τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι εἰς
ὑμᾶς, πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ.

Ἤτοι τοῦτό φησιν, ὅτι οὕτως ἠθέλησεν αὐτοῦ ἀπελθόντος ἡμᾶς διαδέξασθαι τὴν οἰκονομίαν, ἵνα μὴ ὡς ἐγκαταλελειμμένοι διακεῖσθε· αὐτὸς γάρ ἐστιν ὁ παθών· αὐτὸς ὁ πρεσβεύων. ἢ τοῦτό φησιν, ὅτι ἐμὲ τὸν μάλιστα πάντων διώκτην, διὰ τοῦτο εἴασεν διῶξαι, ἵνα ἀξιόπιστος ὦ κηρύττων. ἢ οἰκονομίαν φησὶν, ὅτι οὐκ ἔργα ἐζήτησεν, οὐδὲ πράξεις, οὐδὲ κατορθώματα, ἀλλὰ πίστιν καὶ βάπτισμα· οὐ γὰρ ἂν ἑτέρως ἐδέξασθε τὸν λόγον. "εἰς ὑμᾶς," φησὶν, "πληρῶσαι τὸν λόγον τοῦ Θεοῦ·" περὶ τῶν ἐθνῶν λέγει, δεικνὺς αὐτοὺς ἔτι σαλευομένους, τῷ εἰπεῖν "πληρῶσαι·" τὸ γὰρ ἔθνη ἀπερριμένα δυνηθῆναι τοσοῦτον ὕψος δογμάτων δέξασθαι, οὐχὶ Παύλου ἦν, ἀλλ' οἰκονομίας τῆς τοῦ Θεοῦ. ἐπεὶ ἐγὼ οὐκ ἂν ἴσχυσα φησίν· δείξας δὴ τὸ μεῖζον τὰ αὐτοῦ παθήματα τοῦ Χριστοῦ ὄντα· τότε τὸ σαφέστερον ἐπάγει· ὅτι καὶ τοῦτο τοῦ Θεοῦ ἐστιν τὸ πληρῶσαι τὸν λόγον εἰς ὑμᾶς· καὶ δείκνυσιν ἐνταῦθα οὐ φανερῶς ὅτι καὶ τοῦτο οἰκονομίας τὸ νῦν λεχθῆναι ὅτι δύνασθε ἀκούειν, ἀλλ' οὐκ ἀμελείας· ἀλλ' ὥστε δεκτικοὺς γενέσθαι· ὁ γὰρ Θεὸς οὐκ ἀθρόως πάντα ποιεῖ· ἀλλὰ κέχρηται συγκαταβάσει διὰ τὴν πολλὴν αὐτοῦ φιλανθρωπίαν· καὶ τοῦτο αἴτιον τοῦ παραγενέσθαι νῦν τὸν Χριστὸν, ἀλλὰ μὴ πάλαι.

26 Τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν αἰώνων
καὶ ἀπὸ τῶν γενεῶν, νυνὶ δὲ ἐφανερώθη τοῖς ἁγίοις
27 αὐτοῦ· οἷς ἠθέλησεν ὁ Θεὸς γνωρίσαι, τὶ τὸ πλοῦτος
τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστι
28 Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς τῆς δόξης· ὃν ἡμεῖς καταγγέλλομεν, νουθετοῦντες πάντα ἄνθρωπον, καὶ διδάσκοντες ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ.

Εἰπὼν ὧν ἐτύχομεν, καὶ δείξας τοῦ Θεοῦ τὴν φιλανθρωπίαν καὶ τὴν τιμὴν, τῷ μεγέθει τῶν δοθέντων, πάλιν ἑτέραν ἐπίτασιν εἰσάγει, ὅτι οὐδὲ πρὸ ἡμῶν τίς αὐτὸ ἔμαθεν· ὃ καὶ ἐν τῇ πρὸς Ἐφεσίους ποιεῖ λέγων, οὔτε Ἄγγελοι, οὔτε Ἀρχάγγελοι, οὔτε

ἀρχαὶ, οὔτε ἄλλη τίς κτιστὴ δύναμις, ἀλλὰ μόνος ὁ τοῦ Θεοῦ Υἱὸς ᾔδει. καὶ οὐχ ἁπλῶς κεκρυμμένον εἶπεν, ἀλλ' ἀποκεκρυμμένον· καὶ ὅτι εἰ καὶ νῦν γέγονεν, ἀλλὰ παλαιόν ἐστιν, καὶ ἄνωθεν ταῦτα ὁ Θεὸς ἐβούλετο, καὶ οὕτω διατετύπωτο. διατί δὲ οὐκέτι λέγει· "ἀπὸ τῶν αἰώνων," φησίν· ἐξ ἀρχῆς, ὥσπερ ἂν εἴποι τίς· καὶ μυστήριον εἰκότως καλεῖ, ὃ οὐδεὶς ᾔδει πλὴν ὁ Θεός· καί που κεκρυμμένον; ἐν τῷ Χριστῷ· "νυνὶ δὲ ἐφανέρωθη," φησὶ, "τοῖς ἁγίοις αὐτοῦ." ὥστε τῆς οἰκονομίας ἐστι τοῦ Θεοῦ τῶν ὅλων· καὶ ἔτι καὶ νῦν κέκρυπται, εἴγε τοῖς ἁγίοις ἐφανέρωθη μόνοις. μὴ τοίνυν ὑμᾶς ἀπατάτωσαν ἐκεῖνοι· οὐ γὰρ ἴσασιν. διατί μόνοις; οἷς ἠθέλησεν φησίν· ὅρα πῶς πανταχοῦ ἐπιστομίζει τὰς ἐρωτήσεις αὐτῶν· τὸ δὲ θέλειν αὐτοῦ οὐκ ἄλογον· χάριτος μᾶλλον ὑπευθύνους ποιῶν, ἢ ἀφιεὶς αὐτοὺς ἐπὶ κατορθώματι φρονεῖν· εἶπεν "οἷς ἠθέλησε γνωρίσαι, τί τὸ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσι."

Σεμνῶς εἶπεν· καὶ ὄγκον ἐπέθηκεν, ἀπὸ πολλῆς διαθέσεως ἐπιτάσεις ζητῶν ἐπιτάσεων· ὅτι καὶ τοῦτο ἐπιτάσεως, ἀορίστως εἰπεῖν "τὸ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου ἐν τοῖς ἔθνεσιν." μάλιστα γὰρ ἐν τοῖς ἔθνεσι φαίνεται· καθὼς καὶ ἀλλαχοῦ φησί· "τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν." φαίνεται μὲν γὰρ καὶ ἐν ἑτέροις, πολλῷ δὲ πλέον ἐν τούτοις ἡ πολλὴ τοῦ μυστηρίου δόξα· τὸ γὰρ ἀθρόον ἀνθρώπους λίθων ἀναισθητοτέρους εἰς Ἀγγέλων ἀγαγεῖν ἀξίωμα, ἁπλῶς, διὰ ψιλῶν ῥημάτων καὶ πίστεως μόνης, χωρὶς ἔργων, ὄντως δόξα καὶ πλοῦτος μυστηρίου· "ὅς ἐστι Χριστὸς ἐν ὑμῖν." ὅτι ὁ πάντων ἀνώτερος, καὶ Ἀγγέλων καὶ ἀρχῶν κρατῶν καὶ τῶν ἄλλων ἁπασῶν δυνάμεων, κατέβη κάτω, καὶ ἄνθρωπος γέγονεν, καὶ μυρία ἔπαθεν, καὶ ἀνέστη καὶ ἀναλήφθη.

Ταῦτα πάντα μυστηρίου ἦν· καὶ μετ' ἐγκωμίου τίθησι λέγων· "ὅς ἐστι Χριστὸς ἐν ὑμῖν." εἰ δὲ ἐν ὑμῖν ἐστιν, τί Ἀγγέλους ζητεῖτε τοῦ μυστηρίου τούτου; ἔστι γὰρ καὶ ἄλλο μυστήριον· ἀλλὰ τοῦτο ὄντως μυστήριον, ὃ οὐδεὶς οἶδεν· ὅ ἐστι θαυμαστόν· ὃ παρὰ τὴν κοινὴν προσδοκίαν, ὃ ἐκρύπτετο· "ὅς ἐστι Χριστὸς ἐν ὑμῖν· ἡ ἐλπὶς τῆς δόξης ὃν ἡμεῖς καταγγέλλομεν" ἄνωθεν αὐτὸν φέροντες· ὃν ἡμεῖς, οὐκ Ἄγγελοι διδάσκοντες, φησὶ, καὶ νουθετοῦντες· οὐκ ἐπιτακτικῶς οὐδὲ μετὰ ἀνάγκης· καὶ γὰρ τοῦτο τῆς

τοῦ Θεοῦ φιλανθρωπίας, τὸ μὴ τυραννικῶς προσάγεσθαι. ἐπειδὴ τὸ διδάσκοντες μέγα ἦν, ἐπήγαγεν, "νουθετοῦντες·" ὅπερ ἦν πατρὸς μᾶλλον ἢ διδασκάλου. "ἐν πάσῃ σοφίᾳ·" ὥστε σοφίας δεῖ πάσης· τουτέστιν πάντα ἐν σοφίᾳ λέγοντες· τὸ γὰρ τοιαῦτα δυνηθῆναι μαθεῖν, οὐ τοῦ τύχοντος ἐστίν.

Ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ Ἰησοῦ.

Τί λέγεις; πάντα ἄνθρωπον; ναί, φησι, τοῦτο σπουδαζόμεν, "τέλειον ἐν Χριστῷ Ἰησοῦ·" οὐκ ἐν νόμῳ, οὐδὲ ἐν Ἀγγέλοις· ἐκεῖνο γὰρ οὐ τέλειον ἐν Χριστῷ· τουτέστιν ἐν τῇ γνώσει τοῦ Χριστοῦ. "εἰς ὃ καὶ κοπιῶ, ἀγωνιζόμενος" μετὰ πολλῆς τῆς σπουδῆς, μετὰ πολλῆς τῆς ἀγρυπνίας.

(Σευηριανός.) Καὶ ἕτερος φησὶν, πλοῦτος ἡμῖν, φησὶν, Χριστὸς ἐδόθη· μὴ γενώμεθα πτωχοὶ, εἰς Ἀγγέλων προστασίας τραπέντες.

(Θεόδωρος.) Καὶ ἄλλος ὁμοίως, οὗτος ὁ μέγας πλοῦτος ὁ Χριστὸς, καὶ τὸ ἐπ' αὐτῷ πιστεύειν· οὗτος γὰρ ἡ τῆς μελλούσης δόξης ἐλπίς· ὁ καὶ τὴν αἰτίαν ἡμῖν τοῦ προσδοκᾶν ἐκεῖνα χαρισάμενος. μυστήριον δὲ καλεῖ τὴν περὶ τὰ ἔθνη χάριν, ὡς ἂν ἄδηλον οὖσαν τοῖς πρὸ τούτου. ἐπίγνωσιν δὲ μυστηρίου τὴν μετουσίαν αὐτῆς· εἶτα δείκνυσι θεῖον ὂν "κατὰ τὴν ἐνέργειαν αὐτοῦ," φησὶν, "τὴν ἐνεργουμένην ἐν ἐμοὶ ἐν δυνάμει," ὃ ἰσχυρόν με ποιεῖ εἰς τοῦτο, δηλονότι τοῦτο βούλεται.

ΚΕΦ. Ϛ.

Περὶ τοῦ μὴ ὑπάγεσθαι ἀνθρωπίνῃ ἀπατηλῇ τοὺς ἐν Χριστῷ τὴν σοφίαν ἔχοντας.

1 Θέλω γὰρ ὑμᾶς εἰδέναι, ἡλίκον ἀγῶνα ἔχω περὶ ὑμῶν καὶ τῶν ἐν Λαοδικείᾳ.

Χρυσοστόμου. Δείκνυσι τὴν πρὸς αὐτοὺς ἐνταῦθα φιλοστοργίαν· εἶτα ἵνα μὴ δόξῃ τῆς αὐτῶν ἀσθενείας εἶναι τοῦτο, συνῆψε καὶ ἑτέρους, καὶ οὐδέπω κατέγνω· ἀλλὰ διατί "καὶ ὅσοι οὐχ ἑωράκασι," φησὶν, "τὸ πρόσωπόν μου ἐν σαρκί;" θείως δείκνυ-

σιν ἐνταῦθα ὅτι ἑώρων αὐτὸν συνεχῶς ἐν πνεύματι· μαρτυρεῖ αὐτοῖς ἀγάπην πολλήν.

2 Ἵνα παρακληθῶσι αἱ καρδίαι αὐτῶν, συμβιβασθέν-
των ἐν ἀγάπῃ, καὶ εἰς πάντα πλοῦτον τῆς πληροφορίας
τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ
3 καὶ πατρὸς καὶ Χριστοῦ, ἐν ᾧ εἰσὶ πάντες οἱ θησαυροὶ
τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι.

Ἤδη λοιπὸν σπαράττει καὶ ὠδίνει ἐμβαλεῖν εἰς τὸ δόγμα· οὐδὲ καταγορῶν, οὐδὲ ἀπαλάττων αὐτοὺς τῆς κατηγορίας. ἀγῶνα ἔχω, φησὶν, ἵνα συμβιβασθῶσιν· τουτέστιν, ἵνα στῶσι βέβαιοι ἐν τῇ πίστει· ἀλλ' οὐ τίθησιν οὕτως· ἀλλ' ὑποτέμνεται τὰ τῆς κατηγορίας. τοῦτό ἐστιν ἵνα ἐντεθῶσι μετὰ ἀγάπης, οὐ μετὰ ἀνάγκης· οὐ γὰρ ἁπλῶς τὴν συναγωγὴν βούλομαι γενέσθαι· ἀλλ' "ἵνα αἱ καρδίαι αὐτῶν παρακληθῶσι, συμβιβασθέντων ἐν ἀγάπῃ, "εἰς πάντα πλοῦτον τῆς πληροφορίας τῆς συνέσεως·" τουτέστιν ἵνα ὑπὲρ μηδενὸς ἀμφιβάλωσιν· ἵνα ὑπὲρ πάντων πεπληροφορημένοι ὦσιν. πληροφορίαν δὲ εἶπον, τὴν διὰ πίστεως· ἔστιν γὰρ πληροφορία, ἡ διὰ λογισμῶν· ἀλλ' οὐδενὸς λόγου ἐκείνη ἀξία· ἀλλ' ἵνα πληροφορηθῆτε μετὰ συνέσεως, οὐχ ἁπλῶς μετὰ ἀγάπης· "εἰς ἐπίγνωσιν τοῦ μυστηρίου τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ "Χριστοῦ·" ὥστε τοῦ Θεοῦ τοῦτό ἐστιν μυστήριον, τὸ διὰ τοῦ Χριστοῦ προσάγεσθαι· "ἐν ᾧ εἰσι πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι·" εἰ δὲ ἐν αὐτῷ εἰσὶν, ἄρα σοφῶς καὶ νῦν ἦλθεν· ἀπόκρυφοί εἰσι καὶ ἀπὸ Ἀγγέλων, οὐκ ἀφ' ὑμῶν μόνον· ὥστε παρ' αὐτοῦ δεῖ πάντα αἰτεῖν· αὐτὸς δίδωσι σοφίαν καὶ γνῶσιν· τῷ μὲν οὖν "θησαυροὶ" εἰπεῖν, τὸ πολὺ δείκνυσι· τῷ δὲ "πάντες," τὸ μηδὲν ἀγνοεῖν· τῷ δὲ "ἀπόκρυφοι" τὸ μόνον εἰδέναι.

(Θεόδωρος.) *Ἄλλος δὲ φησίν· ἀποκρύφους πάντας τοὺς θησαυροὺς τῆς σοφίας καὶ τῆς γνώσεως εἶναι ἐν τῷ Χριστῷ λέγει· ὡς ἂν τῶν μετὰ πολλῆς κατορθωθέντων συνέσεως διὰ τοῦ Χριστοῦ ὑπὲρ τῆς ἡμετέρας εὐεργεσίας, νῦν μὲν ὄντων ἀδήλων, φανησομένων δὲ τότε ὅποτ' ἂν φαίνεται καὶ αὐτός.*

4 Τοῦτο δὲ λέγω, ἵνα μήτις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ.

Χρυσοστόμου. Ὁρᾷς ὅτι διὰ τοῦτό φησιν, εἶπον ταῦτα, ἵνα μὴ παρὰ ἀνθρώπων ζητῆτε· "παραλογίζηται," φησὶν, "ἐν πιθανολογίᾳ."

5 Εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμί.

Τὸ ἀκόλουθον τοῦτο ἦν εἰπεῖν· εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλ' ὅμως οἶδα τοὺς ἀπατεῶνας· νῦν δὲ εἰς ἐγκώμιον κατέληξεν.

Χαίρων καὶ βλέπων ὑμῶν τὴν τάξιν, καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως ὑμῶν.

Τάξιν τὴν εὐταξίαν φησὶν, τὸ δὲ ἑξῆς ἐγκωμίων μᾶλλον ἐστίν· "στερέωμα" εἶπεν, καθάπερ πρὸς στρατιώτας εὐτάκτως ἑστῶτας καὶ βεβαίως, τὸν στερρὸν οὐκ ἀπάτη οὐ πειρασμὸς διασαλεύει· οὐ μόνον, φησὶν, οὐ πεπτώκατε, ἀλλ' οὐδὲ τὴν τάξιν ὑμῶν συνέχεέν τις· ἡ γὰρ τάξις οὕτω φυλάττεται ἀπὸ τοῦ στερεώματος· τοῦτο δὲ τῆς ἀγάπης ἔργον ἐστίν· τοῖς γὰρ καθ' ἑαυτοὺς ὄντας, ὅτ' ἂν ἀκριβῶς συγκολλήσῃ καὶ συνάφῃ, στερροὺς ἐργάζεται· καὶ ἡ πίστις πάλιν τὸ αὐτὸ ποιεῖ, ὅτ' ἂν μὴ ἀφῇ λογισμοὺς ἐπεισελθεῖν· ὥσπερ γὰρ οἱ λογισμοὶ διαιροῦσι καὶ σαλεύουσιν, οὕτως ἡ πίστις στερεοῖ καὶ παγῆναι ποιεῖ· ἐπειδὴ μείζονα ἢ κατὰ ἀνθρώπινον λογισμὸν εὐεργέτησεν ἡμᾶς ὁ Θεὸς, εἰκότως τὴν πίστιν ἐπεισήγαγεν.

6 Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε.

Πάλιν αὐτοὺς τῇ οἰκείᾳ προκαταλαμβάνει μαρτυρίᾳ λέγων· "ὡς οὖν παρελάβετε." οὐδὲν ξένον φησὶν ἐπεισάγομεν· μηδὲ ὑμεῖς ἐν αὐτῷ περιπατεῖτε· αὐτὸς γάρ ἐστιν ἡ ὁδὸς, ἡ προσάγουσα πρὸς τὸν Πατέρα· μὴ ἐν τοῖς Ἀγγέλοις· οὐ φέρει ἐκείνη ἡ ὁδὸς ἐκεῖ. "ἐρριζωμένοι·" τουτέστιν πεπήγοτες· μὴ ποτὲ μὲν ταύτην, ποτὲ δὲ ἐκείνην· καὶ ἐποικοδομούμενοι τῇ διανοίᾳ· φθάνοντες εἰς αὐτὸν καὶ βεβαιούμενοι ἐν αὐτῷ φησί· τουτέστιν κατέχοντες αὐτὸν ὡς ἐπὶ θεμέλιον· δείκνυσιν αὐτοὺς καταπεσόντας.

τὸ γὰρ οἰκοδομούμενα τοῦτό ἐστιν· οἰκοδομὴ γὰρ ὄντως ἐστὶν ἡ πίστις· καὶ δεῖ καὶ τοῦ θεμελίου ἰσχυροῦ, καὶ τῆς οἰκοδομίας ἀσφαλοῦς· "καθὼς ἐδιδάχθητε." πάλιν τὸ "καθώς·" περισσεύ- "οντες," φησὶν, "ἐν εὐχαριστίᾳ." οὐ λέγω ἁπλῶς εὐχαριστεῖν· ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας, πλέον ἢ ἐμάθετε.

8 Βλέπετε μήτις ὑμᾶς ἔστω ὁ συλαγωγῶν.

Ὅρα πῶς ἔδειξε κλέπτην καὶ ἀλλότριον ὄντα καὶ ἠρέμα ἐπεισίοντα· ὥσπερ ἄν τις χῶμα κάτωθεν διορύττων μὴ παρέχῃ αἴσθησιν, τὸ δὲ ὑποστεῖ· οὕτω καὶ ὑμεῖς βλέπετε. τοῦτο γὰρ ἔργον ἐκείνων, τὸ μηδὲ παρέχειν αἴσθησιν. "βλέπετε μή τις ὑμᾶς·" καὶ τὴν ὁδὸν δείκνυσι. διὰ τῆσδε τῆς ὁδοῦ, "διὰ τῆς φιλοσοφίας," φησίν· εἶτα ἐπειδὴ δοκεῖ σεμνὸν εἶναι τὸ ὄνομα τὸ τῆς φιλοσοφίας, προσέθηκεν "καὶ κενῆς ἀπάτης· κατὰ τὴν παράδοσιν τῶν "ἀνθρώπων κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν." τέως τοῦ ἐλέγχου ἅπτεται· τῆς τῶν ἡμερῶν παρατηρήσεως· στοιχεῖα κόσμου, ἥλιον καὶ σελένην λέγων. καθάπερ καὶ ἐν τῇ πρὸς Γαλάτας ἔλεγεν, "πῶς πάλιν ἐπιστράφετε ἐπὶ τὰ ἀσθενῆ καὶ "πτωχὰ στοιχεῖα;" καὶ οὐκ εἶπεν ἡμερῶν παρατηρήσεις, ἀλλὰ δι' ὅλου τοῦ κόσμου τοῦ παρόντος· ἵνα τὸ εὐτελὲς δείξῃ· εἰ γὰρ ὁ κόσμος ὁ παρὼν οὐδὲν, πολλῷ μᾶλλον καὶ τὰ στοιχεῖα. καὶ οὐ κατὰ Χριστὸν φησίν· μάλιστα μὲν γὰρ εἰ καὶ οὕτως ἦν ἐξ ἡμισείας, ὥστε δύνασθαι καὶ τούτῳ κακείνῳ δουλεύειν, οὐδὲ οὕτως ἔδει. νῦν δὲ οὐκ ἀφίησιν ὑμᾶς εἶναι κατὰ Χριστόν· πρότερον διασαλεύσας τὰς Ἑλληνικὰς παρατηρήσεις, τότε καὶ τὰς Ἰουδαϊκὰς ἀναιρεῖ· καὶ γὰρ Ἕλληνες καὶ Ἰουδαῖοι, παρετήρουν· ἀλλ' οἱ μὲν ἀπὸ φιλοσοφίας, οἱ δὲ ἀπὸ νόμου. πρότερον τοίνυν πρόσεισι τούτοις, ἔνθα μείζων ἡ κατηγορία. πῶς;

9 Οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ
10 πλήρωμα τῆς θεότητος σωματικῶς· καὶ ἐστὲ ἐν αὐτῷ
πεπληρωμένοι· ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ
ἐξουσίας.

Τουτέστιν εἴτι ἔστι, Θεὸς ἐν αὐτῷ κατοικεῖ· ἀλλ' ἵνα μὴ νομίσῃς αὐτὸν συγκεκλεῖσθαι ὡς ἐν σώματι, φησὶν "πᾶν τὸ

“ πλήρωμα τῆς θεότητος σωματικῶς. καὶ ἐστὲ ἐν αὐτῷ πεπλη-“ ρωμένοι.”

(Σετηριανός.) Ἄλλος φησὶν, ὅτι τὴν ἐκκλησίαν λέγει πεπληρωμένην ὑπὸ τῆς θεότητος αὐτοῦ· καθὼς ἀλλαχοῦ φησίν· “ τοῦ “ τὰ πάντα ἐν πᾶσι πληρουμένου.” τὸ δὲ “ σωματικῶς” ἐνταῦθα ὡς ἐν κεφαλῇ σῶμα· πῶς οὖν οὐκ ἐπήγαγεν, ἥτις ἐστὶν ἡ Ἐκκλησία;

(Κυρίλλου.)[a] Ἢ περὶ τοῦ Πατρὸς τινὲς φασίν· καὶ λέγει ὅτι τῆς θεότητος τὸ πλήρωμα ἐν αὐτῷ οἰκεῖ[b]· πρῶτον μὲν ὅτι τὸ οἰκεῖν οὐ κυρίως λέγεται ἐπὶ Θεοῦ. δεύτερον ὅτι τὸ πλήρωμα οὐ τὸ δεχόμενόν ἐστιν· “ τοῦ γὰρ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς.” καὶ πάλιν ὁ Ἀπόστολος “ ἄχρις οὗ τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ” τὸ ὅλον λέγεται πλήρωμα. ἔπειτα τὸ “ σωματικῶς·” τί ἐβούλετο; ὡς ἐν κεφαλῇ. τί δὲ πάλιν τὸ αὐτὸ λέγει· “ καὶ ἐστὲ ἐν “ αὐτῷ πεπληρωμένοι;” τί οὖν ἐστιν; ὅτι οὐδὲν ἔλαττον ἔχετε αὐτοῦ· ὥσπερ ἐν ἐκείνῳ ᾤκησεν, οὕτω καὶ ἐν ὑμῖν. βιάζεται γὰρ ὁ Παῦλος ἐγγὺς ἡμᾶς ποιεῖν τοῦ Χριστοῦ· ὡς ὅταν λέγῃ “ συνή-“ γειρε καὶ συνεκάθισεν ἡμᾶς·” καὶ “ εἰ ὑπομένομεν, καὶ συμ-“ βασιλεύσομεν·” καὶ “ πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν “ χαρίσηται;” καὶ συγκληρονόμους καλῶν· εἶτα περὶ τοῦ ἀξιώματος· “ καὶ αὐτός ἐστι,” φησὶν, “ ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ “ ἐξουσίας·” ὁ πάντων ἀνώτερος· ἡ αἰτία οὐχὶ ὁμοούσιος πάσης ἀρχῆς καὶ ἐξουσίας; εἶτα τὰ τῆς εὐεργεσίας θαυμαστῶς ἐπήγαγεν.

ΚΕΦ. Ζ.

Ὅτι ἡ πρὸς Θεὸν συνάφεια καὶ τὰ τοῦ νόμου περιέχει πνευματικῶς, εἰς τὸ συζῆν Χριστῷ.

11 Ἐν ᾧ καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός· ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ.

Ὅρα πῶς ἐγγὺς γίνεται τοῦ πράγματος; ἐν τῇ ἀπεκδύσει φησίν· οὐκ εἶπεν ἐκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν, τὸν παλαιὸν

[a] Hoc Schol. Chrys. esse videtur. [b] Add. cum Chrys. Edd. ἀλλὰ κακῶς.

βίον φησίν· συνεχῶς ταῦτα στρέφει καὶ διαφόρως· οὐκέτι ἐν μαχαίρᾳ φησὶν, ἡ περιτομὴ, ἀλλ' ἐν αὐτῷ τῷ Χριστῷ· οὐ γὰρ χεὶρ ἐπάγει, καθάπερ ἐκεῖ τὴν περιτομὴν ταύτην, ἀλλὰ τὸ Πνεῦμα· οὐ μέρος, ἀλλ' ὅλον ἄνθρωπον περιτέμνει· οὐ σάρκα, ἀλλ' ἁμαρτήματα. ποῦ καὶ πότε;

12 Συνταφέντες αὐτῷ ἐν τῷ βαπτισμῷ, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν.

Ἀλλ' οὐ τάφος μόνον ἐστίν· ὅρα γὰρ τί φησίν· "ἐν ᾧ καὶ "συνηγέρθητε διὰ τῆς πίστεως τῆς ἐνεργείας τοῦ Θεοῦ τοῦ ἐγεί-"ραντος αὐτὸν ἐκ νεκρῶν·" καλῶς εἶπεν πίστεως· πίστεως γὰρ τὸ ὅλον ἐστίν· ἐπιστεύσατε ὅτι δύναται ὁ Θεὸς ἐγεῖραι, καὶ οὕτως ἠγέρθητε· εἶτα καὶ τὸ ἀξιόπιστον, "τοῦ ἐγείραντος αὐτὸν," φησὶν, "ἐκ τῶν νεκρῶν·" ἤδη δείκνυσι τὴν ἀνάστασιν.

13 Καὶ ἡμᾶς νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ἡμῶν συνεζωοποίησεν σὺν αὐτῷ.

Ὑπὸ γὰρ τὴν δίκην ἐκεῖσθε· ἀποθανεῖν δεῖ· καὶ ἀπεθάνετε θάνατον χρήσιμον. ὅρα πῶς πάλιν δείκνυσι τίνων ἦσαν ἄξιοι, δι' ὧν ἐπήγαγεν,

Χαρισάμενοι ἡμῖν πάντα τὰ παραπτώματα ἡμῶν·
14 ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον, ὃ ἦν ὑπεναντίον
ἡμῖν.

ΘΕΟΔΩΡΟΣ. Ἀκροβυστίαν ἐνταῦθα, οὐ τὴν τοῦ σώματος λέγει· ἀλλ' ὥσπερ περιτομὴν τὴν ἀφαίρεσιν ἐκάλεσεν τῆς θνητότητος, οὕτως ἀκροβυστίαν τὸ περικεῖσθαι ἔτι τὴν θνητότητα· τοῦτο οὖν λέγει, ὅτι νενεκρωμένους ἡμᾶς τοῖς ἁμαρτήμασι διὰ τὴν περικειμένην θνητότητα, συνανέστησεν τῷ Χριστῷ· ἐν αὐτῷ τὴν κοινὴν ἀνάστασιν κατεργασάμενος· ἀφ' ἧς πᾶν εἶδος ἁμαρτίας ὑμῶν ἀφανισθήσεται.

ΣΕΥΗΡΙΑΝΟΣ. Τὸ καθ' ἡμῶν δὲ χειρόγραφον πῶς ἐξήλειψεν; ὅτε ἐδόθη ὁ νόμος ὁ καταρώμενος τοὺς παραβαίνοντας, πᾶς ὁ λαὸς Ἰσραὴλ ἐπεβόησεν δεχόμενος καὶ συντιθέμενος· ὥσπερ οὖν χειρό-

γραφον ἡ συγκατάθεσις γέγονεν, τοῦτο οὖν τὸ χειρόγραφον ἔλαβεν τοῖς δόγμασι· ποίοις; τοῖς ἀπαλλάττουσι μὲν τῆς κατὰ νόμον πολιτείας, παρέχουσι δὲ τὴν ἐν χάριτι πολιτείαν.

15 Καὶ αὐτὸ ἦρεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτῷ τῷ σταυρῷ, ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ.

Χρυσοστόμου. Χαρισάμενος ἡμῖν πάντα τὰ παραπτώματα, ἃ τὴν νεκρότητα ἐποίει· καὶ τί ἄρα ἀφῆκεν μεῖναι; οὐχὶ, ἀλλὰ καὶ ἐξήλειψεν ὥστε μὴ φαίνεσθαι· ποῖον χειρόγραφον ἢ ὃ ἔλεγεν πρὸς τὸν Μωσέα; "ὅτι πάντα ὅσα εἶπεν ὁ Θεὸς ποιησόμεν καὶ "ἀκουσόμεθα·" ἢ εἰ μὴ τοῦτο, ὅτι ὀφείλομεν τῷ Θεῷ ὑπακοήν· ἢ εἰ μὴ τοῦτο, ὅτι φησὶν, ὁ διάβολος, χειρόγραφον ἐποίησεν πρὸς τὸν Ἀδὰμ ὁ Θεὸς, "ᾗ ἂν ἡμέρᾳ φάγῃς ἀπὸ τοῦ ξύλου, ἀποθανῇ." κατεῖχεν οὖν τὸ χειρόγραφον ὁ διάβολος· οὐκ ἔδωκεν ἡμῖν αὐτὸ, ἀλλ' αὐτὸς αὐτὸ ἔσχισεν· ὅπερ τοῦ μετὰ χαρᾶς ἀφιέντος ἐστίν· "ἀπεκδυσάμενος," φησὶν, "τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας·" ἐνταῦθα τὰς διαβολικὰς λέγει δυνάμεις· ἐπεὶ οὖν αὐτὰς ἡ ἀνθρωπίνη φυσὶς ἐνδέδυτο· ἢ ἐπειδὴ ὥσπερ λαβὴν εἶχον, ἄνθρωπος γενόμενος ἀπεδύσατο τὴν λαβήν.

Τί ἐστιν "ἐδειγμάτισεν;" καλῶς εἶπεν· οὐδέποτε οὕτως ὁ διάβολος ἠσχημόνησεν· προσδοκῶν γὰρ αὐτὸν ἔχειν, καὶ οὓς εἶχεν ἀπώλεσεν· ἐκεῖ τοῦ σώματος προσηλουμένου, καὶ οἱ νεκροὶ ἀνίσταντο· ἐκεῖ τὴν πληγὴν ἔλαβεν ὁ θάνατος, ὑπὸ σώματος νεκροῦ καιρίαν λαβών· καὶ καθάπερ ἀθλητὴς νομίζων τὸν ἀντίπαλον βεβληκέναι, καιρίαν κατέχεται λαβήν· οὕτω δὴ καὶ αὐτὸς δείκνυσιν ὅτι τὸ μετὰ παρρησίας ἀποθανεῖν ἀσχημοσύνη ἐστι τοῦ διαβόλου· ἐπειδὴ γὰρ τῆς μὲν ἀναστάσεως ὁ μετὰ ταῦτα πᾶς καιρὸς τεκμήριον ἦν· τοῦ δὲ θανάτου εἰ μὴ ἐκεῖνος ἐγένετο, οὐκ ἂν ἐγένετο ἕτερος· διὰ τοῦτο ἀπέθανεν μὲν δημοσίᾳ πάντων ὁρώντων. οὐκ ἀνέστη δὲ δημοσίᾳ· εἰδὼς τὸν μετὰ ταῦτα χρόνον μαρτυρήσοντα τῇ ἀληθείᾳ· τὸ γὰρ τοῦ κόσμου ὁρῶντος, ἄνω ἐν τῷ ξύλῳ τὸν ὄφιν σφαγιασθῆναι, τοῦτο θαυμαστόν.

Καὶ τί γὰρ οὐκ ἐποίησεν ὁ διάβολος ὥστε λαθόντα αὐτὸν ἀποθανεῖν; ἄκουε τοῦ Πιλάτου λέγοντος, "ἄρατε αὐτὸν ὑμεῖς καὶ

"σταυρώσατε· ἐγὼ γὰρ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν," καὶ μυρία ἀνθισταμένου. καὶ πάλιν οἱ Ἰουδαῖοι ἔλεγον αὐτῷ· "εἰ "υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ·" λοιπὸν οὖν ἐπειδὴ καιρίαν ἔλαβεν, κατέβη· διὰ τοῦτο καὶ ταφῇ παρεδόθη· ἐπεὶ δυνατὸν ἦν εὐθέως ἀναστῆναι· ἀλλ' ἵνα πιστευθῇ τὸ πρᾶγμα· καὶ ὁ στρατιώτης οὐ κατέαξεν αὐτοῦ τὰ σκέλη καθάπερ τῶν ἄλλων, ἵνα φανερωθῇ ὅτι τέθνηκεν· καὶ φανεροὶ εἰσὶν οἱ τὸ σῶμα θάψαντες· διὰ τοῦτο καὶ αὐτοὶ σφραγίζονται οἱ Ἰουδαῖοι μετὰ τῶν στρατιωτῶν. ἐπειδὴ γὰρ οἱ Ἄγγελοι οὐδὲν τοιοῦτο πεπόνθασιν, διὰ τούτου ὑπὲρ τούτου πάντα ποιεῖ· δεικνὺς ὅτι μέγα κατώρθωσεν ὁ θάνατος. ὥσπερ μονομάχιον γέγονεν· ἔπληξε τὸν Χριστὸν ὁ θάνατος· ἀλλ' ὁ Χριστὸς πληγεὶς, ὕστερον αὐτὸν ἀνεῖλεν· νεκρῷ σώματι κατελύετο, ὁ δοκῶν θάνατος εἶναι.

(Σετηριανός.) Ἄλλος δὲ φησίν· ἐπειδὴ ὑπὲρ ἡμῶν ἐπολιτεύσατο, τὴν παρακοὴν λύων, καὶ τὴν ἁμαρτίαν ἀναιρῶν, προσηνέχθη, καὶ τὰς ἁμαρτίας ἡμῶν ἐβάστασεν· ταύτας δὲ ἀπολλὺς, καθεῖλε τὴν δύναμιν τὴν διαβολικήν· ἀντὶ τοῦ εἰπεῖν ἐκδύσας τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἀπεκδυσάμενος. καὶ διὰ ταύτης τῆς ἐκδύσεως, θριαμβεύσας καὶ παραδειγματίσας τὰς ἀντικειμένας δυνάμεις· ἐν ἑαυτῷ οὖν ἐκείνας ἀπεξεδύσατο· καὶ ἐκείνας ἐθριάμβευσεν, δι' ὧν ἔπαθεν καὶ κατώρθωσεν.

Ἄλλος δὲ οὕτω φησὶν, αἱ ἀντικείμεναι δυνάμεις οὐκ ἂν ποτὲ ἔσχον τινὰ ἰσχὺν, μὴ ἐπιδεχομένων ἡμῶν ἁμαρτάνειν· τῷ οὖν ἀποθέσθαι, φησὶν, τὴν θνητότητα, ἣν ὑπὲρ τῆς κοινῆς ἀφεῖλεν εὐεργεσίας, ἀπεδύσατο κακείνων τὴν αὐθεντείαν, ᾗπερ ἐκέχρηντο καθ' ἡμῶν· μεγίστην καὶ ἀναμφίβολον τὴν κατ' αὐτῶν ἐργασάμενος νίκην· ὡς αἰσχυνθῆναι κακείνους, μάτην τοσοῦτον ἐπιδειξαμένους καθ' ἡμῶν τὸν πόνον· ἀφ' οὗ μηδὲν αὐτοῖς ἐγένετο ὄφειλος, ἐν κρείττονι τῇ καταστάσει γεγονότων ἡμῶν· ὡς μηδὲ ἁμαρτάνειν ἡμᾶς ἐπιδέχεσθαι ἔτι.

ΚΕΦ. Η.

Ὅτι οὐ τοῦ σαρκικοῦ νόμου τύποι, σαρκικοῖς χρήσιμοι, οὐ πνευματικοῖς τοῖς ἐν δυνάμει Χριστοῦ ζῶσιν.

16 *Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει, ἢ ἐν μέρει ἑορτῆς ἢ νεομηνίας ἢ σαββάτων.*

Χρυσοστόμου. *Πρῶτον αἰνιγματωδῶς εἰπὼν "βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων," καὶ πάλιν ἀνωτέρω· "τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται "ἐν πιθανολογίᾳ·" καὶ προκαταλαβὼν τὴν ψυχὴν καὶ μεμεριμνημένην ἐργασάμενος, εἶτα παρενθεὶς τὰς εὐεργεσίας, καὶ μειζόνως τοῦτο ποιήσας, τότε ἐπάγει τὸν ἔλεγχον καὶ φησὶν, "μὴ οὖν τις "ὑμᾶς κρινέτω ἐν βρώσει ἢ ἐν πόσει." ὅρα πῶς αὐτὰ καθαιρεῖ· εἰ τοιούτων τετυχήκατέ, φησιν, τί τοῖς μικροῖς ὑπευθύνους ἑαυτοὺς ἐποιεῖτε; καὶ ἐξευτελίζει λέγων· "ἢ ἐν μέρει ἑορτῆς·" οὐ γὰρ δὴ πάντα κατεῖχον τὰ πρότερα. διὸ οὐκ εἶπεν ἐν σκηνοπηγίαις καὶ ἀζύμοις καὶ πεντηκοστῇ, ἀλλ' "ἐν μέρει ἑορτῆς·" δεικνὺς ὅτι τὸ πλέον λέλυται· εἰ γὰρ καὶ ἐσαββάτιζον, ἀλλ' οὐκ ἀκριβῶς· καὶ οὐκ εἶπεν μὴ τοίνυν φυλάττετε, ἀλλὰ μή τις ὑμᾶς κρινέτω· ἔδειξεν αὐτοὺς παραβαίνοντας καὶ λύοντας· ἐφ' ἑτέρους δὲ τὸ ἔγκλημα ἐπήνεγκεν. μὴ ἀνέχεσθε τῶν κρινόντων, φησὶν, ἅ ἐστι σκία τῶν μελλόντων· τὸ δὲ σῶμα Χριστοῦ ὅτε ἐγένετο ταῦτα, φησὶ, σκία ἦν τῶν μελλόντων· ἡ δὲ σκία προτρέχει τοῦ σώματος· ἐπειδὴ τοίνυν ἡ σκία τὰ νόμιμα, τί τὸ σῶμα οὐ σκία τοῦ Χριστοῦ; ἐλθόντος οὖν τοῦ σώματος, περιττὴ ἡ σκία. τινὲς οὖν οὕτως τί ζητοῦσιν· οἱ δὲ τὸ σῶμα τοῦ Χριστοῦ.*

18 *Μηδεὶς ὑμᾶς καταβραβευέτω.*

Τουτέστιν ἐπηρεαζέτω· ἢ βραβευθῆναί ἐστιν ὅταν παρ' ἑτέρῳ μὲν ἡ νίκη, παρ' ἑτέρῳ δὲ τὸ βραβεῖον· ὅταν ἐπηρεάζῃ σὺ νικήσας, ἄνωθεν ἕστηκας τοῦ διαβόλου καὶ τῆς ἁμαρτίας. τί πάλιν ὑπάγει σεαυτὸν τῇ ἁμαρτίᾳ; διὰ τοῦτο ἔλεγεν· "ὀφειλέτης "ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι·" καὶ πάλιν "εὑρέθη Χριστὸς "ἁμαρτίας διάκονος."

Θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων, εἰκῇ φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ.

Ἢ πῶς ἐν ταπεινοφροσύνῃ, ἢ πῶς φυσιούμενος, δείκνυσι κενοδοξίας τὸ πᾶν. τί δὲ ὅλως ἐστὶ τὸ λεγόμενον; εἰσί τινες οἱ λέγοντες, οὐ δεῖ, φησὶν, διὰ Χριστοῦ προσάγεσθαι, ἀλλὰ διὰ τῶν Ἀγγέλων· ἐκεῖνο μεῖζον ἐστὶν ἢ καθ' ἡμᾶς. διὰ τοῦτο ἄνω καὶ κάτω στρέφει τὰ ὑπὸ τοῦ Χριστοῦ πραχθέντα, διὰ τοῦ αἵματος τοῦ σταυροῦ αὐτοῦ. διὰ τοῦτο λέγει ὅτι ὑπὲρ ἡμῶν ἔπαθεν, ὅτι ἠγάπησεν ἡμᾶς. καὶ αὐτὸ δὲ τοῦτο, ἐπειρῶντο πάλιν· καὶ οὐκ εἶπεν προσαγωγὴν ἀλλὰ θρήσκειαν· "ἃ μὴ ἑώρακεν ἐμβατεύων·" οὐ γὰρ εἶδεν Ἀγγέλους, καὶ οὕτω διάκειται ὡς ἰδών· διὰ τοῦτό φησιν "φυσιούμενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ εἰκῇ·" οὐδὲ ἐπί τινι ἀληθεῖ πράγματι· ἐπὶ τῷ δόγματι πεφύσηται, καὶ προβάλλεται ταπεινοφροσύνης σχῆμα· ὑπὸ σαρκικῆς διανοίας, οὐ πνευματικῆς· ἀνθρώπινος ὁ λογισμός.

(Σετηριανός.) Ἄλλος φησίν· ἐπειδὴ ἔλεγον, ὅτι ὁ Θεὸς μέγας ἐστὶν, ἀκατάληπτος ἐστὶν, ἀόρατος ἐστὶν, καὶ οὐ φθάνομεν ἐκεῖ· διὰ τοῦτο ἐπειδὴ οὐ χωροῦμεν τὸ μέγα, διὰ τῶν Ἀγγέλων προσαγόμεθα· καὶ ταύτην ταπεινοφροσύνην φησίν.

Θεόδωρος. Ἢ ἐπειδὴ δι' Ἀγγέλων ὁ νόμος ἐλέγετο δεδόσθαι, ὡς ἂν διακονησαμένων αὐτοῦ πρὸς τὴν δόσιν, καθὼς καὶ ὁ μακάριος Παῦλος φησίν· "εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο "βέβαιος·" οἱ τὸν νόμον φυλάττειν αὐτοὺς ἀναπείθοντες προσαβάλλοντο τοὺς Ἀγγέλους· ὡς ἂν καὶ ἐκείνων ἀγανακτούντων, εἰ μὴ ὁ νόμος φυλάττοιτο· εἶτα καὶ μετριότητά τινα δῆθεν ἐπεδείκνυντο, ὡς ἂν δὲ τῆς τοῦ νόμου φυλακῆς οὐκ ἐξιστάμενοι τῷ μηδὲ τοὺς Ἀγγέλους περιορᾶν τοῦ νόμου τὴν καταφρόνησιν. μὴ τοίνυν φησὶ τοῖς τὴν μετριότητα ταύτην ἐπιδεικνυμένοις καὶ βουλομένοις τοὺς Ἀγγέλους προβαλέσθαι προσέχητε· ὑπὸ γὰρ τύφου διανοίας λέγουσιν, ἃ μὴ ἴσασιν.

19 Καὶ οὐ κρατῶν τὴν κεφαλὴν, ἐξ οὗ πᾶν τὸ σῶμα.

Πᾶν τὸ σῶμα ἐκεῖθεν ἔχει τὸ εἶναι καὶ τὸ καλῶς εἶναι· τί τὴν κεφαλὴν ἀφεὶς ἔχῃ τῶν μελῶν; ἂν ἐκεῖθεν ἐκπέσῃς, ἀπόλωλας,

ὅστις ἂν ᾖ, οὐ τὸ ζῆν, ἀλλὰ καὶ τὸ συντίθεσθαι ἐκεῖθεν αὐτῷ. πᾶσα ἡ ἐκκλησία ἕως ἂν ἔχῃ τὴν κεφαλὴν αὔξει. ἐπεὶ οὐκέτι ἀπονοίας καὶ κενοδοξίας τὸ πάθος, ἀνθρωπίνης ἐννοίας τὸ εὕρεμα· ἰδοῦ τὸ ἐξ οὗ ἐπὶ τοῦ Υἱοῦ.

Διὰ τῶν ἀφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον, αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.

Τὴν κατὰ Θεὸν φησὶ, τὴν τῆς ἀρίστης πολιτείας.

(Σευηριανός.) Ἄλλος οὕτως ἐξηγήσατο· ἐντεῦθεν ἔδειξεν τὸν σκόπον ὃν λέγομεν ὅτι διὰ τὸ τινὰς παραινεῖν δι' Ἀγγέλων προσάγεσθαι, διὰ τοῦτο ἐκινήθη. δεῖ, φησὶν, τῆς κεφαλῆς ἔχεσθαι· κεφαλὴ γάρ ἐστι τοῦ παντὸς ὁ Θεὸς Λόγος· τί οὖν ἀφεὶς τὴν κεφαλὴν, κρατεῖς τὸ σῶμα; κἂν γὰρ ἁρμονίας ἔχῃ λόγον συναπτούσης δύο μέλη, ἢ πλείονα τῶν Ἀγγέλων ἡ δύναμις· ἀλλ' οὖν ἀπὸ τῆς κεφαλῆς ἔρχεται εἰς πάντας ἡ ὠφέλεια, εἰς Ἀγγέλους ὡς Ἀγγέλους, εἰς Ἀρχαγγέλους ὡς Ἀρχαγγέλους· εἰς τὰ ὁρατὰ ὡς ὁρατά. θές μοι τὸν οὐρανὸν ἀντὶ κεφαλῆς εἶναι τῷ κόσμῳ, ἀντὶ ὀφθαλμῶν ἥλιον καὶ σελήνην· καὶ οὕτως ἕκαστον μέρος τοῦ κόσμου ἐν μελῶν τάξει συντιθεὶς, εὑρήσεις ἓν σῶμα τοῦ παντός· καὶ καθάπερ ψυχὴ ἐν σώματι καὶ σῶμα ψυχῆς, οὕτως τὰς ἀοράτους δυνάμεις ἐν τοῖς ὁρατοῖς· πάντων δὲ τούτων κυριωτέρα ἡ κεφαλή· ἀφ' ἧς ἡ ὠφέλεια εἰς ὅλον ἔρχεται τὸ σῶμα· ἐπιχορηγουμένη δηλονότι ἀπὸ τῆς κεφαλῆς.

20 *Εἰ οὖν ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε;*

Χρυσοστόμου. Οὐκ ἔχει ἀκολουθίαν· ἔδει γὰρ εἰπεῖν πῶς ζῶντες ὑπείκετε τοῖς στοιχείοις; ἀλλὰ τοῦτο ἀφεὶς τί φησιν· μὴ ἅψῃ μηδὲ, γεύσῃ, μηδὲ θίγῃς, ἅ ἐστι πάντα εἰς φθόραν τῇ ἀποχρήσει κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων.

Σευηριανός. Οὐκ ἐστὲ ἐν τῷ κόσμῳ, φησὶν, πῶς τοῖς στοιχείοις ὑπόκεισθε; πῶς ταῖς τοῦ κόσμου παρατηρήσεσιν; καὶ ὅρα πῶς αὐτοὺς κωμῳδεῖ· μὴ θίγῃς· μηδὲ ἅψῃ· μὴ γεύσῃ· ὡς δειλοὺς καὶ μεγάλων τινῶν ἀπεχομένους· ἅ ἐστι φησὶ, πάντα εἰς φθορὰν τῇ ἀποχρήσει· καθεῖλεν τῶν πολλῶν τὴν φυσίωσιν, καὶ ἐπήγαγεν· "κατὰ τὰ ἐντάλματα καὶ διδασκαλίας τῶν ἀνθρώπων."

τί λέγεις; διδασκαλίας ἀνθρώπων καὶ τὸν νόμον λέγεις λοιπόν; διδασκαλία ἐστιν ἀνθρώπων μετὰ τὸν καιρόν· ἢ ὅτι παρεποίουν· ἢ τὰ τῶν Ἑλλήνων αἰνίττεται· ὅλον τὸ δόγμα ἀνθρώπινόν ἐστι, φησίν.

23 Ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας, ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός.

Λόγον φησὶν, οὐκ ἀλήθειαν οὐδὲ δύναμιν· ὥστε κἂν λόγον ἔχῃ σοφίας, ἀποστρεφώμεθα. δοκεῖ γὰρ εὐλαβής τις εἶναι καὶ μέτριος καὶ τοῦ σώματος κατοφρονεῖν, "οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν "τῆς σαρκός·" ὁ Θεὸς γὰρ τιμὴν ἔδωκεν, αὐτοὶ δὲ οὐκ ἐν τιμῇ κέχρηνται· ἀτιμάζουσι τὴν σάρκα φησὶν, ἀποστεροῦντες αὐτὴν, καὶ τὴν ἐξουσίαν ἀφαιρούμενοι· ὁ δὲ Θεὸς τὴν σάρκα ἐτίμησεν.

(Θεόδωρος.) Ἄλλος φησὶν, ἀσαφὲς μέν ἐστι, βούλεται δὲ εἰπεῖν, ὅτι τὸ ταῦτα παραδιδόναι, δοκεῖ μὲν τινὰς τῶν διδασκόντων ἔνδειξιν ἔχειν γνώσεως, καὶ δῆθεν καὶ μετριοφροσύνης· βουλομένους ἐπιμελεῖσθαι τοὺς περὶ ταῦτα ἔχοντας ἐπιδείκνυσιν, ὡς ἂν καὶ τοῦ σώματος ἀφειδοῦντας, καὶ οὐ τίμιον νομίζοντας τὸ διὰ πάντων πληροῦν τὴν σάρκα· ἀλλὰ γὰρ μᾶλλον αἱρουμένους ἀπέχεσθαι τῶν πολλῶν διὰ τὴν τοῦ νόμου παράδοσιν.

1 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξίᾳ τοῦ Θεοῦ καθήμενος.

Ἀντὶ τοῦ ταπεινὸν πρὸς ὑμᾶς κρινομένη ἡ περὶ τὰ τοιαῦτα σπουδή· τοὺς ἤδη τῷ Χριστῷ κατὰ τὴν ἐπαγγελίαν συναναστάντας, οὐ προσήκει μικρὰ τούτων ἁπάντων φροντίζοντας τὰ ἄνω φαντάζεσθαι, καὶ τὴν ἐν οὐρανοῖς ἀπομιμεῖσθαι δίαιταν;

3 Ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ.

Τεθνήκατέ, φησιν, ἤδη τῷ βίῳ τούτῳ· τοῦτο γὰρ ἡ φύσις δέξεται. ἀλλὰ γὰρ καὶ ἠγέρθητε· καὶ γὰρ καὶ τοῦτο ἐπὶ τοῦ Χριστοῦ· καὶ ἀμφιβάλλειν ἔσεσθαι καὶ ἐπὶ ἡμῶν οὐδαμῶς οἷόντε· ἀλλὰ ἄδηλον τέως τοῦτο· ἐπεὶ μηδὲ αὐτὸν ὁρῶμεν τὸν Χριστόν· ἐν οὖν τῇ τοῦ Θεοῦ δυνάμει τοῦ κατεργαζομένου τοῦτο σὺν αὐτῷ τῷ Χριστῷ, τῇ τούτων ἀπαρχῇ, τέως ἐστὶν ἀφανὲς τὸ ἐσόμενον.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Βαβαῖ ποῦ τὸν λόγον ἀνήγαγεν τὸν ἡμέτερον; πῶς φρονήματος αὐτοὺς ἐπλήρωσεν μεγάλου; οὐκ ἤρκει τὰ ἄνω εἰπεῖν, οὐδὲ οὗ ὁ Χριστός ἐστιν, ἀλλὰ τί; "ἐν δεξιᾷ τοῦ Θεοῦ "καθήμενος·" ἐκεῖθεν λοιπὸν ὁρᾶν τὴν γῆν παρεσκεύασεν· τὰ ἄνω φρονεῖτε, φησὶν, μὴ τὰ ἐπὶ τῆς γῆς. "ἀπεθάνετε γάρ· καὶ ἡ ζωὴ "ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ."

ΚΕΦ. Θ.

Παραίνεσις καθάρσεως, ἁγιασμοῦ, φιλονθρωπίας, φιλοθεότητος, φιλομαθείας, ψαλμῳδίας, εὐφήμου εἰς Θεὸν διαγωγῆς, εὐχαριστίας.

4 Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

Οὐκ ἔστιν αὕτη, φησὶν ἡ ζωὴ, ἡμετέρα· ζωὴ ἑτέρα ἐστίν· ἤδη βιάζεται μεταστῆσαι αὐτοὺς, καὶ φιλονεικεῖ δεῖξαι καθημένους ἄνω καὶ νεκροὺς ὄντας· ἐξ ἑκατέρων κατασκευάζων μὴ ζητεῖν τὰ ἐνταῦθα. εἴτε γὰρ νεκροί ἐστε, εἴτε ἄνω ἐστὲ, οὐκ ὀφείλετε ζητεῖν τὰ ἐνταῦθα. μὴ φαίνεται ὁ Χριστὸς, οὐδὲ ἡ ζωὴ ὑμῶν ἐν τῷ Θεῷ· ἄνω ἐστίν· τί οὖν; πότε ζησόμεθα; ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν· τότε τὴν δόξαν ζητεῖτε, τότε τὴν ζωὴν, τότε τὴν τρυφήν. ταῦτα προπαρασκευαστικὰ τοῦ τῆς τρυφῆς ἀπαγαγεῖν καὶ τῆς ἀνέσεως· τοιοῦτον ἔθος αὐτῷ, ἀλλὰ κατασκευάζοντι εἰς ἄλλα μεταπηδᾶν· οἷον ὥσπερ περὶ τῶν προλαμβανόντων εἰς τὰ δεῖπνα διαλεγόμενος, ἐνέπεσεν ἀθρόον εἰς τὴν τῶν μυστηρίων παρατήρησιν· μέγαν γὰρ ἔλεγχον ἔχει ὅτ' ἂν ἀνυπόπτως γίνηται· "κέκρυπται," φησὶν, ἀφ' ὑμῶν· τότε καὶ ὑμεῖς ἐν αὐτῷ φανερωθήσεσθε. ὅπερ γὰρ εἶπον, ἀεὶ φιλονεικεῖ δεῖξαι τὰ αὐτὰ ἔχοντας ἅπερ καὶ ὁ Χριστός· καὶ διὰ πασῶν αὐτοῦ τῶν Ἐπιστολῶν οὗτος ὁ λόγος ἐν πᾶσι κοινωνοῦντας αὐτοῦ δεῖξαι· εἰ τοίνυν τότε φανερούμεθα, μὴ ἀσχάλλωμεν, ἐπεὶ καὶ ὁ μαργαρίτης κέκρυπται, ἕως ἂν ᾖ ἐν τῷ ὀστρέῳ.

5 Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς.

Τί λέγεις; σὺ εἶπες ὅτι συνετάφημεν, ὅτι περιετμήθημεν· ὅτι ἀπεκδυσάμεθα τὸ σῶμα τῆς σαρκὸς, πῶς οὖν πάλιν λέγεις

“νεκρώσατε·” ὡς ὄντων αὐτῶν ἐν ἡμῖν οὕτω διαλέγῃ, οὐκ ἔστιν ἐναντιολογία· ἀλλ᾽ ὥσπερ εἴτις ἐρρυπωμένον ἀνδρίαντα ἀποσμήξας, μᾶλλον δὲ ἀναχαλκεύσας, καὶ λαμπρὸν δείξας ἄνωθεν, λέγοι μὲν ὅτι κατεπόθη ὁ ἰὸς καὶ ἀπώλετο· παραινεῖ δὲ πάλιν σπουδάζειν ἀποτίθεσθαι τὸν ἰὸν, οὐκ ἐναντιολογεῖ· οὐ γὰρ ὃν ἀπέσμηξεν ἰὸν, ἀλλὰ τὸν ἐπιγινόμενον μετὰ ταῦτα παραινεῖ ἀποθέσθαι· οὕτως οὐ τὴν προτέραν νέκρωσιν λέγει, οὐδὲ τὰς πονηρὰς ἐκείνας, ἀλλὰ τὰς ἐπιγινομένας ὕστερον. διὰ τοῦτο δὲ μέλη καλεῖ· καθάπερ ἀριστέα τινὰ εἰσάγων καὶ εἰς μείζονα ἄγων ἔμφασιν· καὶ καλῶς εἶπεν “τὰ ἐπὶ τῆς γῆς·” ἐνταῦθα γὰρ μένει, καὶ ἐνταῦθα πολλῷ μᾶλλον τῶν μελῶν· ὥστε οὐχ οὕτως τὸ σῶμα ἐστὶν ἀπὸ γῆς, ὡς ἡ ἁμαρτία γηΐνη. εἰπὲ δή μοι· ἐπειδὴ εἶπεν “νεκρώσατε ὑμῶν τὰ “μέλη τὰ ἐπὶ τῆς γῆς,” καὶ ἡ γῆ διαβέβληται; ἢ τὰ ἐπὶ γῆς αὐτὰ καλεῖ ἁμαρτήματα, πορνείαν, ἀκαθαρσίαν, φησίν. παρῆκεν τὰ πράγματα ἃ οὐδὲ εἰπεῖν καλόν· καὶ διὰ τῆς ἀκαθαρσίας ἅπαντα ἐνέφηνεν· πάθος, φησὶν, ἐπιθυμίαν κακήν· ἰδοὺ γενικῶς τὸ πᾶν εἶπεν· πάντα γὰρ ἐπιθυμία κακή.

6 Καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, διὰ ταῦτα γὰρ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

Οὐκ εἶπεν ἐφ᾽ ὑμᾶς· ἀλλ᾽ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας.

7 Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς.

Ἐντρεπτικῶς “ὅτε ἐζῆτε,” φησὶν, “ἐν αὐτοῖς” καὶ μετὰ ἐγκωμίου· ὡς νῦν οὐ ζώντων, τότε ἐζῆν.

8 Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα.

Καὶ καθολικῶς ἀεὶ λέγει καὶ ἰδικῶς. ταῦτα δέ ἐστι διαθέσεως.

Ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν,
9 ἐκ τοῦ στόματος ὑμῶν. καὶ μὴ ψεύδεσθε εἰς ἀλλήλους,
ἐκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν
10 αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νεὸν, τὸν ἀνακαινούμενον
εἰς ἐπίγνωσιν κατ᾽ εἰκόνα τοῦ κτίσαντος αὐτόν.

Ἄξιον ἐνταῦθα ζητῆσαι τί δήποτε μέλη καὶ ἄνθρωπον καὶ σῶμα

καλεῖ; τὸν διεφθαρμένον βίον καὶ τὸν ἐνάρετον πάλιν τὸ αὐτό· καὶ εἰ ὁ ἄνθρωπος εἰσὶν ἁμαρτίαι, πῶς φησὶν “σὺν ταῖς πράξεσιν “αὐτοῦ;” ἅπαξ γὰρ εἶπεν παλαιὸν ἄνθρωπον, δεῖξας ὅτι οὐ τοῦτό ἐστιν ἄνθρωπος ἀλλ' ἐκεῖνο· τῆς οὐσίας ἡ προαίρεσις κυριωτέρα· καὶ τοῦτο μᾶλλον ἄνθρωπος ἢ ἐκεῖνο· οὐ γὰρ ἡ οὐσία ἐμβάλλει εἰς γέενναν, οὐδὲ εἰς βασιλείαν εἰσάγει, ἀλλ' αὐτοὶ οἱ ἄνθρωποι· καὶ οὐδένα οὔτε φιλοῦμεν οὔτε μισοῦμεν ᾗ ἄνθρωπος ἀλλ' ᾗ τοιόσδε ἢ τοιόσδε ἄνθρωπος. τί δὲ φησὶν, “σὺν ταῖς πράξεσιν;” τὴν προαίρεσιν μετὰ τῶν ἔργων. παλαιὸν δὲ καλεῖ, τὸ αἰσχρὸν αὐτοῦ βουλόμενος δεῖξαι καὶ δυσειδὲς καὶ τὸ ἠσθενηκός· καὶ νέον, ἀντὶ τοῦ μὴ προσδοκήσητέ, φησιν, ὅτι καὶ οὗτος τὸ αὐτὸ πείσεται· ἀλλὰ τουναντίον· ὅσῳ γὰρ ἂν προΐῃ, οὐ πρὸς γῆρας ἐπείγεται ἀλλὰ πρὸς νεότητα μείζονα τῆς προτέρας· ὅταν γὰρ πλείονα λάβῃ τὴν γνῶσιν; καὶ μειζόνων ἀξιοῦται καὶ μᾶλλον ἀκμάζει· οὐκ ἀπὸ τῆς νεότητος μόνον, ἀλλὰ καὶ τοῦ εἴδους πρὸς ὅ ἐστιν. ἰδοὺ κτίσις ἡ ἀρίστη πολιτεία λέγεται κατ' εἰκόνα τοῦ Χριστοῦ· τοῦτο γάρ ἐστι “κατ' εἰκόνα αὐτοῦ κτίσαντος αὐτόν.” ἐπεὶ καὶ ὁ Χριστὸς οὐ πρὸς γῆρας ἐτελεύτησεν· ἀλλ' οὕτως ἐστὶν καλὸς ὡς μηδέ ἐστιν εἰπεῖν.

(Σευηριανός.) Καὶ Ἄλλος φησὶν, σάρκα καλεῖ τὴν ἁμαρτίαν, ἧς καὶ τὰ μέλη καταριθμεῖ· καὶ ἀριθμήσας τὸν ἐκ τούτων τῶν μελῶν συνεστῶτα ἄνθρωπον, παρακελεύεται “ἀπεκδύσασθαι τὸν “παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ.” ὥστε ὁ παλαιὸς ἄνθρωπός ἐστιν τὸ φρόνημα τὸ τῆς ἁμαρτίας· μέλη δὲ αὐτοῦ αἱ πράξεις τῶν ἁμαρτημάτων. καὶ ὥσπέρ ἐστι παλαιὸς ἄνθρωπος, οὕτως ἐστὶ καὶ νέος· τουτέστιν τὸ φρόνημα τὸ πνευματικόν· καὶ μέλη αὐτοῦ, αἱ ἀγαθαὶ πράξεις· ὡς καὶ ἀριθμεῖ λέγων, “χρη-“στότητα, μακροθυμίαν,” καὶ τὰ ἑξῆς.

11 Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

Πάντα, φησὶν, ὑμῖν ὁ Χριστός ἐστιν, καὶ ἀξίωμα καὶ γένος· καὶ ἐν πᾶσι ὑμῖν αὐτός· ἢ ἕτερον φησὶν ὅτι πάντες εἰς Χριστὸν ἐγένεσθε, σῶμα αὐτοῦ ὄντες.

(Σετηριανός.) Ἄλλος φησίν· ὅμοιόν ἐστιν "ἵνα ᾖ ὁ Θεὸς τὰ "πάντα ἐν πᾶσι." οὐκοῦν οὐρανὸς ἐν οὐρανῷ, οὐδὲ γῆ ἐν γῇ· ἀλλ' ὃ φησὶν τοιοῦτόν ἐστιν· ὅταν τὸ τούτου φρονῇς καὶ ποιῇς, Θεός ἐστιν ὁ ποιῶν διὰ σοῦ· καὶ αὐτός ἐστιν ἐν σοί, τὸ ποιεῖν σε ἃ ἐκείνῳ δοκεῖ.

12 Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτὰ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι.

Χρυσοστόμου. Τὸ εὔκολον δείκνυσι τῆς ἀρετῆς καὶ διηνεκῶς αὐτὴν ἔχειν· καὶ ὥστε ὡς μεγίστῳ κόσμῳ κεχρῆσθαι. καὶ μετὰ ἐγκωμίου ἡ παραίνεσις· τότε γὰρ μάλιστα ἰσχύει· ἐγένοντο γὰρ ἅγιοι, ἀλλ' οὐκ ἐκλεκτοί· νυνὶ δὲ καὶ ἐκλεκτοὶ, ἅγιοι καὶ ἠγαπημένοι. "σπλάγχνον," φησὶν, "οἰκτιρμοῦ." οὐκ εἶπεν ἔλεον, ἀλλ' ἐμφαντικώτερον διὰ τῶν δύο· καὶ οὐκ εἶπεν ὅτι ὡς ἀδελφοῖς, ἀλλ' ὡς παισὶ πατέρες· μὴ γάρ μοι εἴπῃς ὅτι ἥμαρτεν· διὰ τοῦτο εἶπεν σπλάγχνα, καὶ οὐκ εἶπεν οἰκτιρμὸν, ἵνα μὴ ἐκείνους ἐξευτελίσῃ, ἀλλὰ σπλάγχνα οἰκτιρμοῦ.

13 Χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν, ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ὑμῖν.

Οὕτως καὶ ὑμεῖς· ἀπὸ γὰρ χρηστότητος, ταπεινοφροσύνη· καὶ ἀπὸ ταύτης, μακροθυμία· "ἀνεχόμενοι," φησὶν, "ἀλλήλων" τουτέστιν, παραπεμπόμενοι· καὶ ὅρα πῶς αὐτὸ οὐδὲν ἔδειξεν "μομφὴν" καλέσας· καὶ εἰπὼν "καθὼς καὶ ὁ Χριστὸς ἐχαρί-"σατο ὑμῖν·" μέγα τὸ ὑπόδειγμα ὅπερ ἀεὶ ποιεῖ, ἀπὸ τοῦ Χριστοῦ προτρέπων αὐτούς· διὰ δὲ τοῦ ὑποδείγματος ἔδειξεν ὅτι κἂν μεγάλα ἔχωμεν ἐγκαλεῖν, δεῖ χαρίζεσθαι· τὸ γὰρ "καθὼς καὶ ὁ "Χριστὸς," τοῦτο σημαίνει· καὶ οὐ τοῦτο μόνον, ἀλλ' ὅτι καὶ φιλεῖν δεῖ ἐξ ὅλης καρδίας· καὶ ὅτι καὶ τὴν ψυχὴν δεῖ ὑπὲρ αὐτῶν θεῖναι.

14 Ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος.

Ὁρᾷς ὅτι τοῦτο λέγει; ἐπειδὴ γὰρ ἔνι χαριζόμενον μὴ φιλεῖν, καὶ ὁδὸν δείκνυσιν δι' ἧς δυνατὸν χαρίζεσθαι· ἔστι γὰρ καὶ χρη-

στὸν εἶναί τινα, καὶ πρᾶον καὶ ταπεινόφρονα καὶ μακρόθυμον, καὶ μὴ ποθεῖν· διὸ ἀρχόμενος εἶπεν, σπλάγχνα οἰκτιρμοῦ καὶ ἀγάπην καὶ ἔλεον· ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην φησὶν, "ἥτις "ἐστὶ σύνδεσμος τῆς τελειότητος·" τουτέστιν ὅτι οὐδὲν ἐκείνων ὄφελος. διαλύεται γὰρ πάντα ἐκεῖνα, ἐὰν μὴ μετὰ ἀγάπης γίνηται· πάντα ἐκεῖνα αὐτὴ συσφίγγει· καὶ ὅπερ ἂν εἴπῃς ἀγαθὸν, ταύτης ἀπούσης, οὐδέν ἐστι, ἀλλὰ διαρρεῖ, ὃν τρόπον καὶ ἐπὶ πλοίου· κἂν γὰρ μεγάλα ᾖ τὰ σκεύη, ὅταν μὴ ᾖ τὰ ὑποζώματα, οὐδὲν ὄφελος· καὶ ἐπὶ σώματος, κἂν μέγα ᾖ τὰ ὀστᾶ, οἱ σύνδεσμοι ἐὰν μὴ ὦσιν, οὐδὲν ὄφελος.

15 Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν σώματι ἑνὶ, καὶ εὐχάριστοι γίνεσθε.

Ἐὰν μάχωνται, φησὶν, λογισμοὶ δύο, μὴ στήσῃς τὸν θυμὸν μηδὲ τὴν ἐπήρειαν κατέχουσαν τὸ βραβεῖον, ἀλλὰ τὴν εἰρήνην· οἷον ἔστω τις ὑβρισθεὶς ἀδίκως, ἀπὸ τῆς ὕβρεως ἐτέχθησαν δύο λογισμοί· ὁ μὲν κελεύων ἀμύνεσθαι, ὁ δὲ ἐνεγκεῖν. καὶ παλαίουσιν ἀλλήλοις. ἐὰν ἡ εἰρήνη τοῦ Θεοῦ ἑστήκοι βραβεύουσα μέση, τῷ κελεύοντι φέρειν δίδωσι τὸ βραβεῖον, καὶ καταισχύνει ἐκεῖνον· πῶς; πείθουσα ὅτι ὁ Θεὸς εἰρήνη ἐστίν.

(Σετηριανός.) Ἄλλος φησὶν, μὴ οἱ πλανῶντες καταβραβευέτωσαν, ἀλλ' ἡ εἰρήνη τοῦ Χριστοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, τουτέστι τῷ ἡνῶσθαι Χριστῷ καὶ τὰ αὐτοῦ φρονεῖν· εἶτα πάλιν προτροπή· "εἰς ἣν ἐκλήθητε," φησὶν, τουτέστιν ἐφ' ἣν ἐκλήθητε· ἀνέμνησεν ὅσων ἀγαθῶν αἰτία ἡ εἰρήνη· διὰ ταύτην ἐκάλεσεν· ἐπὶ ταύτῃ σε ἐκάλεσεν ὥστε ἀξιοπίστως ἀναδέξασθαι τὸ βραβεῖον· διὰ τί γὰρ ἓν σῶμα ἐποίησεν; οὐ διὰ τὴν εἰρήνην; "καὶ εὐχάριστοι γίνεσθε." τοῦτό ἐστιν εὐχάριστον εἶναι· τὸ ὁμοίως κεχρῆσθαι τοῖς ὁμοδούλοις, ὥσπερ αὐτῷ ὁ Θεός· οὐ γὰρ δὴ ὁ τῷ Θεῷ χάριν ὁμολογῶν ὑπὲρ ὧν ἔπαθεν, τὸν ποιήσαντα ἀμυνεῖται.

ΚΕΦ. Ι.

Τὰ πρὸς τοὺς οἰκείους ὁμονοητικῶς.

16 Ὁ λόγος τοῦ Θεοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως.

Τουτέστιν ἡ διδασκαλία, τὰ δόγματα, ἡ παραίνεσις, ἐν αἷς οὐδὲν τὴν παροῦσαν ζωὴν εἶναι φησὶν, οὐδὲ τὰ ταύτης ἀγαθά. "ἐνοικείτω," φησὶν, "ἐν ὑμῖν πλουσίως·" μὴ ἁπλῶς· ἀλλὰ μετὰ πολλῆς τῆς περιουσίας.

Ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτούς.

Τὴν ἀρετὴν σοφίαν φησὶν, καὶ ἡ ταπεινοφροσύνη καὶ ὅσα τοιαῦτα, σοφία ἐστίν. ὥσπερ οὖν τἀναντία ἄνοια· ὅθεν πολλαχοῦ τὴν πᾶσαν ἁμαρτίαν ἀφροσύνην καλεῖ· "εἶπεν," φησὶν, "ἄφρων "ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἔστι Θεὸς," καὶ πάλιν "προσώζεσαν καὶ "ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου."

Ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς.

Οἱ ψαλμοὶ πάντα ἔχουσιν· οἱ ὕμνοι οὐδὲν ἀνθρώπινον, ἅτε θειότερον πρᾶγμα· αἱ γὰρ ἄνω δυνάμεις ὑμνοῦσιν, οὐ ψάλλουσιν· ἁμαρτωλοὶ, οὐχ ὑμνοῦσιν· "οὐ γὰρ ὡραῖος αἶνος," φησὶν, ἐν "στόματι ἁμαρτωλοῦ." διὰ τοῦτο μετὰ τὰς ψαλμῳδίας ὕμνοι, ἅτε ἐπὶ τελειότερόν τι πρᾶγμα.

Ἄιδοντες ἐν ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ.

Ἢ τοῦτό φησιν, ὅτι διὰ χάριν ἡμῖν ταῦτα ἔδωκεν ὁ Θεός· ἢ ταῖς ἐν τῇ χάριτι ᾠδαῖς· ἢ νουθετοῦντες ἑαυτοὺς καὶ διδάσκοντες ἐν χάριτι, ἢ ὅτι ἐν χάριτι εἶχον ταῦτα τὰ χαρίσματα· ἐπεξήγησίς ἐστιν ἀπὸ τῆς χάριτος, φησὶν, τοῦ Πνεύματος· "ᾄδοντες ἐν "ταῖς καρδίαις ὑμῶν τῷ Θεῷ·" μὴ ἁπλῶς, φησὶν, τῷ στόματι· ἀλλὰ μετὰ προσοχῆς· τοῦτο γάρ ἐστι τῷ Θεῷ ᾄδειν· ἐκεῖνο δὲ τῷ ἀέρι.

17 Καὶ πᾶν ὅτι ἂν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ Χριστοῦ.

Ἐὰν γὰρ οὕτως ποιῶμεν, οὐδὲν ἔσται μιαρὸν οὐδὲ ἀκάθαρτον· ἔνθα ἂν ὁ Χριστὸς καλῆται· εἰ γὰρ ὑπάτων ὀνόματα ἀσφαλῆ τὰ

γραμματεῖα ποιεῖ, πολλῷ μᾶλλον τοῦ Χριστοῦ τὸ ὄνομα· ἢ τοῦτο φησίν· πάντα κατὰ Θεὸν πράττετε καὶ λέγετε, μὴ τοὺς Ἀγγέλους ἐπεισάγετε.

18 Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκεν ἐν Κυρίῳ.

Ἀντὶ τοῦ ὑποτάσσεσθε διὰ τὸν Θεόν.

19 Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς.

Ὥσπερ ἐκεῖ φόβον καὶ ἀγάπην τίθησιν, οὕτω καὶ ἐνταῦθα· ἐστὶ γὰρ καὶ ἀγαπῶντα πικραίνεσθαι· ὃ οὖν φησὶν τοῦτό ἐστι· μὴ μάχεσθε· αἱ γὰρ πρὸς τὰ φιλούμενα πρόσωπα γινόμεναι μάχαι, αὗται πικραί· τὸ μὲν οὖν ἀγαπᾶν τῶν ἀνδρῶν ἐστιν· τὸ δὲ εἴκειν ἐκείνων.

20 Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γάρ ἐστιν εὐάρεστον ἐν Κυρίῳ.

Πάλιν τὸ ἐν Κυρίῳ τέθεικεν, καὶ νόμους τιθεὶς ὑπακοῆς, καὶ ἐντρέπων καὶ καταβάλλων· ὅρα πῶς οὐκ ἀπὸ τῆς φύσεως μόνης, ἀλλὰ πρὸ ταύτης ἀπὸ τῶν τῷ Θεῷ δοκούντων βούλεται ὑμᾶς ἅπαντα πράττειν ἵνα καὶ μισθὸν ἔχωμεν.

21 Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν ἵνα μὴ ἀθυμῶσιν.

Οὐκ εἶπεν ἀγαπᾶτε τὰ τέκνα, περιττὸν γὰρ ἦν· αὐτὴ γὰρ ἡ φύσις καταναγκάζει· ἀλλ᾽ ὅπερ ἔδει διώρθωσεν· τουτέστιν μὴ φιλονεικοτέρους αὐτοὺς ποιῆτε· ἔστιν ὅπου καὶ συγχωρεῖν ὀφείλετε.

22 Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις.

Ἐπὶ τρίτην ἦλθεν ἀρχήν· ἐνταῦθα ἔστι μέν τι καὶ φίλτρον· ἀλλ᾽ οὐκέτι φυσικὸν καθάπερ ἄνω, ἀλλὰ συνηθείας· καὶ ἀπ᾽ αὐτῆς τῆς ἀρχῆς καὶ ἀπὸ τῶν ἔργων· ἐπεὶ οὖν ἐνταῦθα τὸ μὲν τοῦ φίλτρου ὑποτέμνεται, τὸ δὲ τῆς ὑπακοῆς ἐπιτέταται, τούτῳ ἐνδιατρίβει, βουλόμενος ὅπερ οἱ πρῶτοι ἔχουσιν ἀπὸ τῆς φύσεως, τούτοις δοῦναι ἀπὸ τῆς ὑπακοῆς· ἀλλ᾽ ἵνα μὴ ἀλγήσῃ δοῦλος

ἀκούων, ἐπήγαγεν "τοῖς κατὰ σάρκα κυρίοις." τὸ κρεῖττόν σου, ἡ ψυχὴ, ἠλευθέρωται, φησίν· πρόσκαιρος ἡ δουλεία· ἐκεῖνο τοίνυν ὑποτάξον, ἵνα μηκέτι ἀνάγκης ᾖ ἡ δουλεία· μὴ κατ' ὀφθαλμὸν δουλείαν ὡς ἀνθρωπάρεσκοι· ποίησον φησὶν τὴν ἀπὸ τοῦ νόμου δουλείαν, ἀπὸ τοῦ φόβου τοῦ Χριστοῦ γενέσθαι· καὶ γὰρ μὴ ὁρῶντος ἐκείνου, ἂν πράττῃς τὰ δέοντα καὶ τὰ πρὸς τιμὴν τοῦ δεσπότου, δηλονότι διὰ τὸν ἀκοίμητον ὀφθαλμὸν ποιεῖς.

Ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Θεόν.

Ἐκεῖνο γὰρ οὐχ ἁπλότης, ἀλλ' ὑπόκρισις, ἕτερον ἔχειν καὶ ἕτερον ποιεῖν· ἀλλ' ἐν ἁπλότητι καρδίας, οὐχ ἁπλῶς, ἀλλὰ φοβούμενοι τὸν Θεόν· τοῦτο γάρ ἐστι τὸ φοβεῖσθαι τὸν Θεὸν, ὅτ' ἂν μηδενὸς ὁρῶντος, μηδὲν πράττωμεν πονηρόν· ἐὰν δὲ πράττωμεν· οὐχὶ τὸν Θεὸν, ἀλλὰ τοὺς ἀνθρώπους φοβούμεθα.

23 Πᾶν ὅτι ἂν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ καὶ οὐκ ἀνθρώποις.

Οὐ μόνον ὑποκρίσεως, ἀλλὰ καὶ ἀργίας αὐτοὺς ἀπηλλάχθαι βούλεται· ἐλευθέρους αὐτοὺς ἐποίησεν ἀπὸ δούλων· ὅταν μὴ δέωνται τῆς τῶν δεσποτῶν ἐπιστασίας· τὸ γὰρ ἐκ ψυχῆς τοῦτό ἐστιν, τὸ μετ' εὐνοίας, μὴ μετὰ δουλικῆς ἀνάγκης, ἀλλὰ μετὰ ἐλευθέρας προαιρέσεως· καὶ τίς ὁ μισθός; "εἰδότες," φησὶν, "ὅτι ἀπὸ "Κυρίου λήψεσθε τὸν ἀνταπόδοσιν τῆς κληρονομίας ὑμῶν·" τῷ γὰρ Κυρίῳ δουλεύετε καὶ παρ' αὐτοῦ λήψεσθε τὸν μισθόν· "ὁ δὲ "ἀδικῶν," φησὶν, "κομιεῖται ὃ ἠδίκησεν·" ἐνταῦθα βεβαιοῖ τὸν πρότερον λόγον· ἵνα γὰρ μὴ δόξῃ κολακείας εἶναι τὰ ῥήματα, λήψεται, φησὶν, ὃ ἠδίκησεν· τουτέστι καὶ τιμωρίαν δίδωσιν. ἐνταῦθά μοι δοκεῖ τοὺς Ἕλληνας αἰνίττεσθαι δεσπότας. τί γὰρ, ἐκεῖνος μὲν Ἕλλην· σὺ δὲ Χριστιανός; οὐ τὰ πρόσωπα, ἀλλὰ τὰ πράγματα ἐξετάζεται· ὥστε καὶ οὕτως μετ' εὐνοίας καὶ ἐκ ψυχῆς δεῖ δουλεύειν.

1 Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχεσθε.

Τί ἐστι τὸ δίκαιον; τί δέ ἐστιν ἰσότης; πάντων ἐν ἀφθονίᾳ καθιστᾶν καὶ μὴ ἐᾶν ἑτέρων δεῖσθαι, ἀλλ' ἀμείβεσθαι αὐτοὺς τῶν

πόνων· "καὶ ὑμεῖς μετ' ἐκείνων," φησίν· ἐνταῦθα κοινὴν ἐποίησεν τὴν δουλείαν.

2 Εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε Κύριον ἐν οὐρανοῖς. τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν αὐτῇ ἐν εὐχαριστίᾳ.

Ἐπειδὴ γὰρ τὸ καρτερεῖν ἐν ταῖς εὐχαῖς, ῥαθυμίαν πολλάκις ποιεῖ, διὰ τοῦτό φησιν "γρηγοροῦντες," τουτέστιν νήφοντες, μὴ ῥεμβόμενοι. οἶδεν γὰρ, οἶδεν διάβολος, ὅσον ἀγαθὸν εὐχή· διὸ βαρὺς ἔγκειται· οἶδεν δὲ καὶ Παῦλος πῶς ἀκηδιῶσι πολλοί. διὸ φησὶν, προσκαρτερεῖτε τῇ προσευχῇ· ὡς περί τινος ἐπιπόνου· καὶ τοῦτο, φησὶν, ἔστω ἔργον ὑμῶν, ἐν ταῖς εὐχαῖς εὐχαριστεῖν, καὶ ὑπὲρ τῶν φανερῶν καὶ ὑπὲρ τῶν ἀφανῶν, καὶ ὑπὲρ κοινῶν εὐεργεσιῶν, καὶ ὑπὲρ ἰδίων· καὶ ἁπλῶς, ἐν παντὶ εὐχαριστεῖν.

3 Προσευχόμενοι ἅμα καὶ περὶ ἡμῶν.

Ὅρα τὴν ταπεινοφροσύνην, μετ' ἐκείνους ἑαυτὸν τίθησιν· "ἵνα," φησὶν, "ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου λαλῆσαι τὸ μυστήριον τοῦ "Χριστοῦ." εἴσοδον φησὶν καὶ παρρησίαν· οὐκ εἶπεν, ἵνα ἀπαλλαγῶμεν τῶν δεσμῶν· ἀλλὰ δέσμιος ὤν, ἑτέρους παρακαλεῖ ἐπὶ πράγματι μεγάλῳ, ἵνα παρρησίαν λάβῃ. "τὸ μυστήριον," φησὶ, "τοῦ Χριστοῦ." δείκνυσιν ὅτι οὐδὲν αὐτοῦ τούτου ποθεινότερον τοῦ λαλῆσαι.

4 Διὸ καὶ δέδεμαι, ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι.

Μετὰ πολλῆς, φησὶν, τῆς παρρησίας, μηδὲν ὑποστειλάμενον τὰ δεσμά.

5 Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.

Τουτέστιν, μηδεμίαν αὐτοῖς δίδοτε λαβὴν καθ' ὑμῶν· διὰ γὰρ τοῦτο, πρόσκειται πρὸς τοὺς ἔξω, ἵνα μάθωμεν ὅτι πρὸς τὰ μέλη τὰ οἰκεῖα οὐ τοσαύτης ἡμῖν δεῖ τῆς ἀσφαλείας, ὅσης πρὸς τοὺς ἔξω.

Τὸν καιρὸν ἐξαγοραζόμενοι.

Τουτέστιν οὐκ ἔστιν ὑμέτερος ὁ καιρὸς, ἀλλ' ἐκείνων ἐστιν· μὴ

τοίνυν βούλεσθε αὐθεντεῖν, ἀλλ' ἀγοράζετε· ὑμέτερον αὐτὸν ποιεῖτε ἑτέρως.

6 Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος.

Τουτέστιν ὥστε μὴ εἰς ἀδιαφορίαν τὸ χάριεν ἐκπίπτειν· ἔνι γὰρ καὶ χαριεντίζεσθαι, μετὰ τῆς προσηκούσης κοσμιότητος.

Εἰδότες πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Ὥστε οὐχ ὁμοίως πᾶσι διαλέγεσθαι χρή· Ἕλλησι λέγω καὶ ἀδελφοῖς.

7 Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ.

Βαβαῖ, πόση σοφία Παύλου; πῶς οὐ πάντα ἐντίθησιν εἰς τὰς ἐπιστολὰς, ἀλλὰ τὰ ἀναγκαῖα καὶ τὰ καταπείγοντα; πρῶτον μὲν οὐ βουλόμενος αὐτὰς εἰς μῆκος ἐκτείνειν· δεύτερον καὶ τὸν ἀπερχόμενον αἰδεσιμώτερον ποιῶν, ἵνα ἔχῃ τί καὶ διηγεῖσθαι· τρίτον δεικνὺς πῶς πρὸς αὐτὸν διάκειται· οὐ γὰρ ἂν αὐτῷ ταῦτα ἐνεχείρισεν εἰπεῖν, ἃ οὐκ ἔδει διὰ γραμμάτων δηλωθῆναι. "ὁ ἀγαπητός," φησὶν, "ἀδελφός." εἰ ἀγαπητὸς, πάντα οἶδεν, καὶ οὐδὲν αὐτὸν ἔκρυπτεν· "καὶ πιστὸς διάκονος καὶ σύνδουλος ἐν Κυρίῳ." εἰ πιστὸς, οὐδὲν ψεύσεται· εἰ σύνδουλος, κεκοινώνηκεν τῶν πειρασμῶν· ὥστε πάντοθεν τὸ ἀξιόπιστον συνήγαγεν. "ὃν ἔπεμψα," φησὶν, "πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο·" ἐνταῦθα τὴν ἀγάπην δείκνυσι τὴν πολλήν· εἴ γε διὰ τοῦτο αὐτὸν ἀπέσταλκεν· δείκνυσι δὲ αὐτοὺς καὶ ἐν πειρασμοῖς ὄντας τῷ εἰπεῖν,

8 Ἵνα παρακαλέσῃ τὰς καρδίας ὑμῶν, σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε.

Ὀνήσιμος οὗτός ἐστιν περὶ οὗ γράφων τῷ Φιλήμονι ἔλεγεν, "ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ διακονῇ μοι ἐν "τοῖς δεσμοῖς τοῦ εὐαγγελίου. χωρὶς δὲ τῆς σῆς γνώμης, οὐδὲν "ἠθέλησα ποιῆσαι·" καὶ τὸ ἐγκώμιον δὲ προστίθησι τῆς πόλεως ἵνα καὶ ἐγκαλλωπίζωνται, "ὅς ἐστι," φησὶν, "ἐξ ὑμῶν." "πάντα "ὑμῖν γνωριοῦσι τὰ ὧδε."

10 Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου.

Οὐδὲν τούτου τοῦ ἐγκωμίου μεῖζον. οὗτός ἐστιν ὁ ἀπὸ Ἱεροσο-

λύμων ἀναχθεὶς μετ' αὐτοῦ. μεῖζον εἶπεν οὗτος τῶν προφητῶν· ἐκεῖνοι μὲν γὰρ ξένους καὶ παρεπιδήμους καλοῦσιν ἑαυτούς· οὗτος δὲ καὶ αἰχμάλωτον. καθάπερ αἰχμάλωτος, οὕτως ἤγετο καὶ ἐφέρετο· καὶ πᾶσιν εἰς τὸ κακῶς πάσχειν προὔκειτο.

Καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα.

Καὶ τοῦτον ἐγκωμίασεν ἀπὸ τῆς συγγενείας. μέγας γὰρ ἦν ὁ ἀνὴρ Βαρνάβας.

Περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν.

Τί γὰρ, οὐκ ἐδέχοντο; ἀλλὰ μετὰ πολλῆς τῆς σπουδῆς. καὶ τοῦτον τὸν ἄνδρα δείκνυσι μέγαν· πόθεν τὰς ἐντολὰς ἔλαβον οὐ λέγει· ἴσως δὲ παρὰ Βαρνάβα τὰς ἐντολὰς ἔλαβον.

11 Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος.

Ἴσως Κορίνθιος ἦν οὗτος.

Οἱ ὄντες ἐκ περιτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία.

Ἐπειδὴ εἶπεν συναιχμάλωτος, ἵνα μὴ συγκατενέγκῃ τὴν ψυχὴν τῶν ἀκουόντων· ὅρα πῶς τοῦτο τίθησι, καὶ διανίστησιν αὐτούς. "συνεργοὶ," φησὶν, "εἰς τὴν βασιλείαν τοῦ Θεοῦ." ὥστε τῶν πειρασμῶν κοινωνοῦντες, τῆς βασιλείας κοινωνοῦσι. δείκνυσι δὲ αὐτοὺς καὶ μεγάλους. εἴγε Παύλου παρηγορία γεγέννηται· καὶ ἑαυτὸν ἐν πειρασμοῖς ὄντα.

12 Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς, ὁ ἐξ ὑμῶν, δοῦλος Χριστοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν ταῖς προσευχαῖς.

Συνίστησιν αὐτὸν, ἀνοίγων θύραν τῷ λόγῳ αὐτοῦ· τὸ γὰρ αἰδέσιμον εἶναι τὸν διδάσκαλον, μαθητῶν ὠφέλεια· καὶ πάλιν τὸ εἰπεῖν "ὁ ἐξ ὑμῶν." ἵνα καὶ σεμνύνωνται ἐπὶ τῷ ἀνδρί· ἅτε τοιούτους φέροντες ἄνδρας· "πάντοτε," φησὶν, "ἀγωνιζόμενος ὑπὲρ ὑμῶν ἐν "ταῖς προσευχαῖς," τουτέστι τρέμων καὶ δεδοικώς.

Ἵνα στῆτε τέλειοι καὶ πεπληρωμένοι ἐν παντὶ θελή-
13 ματι τοῦ Θεοῦ. μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον
πολὺν ὑπὲρ ὑμῶν.

Ὁ πεπληρωμένος οὐκ ἀφίησιν ἄλλο θέλημα ἐν αὐτῷ· ἐπεὶ οὐ

πεπλήρωται· ἀξιόπιστος δὲ ὁ μάρτυς, "ὅτι ἔχει πολὺν ζῆλον ὑπὲρ "ὑμῶν." τουτέστιν, ὅτι σφόδρα ὑμᾶς ἀγαπᾷ καὶ ἐκκαίεται τῷ περὶ ὑμᾶς φίλτρῳ.

Καὶ τῶν ἐν Λαοδικείᾳ καὶ τῶν ἐν Ἱεραπόλει.

Κἀκείνοις αὐτὸν συνίστησιν· ἀλλὰ πόθεν τοῦτο ἔμελλον εἰδέναι; δηλονότι τῆς ἐπιστολῆς ἀναγινωσκομένης· "ποιήσατε γὰρ," φησὶν, "ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ."

14 Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς, καὶ Δημᾶς.

Οὗτός ἐστιν ὁ εὐαγγελιστής.

15 Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν.

Ὅρα πῶς αὐτοὺς συγκολλᾷ καὶ συνάπτει πρὸς ἑαυτούς· οὐ τῷ ἀσπάσασθαι μόνον, ἀλλὰ καὶ τῷ τὰς ἐπιστολὰς ἐπιδοῦναι· οὐχ ἁπλῶς δὲ χαρίζεται, κατ' ἰδίαν ἕκαστον προσαγορεύων, ἀλλὰ τοὺς ἄλλους εἰς τὸν αὐτὸν ἄγων ζῆλον· ὅρα γοῦν πῶς δείκνυσι μέγαν τὸν ἄνδρα, εἴγε ἡ οἰκία αὐτοῦ ἐκκλησία ἦν.

16 Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολὴ, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ.

Ἐμοὶ δοκεῖ εἶναί τινα τῶν γραφέντων ἐκεῖ, ἃ καὶ τούτους ἐχρῆν ἀκοῦσαι· μείζων γὰρ ἦν ὠφέλεια, ὅτ' ἂν ἑτέρων ἐγκαλουμένων τὰ οἰκεῖα ἁμαρτήματα ἐπιγινώσκουσιν.

Καὶ τὴν ἐκ Λαοδικείας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.

Τίνες λέγουσιν ὅτι οὐχὶ τὴν Παύλου πρὸς αὐτοὺς ἀπεσταλμένην ἀλλὰ τὴν παρ' αὐτῶν Παύλῳ. οὐ γὰρ εἶπεν τὴν πρὸς Λαοδικέας ἀλλὰ "τὴν ἐκ Λαοδικείας," φησὶ, γραφεῖσαν.

17 Καὶ εἴπατε Ἀρχίππῳ, βλέπε τὴν διακονίαν ἣν παρέλαβες ἐν Χριστῷ, ἵνα αὐτὴν πληροῖς.

Τίνος ἕνεκεν οὐ γράφει πρὸς αὐτόν; ἴσως οὐκ ἐδεῖτο. ἀλλὰ ψιλῆς μόνης ὑπομνήσεως ὥστε σπουδαιότερον εἶναι. τούτῳ δὲ μάλιστα αὐτοὺς ὑποτάσσει αὐτῷ· οὐκετί γαρ ἂν ἔχοιεν ἐγκαλεῖν ἐκείνῳ ἐπιτιμῶντι αὐτοῖς. ἐπεὶ οὐκ ἔχει λόγον τοῖς μαθηταῖς περὶ τοῦ διδασκάλου λέγειν, ἀλλ' ἐπιστομίζων αὐτοὺς ταῦτα γράφει.

(Θεόδωρος.) Ἄλλος δέ φησιν, ὡς ἔστιν ἐκ τῶν γεγραμμένων

εἰκάσαι, παρὰ Λαοδικεῦσιν ὄντι καὶ τὴν διακονίαν ἐγκεχειρισμένῳ τῆς διακονίας.

18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου.

Τοῦτο γνησιότητος καὶ φιλίας τεκμήριον, τὸ καὶ τὰ γράμματα ὁρᾶν, καὶ πάσχειν τί πρὸς ταῦτα.

Μνημονεύετέ μου τῶν δεσμῶν.

Βαβαῖ πόση παράκλησις; τοῦτο γὰρ ἱκανὸν εἰς πάντα αὐτοὺς προτρέψαι, καὶ γενναιοτέρους ποιῆσαι πρὸς τοὺς ἀγῶνας. μονονουχὶ γάρ φησιν, καθ' ὁμοιότητά μου, καὶ πάσχειν ὑπὲρ τῆς ἀληθείας μὴ ὀκνῆτε.

Καὶ χάρις μεθ' ὑμῶν. ἀμήν.

Τὸν φόβον ἔλυσεν. εἰ γὰρ ὁ διδάσκαλος ἐν δεσμοῖς, ἀλλ' ἡ χάρις αὐτὸν λύει· καὶ τοῦτο δὲ τῆς χάριτος, τὸ συγχωρεῖν αὐτὸν δεθῆναι· ἄκουε γὰρ τοῦ Λουκᾶ λέγοντος, ὅτι "ὑπέστρεφον οἱ "Ἀπόστολοι ἀπὸ προσώπου τοῦ συνεδρίου χαίροντες, ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι.

Θεόδωρος. Τὸ δὲ χάρις ὑμῖν οὕτω τίθησιν. ὥσπερ ἡμεῖς τὸ χαίρειν ἐν ταῖς προγραφαῖς τῶν ἐπιστολῶν εἰώθαμεν· τὰ ἐν Θεῷ Πατρὶ τεθεικὼς, ὡς καὶ ἡμεῖς τὸ ἐν Κυρίῳ γράφομεν.

Τοῦ εἰς τὴν πρὸς Κολοσσαεῖς Ἐπιστολὴν ἐξηγητικῶν ἐκλόγων τόμος α'.

* τρίας * μονάς * ἐλέησον.

* Αἱ ἐκλογαὶ τῆς ἑρμηνείας τῆς παρούσης Ἐπιστολῆς ἐκ τοῦ κατὰ πλάτος ὑπομνήματος τοῦ σοφοῦ καὶ οἰκουμενικοῦ διδασκάλου Ἰωάννου τοῦ ἐπισκόπου τῆς Βασιλίδος πόλεως, καὶ Σευηριανοῦ τοῦ Γαβαλῆς, καὶ Θεοδώρου τοῦ Μοψουεστίας. ἔχει καὶ μίαν χρῆσιν τοῦ μακαρίου Κυρίλλου.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α. ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ΤΑΥΤΗΝ ἐπιστέλλει ἀπὸ Ἀθηνῶν, ἑωρακὼς πρότερον αὐτοὺς, καὶ διατρίψας παρ' αὐτοῖς. ἡ δὲ πρόφασις τῆς ἐπιστολῆς αὕτη. ὁ Ἀπόστολος πολλὰς θλίψεις παθὼν ἐν Βεροίᾳ καὶ ἐν Φιλίπποις τῆς Μακεδονίας, καὶ ἐν Κορίνθῳ, γινώσκων τε ὅσα πέπονθε καὶ ἐν Θεσσαλονίκῃ, φοβούμενος μὴ ἀκούσαντες Θεσσαλονικεῖς ἃ πέπονθεν ἐν ταῖς προειρημέναις πόλεσι, πειρασθῶσιν ὑπὸ τοῦ πειράζοντος καὶ σκανδαλισθῶσι, μαθὼν δὲ ὅτι καὶ ἐπὶ τοῖς ἀποθνήσκουσι κατώδυνοι ἐγίνοντο, ἀποστέλλει Τιμόθεον πρὸς αὐτοὺς μετὰ τῆς Ἐπιστολῆς ταύτης. καὶ πρῶτον μὲν ἐπιστηρίζει αὐτοὺς ἐν τῇ πίστει, ὥστε μὴ σαλεύεσθαι διὰ τὰς θλίψεις, καὶ μηδὲν ξένον αὐτοὺς πεπονθέναι ὑπὸ τῶν Ἰουδαίων, τῶν καὶ τὸν Κύριον ἀποκτεινάντων. Χριστιανῶν γὰρ ἴδιον τὸ θλίβεσθαι ἐν τῷ βίῳ τούτῳ ἔλεγε. πολλὰ δὲ παραινέσας αὐτοῖς, οὕτως ὡς παρέλαβον ἀπ' αὐτοῦ ἀναστρέφεσθαι, γράφει περὶ τῶν τελευτώντων, παραμυθούμενος αὐτοὺς καὶ διδάσκων μὴ βαρέως φέρειν. οὐ γὰρ εἶναι τὸν θάνατον ἀπώλειαν, ἀλλ' ὁδὸν ἀναστάσεως. ἔπειτα καὶ περὶ τῶν χρόνων αὐτοὺς διδάσκει, ἵνα ἄδηλον τὴν ἡμέραν γινώσκοντες, ἀεὶ ἕτοιμοι γίνωνται, καὶ μηδενὶ προσέχωσιν ἐπαγγελλομένῳ περὶ αὐτῆς. ἔσεσθαι γάρ φησι τὴν παρουσίαν οὕτως, ὥστε τοὺς περιλειπομένους καὶ εὑρισκομένους ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μὴ φθάνειν τοὺς ἐκ νεκρῶν ἐγειρομένους. ἅμα γὰρ γίνεσθαι τὴν πάντων ἀλλαγήν. διδάσκει πρὸς τούτοις, προτρέπων αὐτοὺς βελτιοῦσθαι ἐν τοῖς ἤθεσι, καὶ χαίρειν τῇ ἐλπίδι, καὶ προσεύχεσθαι καὶ εὐχαριστεῖν αὐτοὺς ἀεὶ τῷ Κυρίῳ, ἐνορκίζων αὐτοὺς ἀναγνῶναι τὴν Ἐπιστολὴν ταύτην πᾶσι τοῖς ἀδελφοῖς, καὶ οὕτως τελειοῖ τὴν Ἐπιστολήν [a].

[a] Hanc hypothesin, cum deesset in Cod. supplevi ex Ed. Œcum.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΠΡΩΤΗΣ ΕΠΙΣΤΟΛΗΣ.

α΄. Ἔπαινος Θεσσαλονικέων ἐπὶ τοῖς ἀξίοις τῶν Ἀποστόλων ἀγῶσιν.

β΄. Πόθος αὐτῶν καὶ χαρὰ ἐν αὐτοῖς καὶ μέριμνα, ὅπως τελειωθῶσιν.

γ΄. Εὐχὴ πρὸς Θεὸν περὶ ἀφίξεως τῆς αὐτοῦ, καὶ τῆς αὐξήσεως καὶ βεβαιώσεως Θεσσαλονικέων, ἕως τῆς παρουσίας Χριστοῦ.

δ΄. Παραίνεσις σωφροσύνης, δικαιοσύνης, ὡς ἐπὶ κρίσει φιλαδελφίας, ἐργασίας ἰδιοπράγμονος.

ε΄. Διδασκαλία περὶ τῆς τοῦ θανάτου καταλύσεως ἐπὶ ζώντων καὶ νεκρῶν ἐπιφανείᾳ Χριστοῦ.

ϛ΄. Περὶ τοῦ αἰφνιδίως ἥξειν τὸν Χριστὸν, ὥστε δεῖν εὐτρεπίζεσθαι σπουδῇ, πίστει, ἐλπίδι, ἀγάπῃ, τιμῇ, εἰρήνῃ, μακροθυμίᾳ, φιλομαθείᾳ.

ζ΄. Εὐχὴ περὶ ἁγιασμοῦ πνεύματος, καὶ ψυχῆς καὶ σώματος.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΕΠΙΣΤΟΛΗΝ.

ΚΕΦ. Α.

Ἔπαινος Θεσσαλονικέων ἐπὶ τοῖς ἀξίοις τῶν Ἀποστόλων ἀγῶσιν.

1 Παῦλος καὶ Σιλουανὸς καὶ Τιμόθεος.

(Χρυσοστόμου.) Ὁ μακάριος Ἰωάννης—τί δήποτε Ἐφεσίοις μὲν ἐπιστέλλων, καὶ τὸν Τιμόθεον ἔχων μεθ' ἑαυτοῦ, οὐχὶ συνέταξεν ἑαυτῷ· καίτοι γνωριζόμενον παρ' αὐτοῖς καὶ θαυμαζόμενον· "τὴν γὰρ δοκιμὴν αὐτοῦ γινώσκετε," φησὶ, "ὅτι ὡς πατρὶ τέκνον "σὺν ἐμοὶ ἐδούλευσεν," καὶ πάλιν, "ὅτι οὐδένα ἔχω ἰσόψυχον, "ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει·" ἐνταῦθα δὲ συντάττει αὐτὸν ἑαυτῷ; ἐμοὶ δοκεῖ, ὅτι τότε μὲν ἔμελλεν αὐτὸν πέμπειν εὐθέως, καὶ περιττὸν ἦν ἐπιστέλλειν τὸν τὰ γράμματα καταληψόμενον· φησὶ γὰρ, "τοῦτον ἐλπίζω πέμψαι ἐξ αὐτῆς," ἐνταῦθα δὲ, οὐχ οὕτως, ἀλλ' ἐπανελθὼν ἦν εὐθέως, ὥστε εἰκότως ἐπέστελλεν· "ἄρτι γὰρ," φησὶ, "ἐλθόντος Τιμοθέου πρὸς ἡμᾶς ἀφ' "ὑμῶν." διατί δὲ αὐτοῦ προτίθησι τὸν Σιλουανὸν, καίτοι μυρία αὐτῷ μαρτυρῶν ἀγαθὰ, καὶ πάντων αὐτὸν προτιθείς; ἴσως μὲν ἐκείνου τοῦτο ἀξιοῦντος κατὰ πολλὴν ταπεινοφροσύνην, καὶ παρακαλοῦντος. ἐπειδὴ γὰρ τὸν διδάσκαλον ἑώρων οὕτω ταπεινοφρονοῦντα, ὡς τὸν μαθητὴν ἑαυτῷ συντάττειν, πολλῷ μᾶλλον καὶ αὐτὸς ἂν τοῦτο ἐζήτησε καὶ ἐπέδραμεν· οὐδὲν δὲ ἐνταῦθα αὐτὸς περὶ ἑαυτοῦ τίθησιν, οὐχ ὁ Ἀπόστολος, οὐχ ὁ δοῦλος· ἐμοὶ δοκεῖ διὰ τὸ νεοκατηχήτους εἶναι τοὺς ἄνδρας, καὶ μηδέπω αὐτοῦ πεῖραν εἰληφέναι· ἄλλως τε, καὶ ἀρχὴ τοῦ κηρύγματος ἔτι ἦν τοῦ πρὸς

αὐτούς· ἀκούσας δὲ ἦν ὁ Ἀπόστολος θλιβομένους τοὺς Θεσσαλονικεῖς, καὶ δειλιάσας μήποτε μετατεθῶσιν ἀπὸ τῆς πίστεως, πέμπει Τιμόθεον πρὸς αὐτοὺς ἀπὸ τῶν Ἀθηνῶν· ἐκείνου δὲ ἐλθόντος καὶ ἀπαγγείλαντος ὡς εἰσὶν ἑδραῖοι, χαίρων γράφει πρὸς αὐτούς· ἅμα δὲ ἀκούσας, ὅτι περὶ τὸν βίον ἐλαττώματά τινα εἶχον, καὶ πρὸς ταῦτα γράφει, καὶ αὕτη ἡ ὑπόθεσις· τὸ δὲ προοίμιον προεξηγησάμεθα "τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, τῇ ἐν Θεῷ "Πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ."

Ἰωάννου. Εἰκὸς ἦν ὀλίγους εἶναι καὶ οὐδέπω συνεστάναι· διὰ τοῦτο παραμυθεῖται διὰ τοῦ ὀνόματος τῆς ἐκκλησίας· ἔνθα μὲν γὰρ πολὺς παρεληλύθει χρόνος, καὶ τὸ τῆς ἐκκλησίας σύστημα πολὺ ἦν, οὐ τίθησι τοῦτο· ἐπειδὴ δὲ ὄνομα πλήθους ἐστὶν ὡς τὰ πολλὰ τὸ τῆς ἐκκλησίας ὄνομα, καὶ συστήματος ἤδη συγκεκροτημένου, διὰ τοῦτο αὐτὸς οὕτω καλεῖ.

Ἐν Θεῷ Πατρὶ καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ.

Ἰδοὺ πάλιν τὸ "ἐν" ἐπὶ τοῦ Πατρὸς καὶ ἐπὶ τοῦ Υἱοῦ· πολλαὶ γὰρ ἐκκλησίαι καὶ Ἰουδαϊκαὶ καὶ Ἑλληνικαὶ ἦσαν, ἀλλὰ τῇ "ἐν "Θεῷ."

Χάρις ὑμῖν καὶ εἰρήνη.

Τὸ χάρις ὑμῖν οὕτω τίθησιν, ὥσπερ ἡμεῖς τὸ χαίρειν ἐν ταῖς ἐπιγραφαῖς τῶν ἐπιστολῶν εἰώθαμεν. τὸ δὲ "ἐν Θεῷ Πατρὶ," ὡς καὶ ἡμεῖς ἐν Κυρίῳ γράφομεν· εἴ τις δὲ ἁμαρτίας εἴη δοῦλος, οὐ δύναται λέγεσθαι ἐν Θεῷ, χάρις ὑμῖν καὶ εἰρήνη. ἴδες εὐθέως ἀπὸ ἐγκωμίων τὸ προοίμιον τῆς ἐπιστολῆς, εὐχαριστοῦμεν τῷ Θεῷ πάντοτε περὶ πάντων ὑμῶν, μνείαν ὑμῶν ποιούμενοι ἐπὶ τῶν προσευχῶν ἡμῶν. τὸ γὰρ εὐχαριστεῖν τῷ Θεῷ ὑπὲρ αὐτῶν, μαρτυροῦντός ἐστιν αὐτοῖς πολλὴν προκοπὴν, ὅταν μὴ μόνον ἐπαινῶνται αὐτοὶ, ἀλλὰ καὶ Θεὸς εὐχαριστεῖται ὡς αὐτὸς ἐργασάμενος τὸ πᾶν· διδάσκει δὲ αὐτοὺς καὶ μετριάζειν, μονονουχὶ λέγων, ὅτι εἰ καὶ ὑμεῖς ἐργάζεσθε, φησὶν, ἀλλὰ τῆς Θεοῦ δυνάμεώς ἐστι τὸ πᾶν· τὸ μὲν οὖν εὐχαριστεῖν, τῶν κατορθωμάτων ἕνεκεν, τὸ δὲ μεμνῆσθαι αὐτῶν ἐπὶ τῶν προσευχῶν, τῆς ἀγάπης τῆς πρὸς αὐτούς. οὐ μόνον δὲ, φησὶν ἐπὶ τῶν προσευχῶν μεμνῆσθαι, ἀλλὰ καὶ "ἀδιαλείπτως μνημονεύοντες ὑμῶν τοῦ ἔργου τῆς πίστεως καὶ τοῦ "κόπου τῆς ἀγάπης καὶ τῆς ὑπομονῆς, τῆς ἐλπίδος τοῦ Κυρίου

“ ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν.” τί ἐστι τοῦ ἔργου τῆς πίστεως; ὅτι οὐδὲν ὑμῶν παρέκλινε τοῦ ἔργου πίστεως, εἰ πιστεύεις πάντα πάσχειν· εἰ δὲ μὴ πάσχῃς οὐ πιστεύεις. “ καὶ τοῦ κόπου τῆς ἀγάπης·” τὸ φιλεῖν ἁπλῶς, οὐδὲ εἷς κόπος· τὸ δὲ γνησίως φιλεῖν κόπος πολύς· ὅταν γὰρ μυρία κινῆται τῆς ἀγάπης ἡμᾶς ἀφελκῦσαι βουλόμενα, ἡμεῖς δὲ πρὸς πάντα ἀντιτείνωμεν, οὐχὶ κόπος πολὺς, εἰπέ μοι;

Σετηριανοῦ. Καὶ ἡ μὲν πίστις ἐγείρει πρὸς καμάτους, ἡ δὲ ἀγάπη ἐπιμένειν ποιεῖ τοῖς πόνοις. “ ἔμπροσθεν τοῦ Θεοῦ καὶ “ Πατρὸς ἡμῶν,” ἵνα εἴπῃ ὅτι ἀρέσκοντες τῷ Θεῷ ταῦτα ποιεῖτε, ὥστε φανῆναι Θεοῦ ἀρέσκειαν τὴν ἐπὶ τὸν Χριστὸν πίστιν καὶ τὴν περὶ αὐτὸν διάθεσιν. καὶ τῆς ὑπομονῆς, φησίν. οὐ γὰρ πρὸς ἕνα χρόνον ὁ διωγμὸς ἐκεῖνος, ἀλλὰ διὰ παντός. ταῦτα τοίνυν, φησὶ, πάντα ἀπὸ πίστεως ποιεῖτε καὶ ἐλπίδος. ὥστε οὐ τὴν ἀνδρείαν αὐτῶν μόνον ἐδήλου τὰ γινόμενα, ἀλλ᾽ ὅτι καὶ μετὰ πληροφορίας ἐπίστευον τοῖς ἀποκειμένοις ἐπάθλοις· διὰ γὰρ τοῦτο συνεχώρει ὁ Θεὸς εὐθέως γίνεσθαι διωγμοὺς, ἵνα μή τις εἴπῃ ὅτι ἁπλῶς καὶ κολακείᾳ τὸ κήρυγμα συνίστατο, καὶ ἵνα τὸ θερμὸν αὐτῶν δειχθῇ, καὶ ὅτι οὐ πεισμονὴ ἀνθρωπίνη, ἀλλὰ Θεοῦ δύναμις ἦν, ἡ τὰς τῶν πιστευόντων ψυχὰς πείθουσα, ὥστε καὶ πρὸς θανάτους μυρίους παρεσκευάσθαι· ὅπερ οὐκ ἂν ἦν, εἰ μὴ εὐθέως κατὰ βάθος τὸ κήρυγμα πεπήγει, καὶ ἕστηκεν ἀκλινές.

4 Εἰδότες, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Θεοῦ, τὴν ἐκλογὴν ὑμῶν, ὅτι τὸ εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ Πνεύματι Ἁγίῳ, καὶ ἐν πληροφορίᾳ πολλῇ, καθὼς οἴδατε οἷοι ἐγενήθημεν ἐν ὑμῖν δι᾽ ὑμᾶς.

Ἐνταῦθα καὶ τῶν αὐτοῦ κατορθωμάτων ἅπτεται, ἀλλ᾽ ἐπεσκιασμένως, βούλεται γὰρ πρότερον τοῖς ἐκείνων ἐγκωμίοις ὑπεξελθεῖν· τοῦτο δὲ λέγει, ᾔδειν μὲν ὅτι μεγάλων ἦτε ἀνδρῶν, ὅτι ἐκλεκτῶν· διὰ τοῦτο καὶ ἡμεῖς πάντα ὑπομένομεν δι᾽ ὑμᾶς· τὸ γὰρ “ οἷον ἐγενήθημεν ἐν ὑμῖν” τοῦτό ἐστι δηλοῦντος, ὅτι μετὰ πολλῆς προθυμίας ἕτοιμοι τὰς ψυχὰς ἐκδοῦναι δι᾽ ὑμᾶς· καὶ τούτου δὲ οὐχ ἡμῖν χάρις, ἀλλὰ ὑμῖν, ὅτι ἐκλεκτοὶ ἦτε, ὅτι τὸ

εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη εἰς ὑμᾶς ἐν λόγῳ, ἀλλὰ καὶ ἐν δυνάμει, φησίν· οὐκ εἴπομεν, φησὶ, μόνον, ἀλλὰ καὶ θαύματα ἐπεδειξάμεθα, οὐδὲ ἐποιήσαμεν μὲν σημεῖα, οὐχ ὑπέστημεν δὲ πειρασμοὺς, ἀλλὰ διὰ πάντων ἤλθομεν, βεβαιοῦντες ὑμᾶς εἰς τὰ αὐτὰ κατορθώματα· "καὶ ὑμεῖς," φησὶ, "μιμηταὶ ἡμῶν ἐγενή-" θητε, καὶ τοῦ Κυρίου, δεξάμενοι τὸν λόγον ἐν θλίψει πολλῇ " μετὰ χαρᾶς Πνεύματος Ἁγίου."

Ἰωάννου Χρυσοστόμου. Βαβαὶ, ὅσον τὸ ἐγκώμιον, οἱ μαθηταὶ ἐξαίφνης ἐγένοντο διδάσκαλοι· οὐκ ἤκουσαν μόνον τῶν λόγων, καὶ πρὸς αὐτὴν ἔφθασαν τὴν κορυφὴν τῷ Παύλῳ, ἀλλ' οὐδὲν τοῦτό ἐστιν· ὅρα γὰρ, πῶς αὐτοὺς ἐνάγει λέγων, "καὶ τοῦ Κυρίου " δεξάμενοι τὸν λόγον, ἐν θλίψει πολλῇ μετὰ χαρᾶς Πνεύματος " Ἁγίου," καὶ ἔνεστι τοῦτο ἀπὸ τῶν Πράξεων τῶν Ἀποστολικῶν μαθεῖν πῶς ἐπήγειραν διωγμὸν ἐπ' αὐτοὺς, καὶ πάντας, φησὶ, τοὺς πολιτάρχας ἐτάραξαν, καὶ τὴν πόλιν ἀνεπτέρωσαν κατ' αὐτῶν. καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι ἐθλίβητε μὲν, καὶ ἐπιστεύσατε, ἀλγοῦντες δὲ, ἀλλὰ καὶ χαίροντες, ὅπερ καὶ οἱ Ἀπόστολοι ἐποίουν· "χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος ἀτιμασθῆναι." πῶς δὲ τοῦ Κυρίου μιμηταὶ ἐγένοντο; ὅτι καὶ αὐτὸς πολλὰ παθήματα ὑπέμεινεν, ἀλλ' ἔχαιρεν· ἑκὼν γὰρ ἐπὶ τοῦτο ἤρχετο, δι' ἡμᾶς ἑαυτὸν ἐκένωσε· "μετὰ χαρᾶς," φησὶ, "Πνεύματος Ἁγίου·" ἡ θλίψις ἐν τοῖς σωματικοῖς, καὶ ἡ χαρὰ ἐν τοῖς πνευματικοῖς· πῶς; ὅτι τὰ μὲν γενόμενα λυπηρὰ, τὰ δὲ ἐξ αὐτῶν τικτόμενα οὐκέτι· οὐ γὰρ ἀφίησι τὸ Πνεῦμα· ἔθλιψαν ὑμᾶς, φησὶν, ἐδίωξαν, ἀλλ' οὐκ ἀφῆκεν ὑμᾶς τὸ Πνεῦμα οὐδὲ ἐν ἐκείνοις. καλῶς δὲ προσέθηκε τὸ "Πνεύματος Ἁγίου," οὐ γὰρ ἦν ἑτέρως ἐνταῦθα λυπουμένους χαίρειν ὑπὲρ τῶν οὐ φαινομένων, εἰ μὴ τὰ ὑπὸ Πνεύματος γενόμενα θαύματα βεβαίαν αὐτοῖς παρεῖχε τῶν μελλόντων τὴν πίστιν. "ὥστε γενέσθαι ὑμᾶς τύπους πᾶσι τοῖς πιστεύουσιν ἐν " τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ·" καὶ μὴν ἐν ὑστέρῳ ἦλθεν πρὸς αὐτούς· ἀλλ' οὕτως ἐλάμψατε, φησὶν, ὡς τῶν προλαβόντων διδάσκαλοι.

8 Ἀφ' ὑμῶν γὰρ ἐξήχηται ὁ λόγος τοῦ Κυρίου οὐ μόνον ἐν τῇ Μακεδονίᾳ καὶ ἐν τῇ Ἀχαΐᾳ, ἀλλὰ καὶ ἐν

παντὶ τόπῳ ἡ πίστις ὑμῶν ἡ πρὸς τὸν Θεὸν ἐξελήλυ-
9 *θεν, ὥστε μὴ χρείαν ἡμᾶς ἔχειν λαλεῖν τι. αὐτοὶ γὰρ*
περὶ ἡμῶν ἀπαγγέλλουσιν ὁποίαν εἴσοδον ἔσχομεν πρὸς
ὑμᾶς, καὶ πῶς ἐπεστρέψατε πρὸς τὸν Θεὸν ἀπὸ τῶν
10 *εἰδώλων, δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀνα-*
μένειν τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν, ὃν ἤγειρεν ἐκ
τῶν νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς ἀπὸ τῆς ὀργῆς
τῆς ἐρχομένης.

Τῆς πίστεως φησὶ, τοὺς πλησίον πάντας ἐνεπλήσατε· τοῦ δὲ θαύματος τὴν οἰκουμένην· τὸ γὰρ "ἐν παντὶ τόπῳ" τοῦτό ἐστι, καὶ οὐ διεθρύλληται ἡ πίστις ὑμῶν, ἀλλ' "ἐξήχηται," ὥσπερ σάλπιγγος λαμπρὸν ἠχούσης, ὁ πλησίον ἅπας πληροῦται τόπος· οὕτω λαμπρὰ τῆς ὑμετέρας ἀνδρείας ἡ φήμη· καὶ πόθεν, φησὶν, ὅτι οὐκ ἦν ὑπερβολῆς τὰ ῥήματα; καὶ γὰρ τὸ ἔθνος τοῦτο τὸ τῶν Μακεδόνων πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας εὔσημον ἦν, καὶ πανταχοῦ ᾔδειτο Ῥωμαίων μᾶλλον· καὶ Ῥωμαῖοι διὰ τοῦτο θαυμαστοὶ, ὅτι τούτους εἷλον, ὥστε εἰκότως καὶ τὰ ἐκεῖ γενόμενα πανταχοῦ ᾄδεσθαι· τῶν γὰρ ἐπισήμων οὐδὲν δύναται λαθεῖν· τοῦτο δὲ καὶ ἀπὸ τῆς σφοδρότητος αὐτῶν γέγονεν· ὥσπερ γὰρ περὶ ἐμψύχου διαλεγόμενος, οὕτως, εἶπεν, "ἐξελήλυθεν, ὥστε μὴ χρείαν "ἡμᾶς ἔχειν," φησὶ, "λαλεῖν τι· αὐτοὶ γὰρ περὶ ἡμῶν ἀπαγ"γέλλουσιν, ὁποίαν εἴσοδον ἔσχομεν πρὸς ὑμᾶς." οὐ περιμένουσιν ἀκοῦσαι παρ' ἡμῶν, ἀλλὰ τοὺς παρόντας καὶ τεθεαμένους τὰ ἡμέτερα κατορθώματα, οἱ μὴ παρόντες μηδὲ τεθεαμένοι προλαμβάνουσι, καὶ οὐ δεηθησόμεθα τὰ ὑμέτερα διηγούμενοι, εἰς ζῆλον αὐτοὺς ἀγαγεῖν τὸν ἴσον· ἃ γὰρ ἐχρῆν αὐτοὺς παρ' ἡμῶν ἀκοῦσαι, ταῦτα αὐτοὶ προλαβόντες λέγουσι. καὶ "ὁποίαν εἴσοδον ἔσχομεν "πρὸς ὑμᾶς," ὅτι κινδύνων ἔγεμεν, ὅτι θανάτων μυρίων, καὶ ὡς οὐδενὸς γενομένου, οὕτως ἡμῶν εἴχεσθε ὡς οὐδὲν παθόντες κακὸν, ἀλλ' ὡς μυρίων ἀπολαύσαντες ἀγαθῶν, οὕτως ἡμᾶς ἐδέξασθε μετὰ ταῦτα· δευτέρα γὰρ ἦν εἴσοδος αὕτη· ἀπῆλθον εἰς Βέρροιαν, ἐδιώχθησαν, καὶ μετὰ ταῦτα ἐλθόντας αὐτοὺς οὕτως ἐδέξαντο, ὡς τιμηθέντας παρ' αὐτῶν, ὥστε καὶ τὴν ψυχὴν αὐτῶν ὑπὲρ αὐτῶν

ἔθηκαν εὐκόλως καὶ μετὰ πολλῆς σφοδρότητος ἐπιτρέψαντες "ἀπὸ "τῶν εἰδώλων δουλεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ, καὶ ἀναμένειν," φησὶ, "τὸν Υἱὸν αὐτοῦ ἐκ τῶν οὐρανῶν" τὸν ἐσταυρωμένον, τὸν ταφέντα, "ὃν ἤγειρεν ἐκ τῶν νεκρῶν, Ἰησοῦν τὸν ῥυόμενον ἡμᾶς," φησὶν, "ἀπὸ τῆς ὀργῆς τῆς ἐρχομένης·" τοῦτο καὶ παραμυθία καὶ παράκλησις καὶ προτροπή· εἰ γὰρ ἤγειρεν ἐκ τῶν νεκρῶν, καὶ ἐν οὐρανῷ ἐστι, καὶ ἐκεῖθεν ἔρχεται, καὶ τούτῳ ἐπιστεύσατε· οὐ γὰρ ἂν εἰ μὴ τοῦτο ἐπιστεύσατε, τοσαῦτα ἐπάθετε, ὥστε τὰ μὲν δεινὰ ἐν χερσὶν, τὰ δὲ χρηστὰ ἐν βλέψει, ὅταν ὁ Χριστὸς ἀπὸ τῶν οὐρανῶν ἔλθῃ.

Θεόδωρος. Ἄλλος φησί· "λόγον Κυρίου," ἐνταῦθα οὐ τὴν πίστιν λέγει· οὐ γὰρ ἡ πίστις ἀπ' αὐτῶν ἔλαβε τὴν ἀρχὴν, ἀλλ' ἀντὶ τοῦ πάντες ἔγνωσαν ὅσα ὑπὲρ τῆς πίστεως ἐπάθετε, καὶ πάντες ὑμῶν τὸ βέβαιον θαυμάζουσι τῆς πίστεως, ὥστε καὶ προτροπὴν ἑτέροις γενέσθαι τὰ ὑμέτερα· ἐπισημαντέον δὲ, φησὶν, ὅτι ἐν τῇ τῶν εἰδώλων ἀναχωρήσει τὸν Θεὸν καὶ ζῶντα καὶ ἀληθινὸν προσεῖπεν πρὸς ἀντιδιαστολὴν ἐκείνων, ὥστε ὅπου πότ' ἂν τὴν φωνὴν εὑρίσκομεν ταύτην, εἰδέναι χρὴ ὅτι μήτε ἐπὶ Πατρὸς εἰς ἀναίρεσιν λέγεται Υἱοῦ, μήτε ἐφ' Υἱοῦ εἰς ἀναίρεσιν Πατρὸς, ὁμοίως ἀληθινοῦ Πατρὸς καὶ Υἱοῦ παρὰ τοῖς εὐσεβέσιν.

1 Αὐτοὶ γὰρ οἴδατε, ἀδελφοὶ, τὴν εἴσοδον ἡμῶν τὴν πρὸς ὑμᾶς, ὅτι οὐ κενὴ γέγονε.

Τουτέστιν, ὅτι οὐκ ἀνθρωπίνη, οὐδὲ ἡ τυχοῦσα· ἀπὸ γὰρ κινδύνων ὄντες μεγάλων καὶ πληγῶν εὐθέως εἰς κινδύνους ἐνεπέσαμεν.

Ἀλλὰ προπαθόντες, καὶ ὑβρισθέντες, καθὼς οἴδατε,
2 ἐν Φιλίπποις, ἐπαρρησιασάμεθα ἐν τῷ Θεῷ ἡμῶν.

Ὅρα πῶς πάλιν τὸ πᾶν ἀνατίθησι τῷ Θεῷ "λαλῆσαι," φησὶ, "πρὸς ὑμᾶς τὸ Εὐαγγέλιον τοῦ Θεοῦ ἐν πολλῷ ἀγῶνι." οὐκ ἔστιν εἰπεῖν ὅτι ἐκεῖ μὲν ἐκινδυνεύσαμεν, ἐνταῦθα δὲ οὔ· ἴστε καὶ ὑμεῖς ὅσος ὁ κίνδυνος, μεθ' ὅσης ἀγωνίας ἐγενόμεθα.

3 Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ
4 ἀκαθαρσίας, οὐδὲ ἐν δόλῳ· ἀλλὰ καθὼς δεδοκιμάσμεθα
ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ εὐαγγέλιον, οὕτως λαλοῦ-

μεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν.

Ὅπερ ἔφην, ἀπὸ τῆς ἐνστάσεως αὐτῶν ποιεῖ καὶ τεκμήριον τοῦ θεῖον εἶναι τὸ κήρυγμα· οὐ γὰρ ἂν εἰ μὴ τοῦτο ἦν, εἰ ἀπάτη ἦν, τοσούτους κινδύνους ὑπεμείναμεν ἄν, εἰ μὴ πεπείσμεθα ὅτι ἐλπίς ἐστιν ἀγαθή. ἡ γὰρ παράκλησις ἡμῶν, τουτέστιν ἡ διδαχὴ, οὐκ ἔστι δόλος οὐδὲ ἀπάτη, οὐκ ἔστιν ὑπὲρ μυσαρῶν πραγμάτων, οἷον γοήτων καὶ μάγων καὶ ἀκαθαρσίας, φησὶν, "ἀλλὰ καθὼς δεδοκι- "μάσμεθα ἀπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ Εὐαγγέλιον, οὕτως λα- "λοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκι- "μάζοντι τὰς καρδίας ἡμῶν·" οὐδὲν πρὸς ἀρέσκειαν ἀνθρώπων πράττομεν, φησίν· εἰ μὴ γὰρ εἶδεν ἡμᾶς ὁ Θεὸς παντὸς ἀπηλλαγμένους βιωτικοῦ, οὐκ ἂν ἡμᾶς εἵλετο. τὸ ἐδοκίμασεν ἐνταῦθα, οὐχὶ ἐρεύνης ἐστὶν, ἀλλ' ὅπερ ἡμεῖς ἀπὸ τοῦ δοκιμάσαι πράττομεν, τοῦτο αὐτὸς χωρὶς δοκιμῆς.

Ὥσπερ οὖν ἡμᾶς εὗρεν δοκίμους καὶ ἐπίστευσε, οὕτως λαλοῦμεν, καὶ ἐπειδὴ αὐτοὺς ἐπήνεσεν, ἵνα μὴ εἰς ὑποψίαν αὐτοὺς ἀγάγῃ, φησὶν,

5 Οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν, καθὼς
6 οἴδατε, οὔτε ἐν προφάσει πλεονεξίας, Θεὸς μάρτυς· οὔτε
ζητοῦντες ἐξ ἀνθρώπων δόξαν, οὔτε ἀφ' ὑμῶν οὔτε ἀπ'
ἄλλων, δυνάμενοι ἐν βάρει εἶναι, ὡς Χριστοῦ ἀπό-
στολοι.

Τουτέστιν, οὐκ ἐκολακεύσαμεν, ὅπερ ἐστὶ τῶν ἀπατώντων, οὔτ' ὅτι χρημάτων ἕνεκεν ἐπὶ τοῦτο ἥκαμεν, ὅπερ ἦν δῆλον, καὶ τούτου αὐτοὺς καλεῖ μάρτυρας, οὔτε τιμὰς ἐπιζητοῦντες καὶ κομπάζοντες, καὶ δορυφορούμενοι· καίτοι εἰ καὶ τοῦτο εἰργασάμεθα, οὐδὲν ἀλλότριον ἐποιοῦμεν. εἰ γὰρ παρὰ βασιλέων ἀποστελλόμενοί τινές εἰσιν ἐν τιμῇ, πολλῷ μᾶλλον ἡμεῖς, ὡς παρὰ Θεοῦ ἀποσταλέντες· ἀλλ' ἐκ περιουσίας ἡμεῖς οὐδὲν τούτων πράττομεν, ἵνα τῶν ἐναντίων ἐμφράξωμεν στόματα. "δυνάμενοι ἐν βάρει εἶναι ὡς Χρι- "στοῦ ἀπόστολοι." τοῦτο πρὸς τὸ "οὔτε ἐν προφάσει πλεονε- "ξίας" ἀπέδωκεν, μεῖζον γὰρ ἦν τὸ καὶ ἔχοντας ἐξουσίαν ὡς Ἀποστόλους τὰ πρὸς τὴν χρείαν λαμβάνειν, μηδὲ τοῦτο ἑλέσθαι.

7 Ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἐὰν τρο-
8 φὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα. οὕτως ἱμειρόμενοι ὑμῶν,
εὐδοκοῦμεν μεταδοῦναι ὑμῖν οὐ μόνον τὸ εὐαγγέλιον τοῦ
Θεοῦ, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς, διότι ἀγαπητοὶ ἡμῖν
ἐγενήθητε.

Ἰωάννου. Οὐδὲν φορτικὸν, οὐδὲν ἐπαχθὲς, οὐδὲν βαρὺ, οὐδὲν κόμπον ἔχον ἐπεδειξάμεθα. καὶ τὸ "ἐν μέσῳ ὑμῶν," ὡς ἂν εἴποι τις, ὡς εἷς ἐξ ὑμῶν, οὐχὶ τὴν ἄνω λαβόντες τάξιν· "ὡς ἂν τροφὸς," φησὶ, "θάλπῃ τὰ ἑαυτῆς τέκνα," οὕτω δεῖ τὸν διδάσκαλον εἶναι, μὴ ἡ τροφὸς κολακεύῃ, ἵνα δόξης τύχῃ, μὴ χρήματα αἰτεῖ παρὰ τῶν παιδίων τῶν μικρῶν, μὴ βαρεῖα αὐτοῖς ἐστι καὶ φορτική· οὐχὶ μᾶλλον τῶν μητέρων τούτοις εἰσὶ προσηνεῖς; ἐνταῦθα τὴν φιλοστοργίαν δείκνυσιν, "οὕτω," φησὶν, "ἱμειρόμενοι ὑμῶν," οὕτως ὑμῖν προσδεδέμεθα, καὶ οὐ μόνον οὐδὲν λαμβάνομεν, ἀλλ' εἰ δεῖ καὶ τὰς ψυχὰς μεταδοῦναι, οὐκ ἂν παρῃτησάμεθα· τὸ μὲν οὖν Εὐαγγέλιον, ἐπειδὴ ὁ Θεὸς ἐκέλευσεν, καταγγέλλομεν· τοσοῦτον δὲ ὑμᾶς φιλοῦμεν, ὅτι εἰ ἐνῆν, καὶ τὰς ψυχὰς ἂν ἐδώκαμεν.

9 Μνημονεύετε γὰρ, ἀδελφοὶ, τὸν πόνον ἡμῶν καὶ τὸν
μόχθον· νυκτὸς γὰρ καὶ ἡμέρας ἐργαζόμενοι, πρὸς τὸ
μὴ ἐπιβαρῆσαί τινα ὑμῶν, ἐκηρύξαμεν εἰς ὑμᾶς τὸ
10 Εὐαγγέλιον τοῦ Θεοῦ. ὑμεῖς μάρτυρες καὶ ὁ Θεὸς, ὡς
ὁσίως καὶ δικαίως καὶ ἀμέμπτως ὑμῖν τοῖς πιστεύουσιν
11 ἐγενήθημεν, καθάπερ οἴδατε, ὡς ἕνα ἕκαστον ὑμῶν, ὡς
πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς, καὶ παραμυ-
12 θούμενοι, καὶ μαρτυρούμενοι, εἰς τὸ περιπατῆσαι ὑμᾶς
ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ἡμᾶς εἰς τὴν ἑαυτοῦ
βασιλείαν καὶ δόξαν.

Τὸν διδάσκαλον οὐδὲν ἐπαχθὲς χρὴ ποιεῖν τῶν εἰς σωτηρίαν τῶν μαθητῶν συντεινόντων, καὶ τὴν ἐκεῖθεν δόξαν ἐγγινομένην τῷ Θεῷ· τοῦτο καὶ ὁ μακάριος Παῦλος ὁ Ἀπόστολος εἰργάζετο, πρὸς τὸ μὴ ἐπιβαρῆσαι τοὺς μαθητευομένους.

13 Διὸ καὶ ἡμεῖς εὐχαριστοῦμεν τῷ Θεῷ ἀδιαλείπτως,
ὅτι παραλαβόντες λόγον ἀκοῆς παρ' ἡμῶν τοῦ Θεοῦ,

ἐδέξασθε, οὐ λόγον ἀνθρώπων, ἀλλὰ καθώς ἐστιν ἀληθῶς, λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.

Οὐκ ἔστιν εἰπεῖν, φησὶν, ὅτι ἡμεῖς μὲν ἀμέμπτως πάντα πράττομεν, ὑμεῖς δὲ ἀνάξια τῆς ὑμετέρας ἀναστροφῆς ἐποιήσατε παρ' ὑμῖν. οὐ γὰρ ὡς ἀνθρώπων ἀκούοντες ἡμῶν, ἀλλ' ὡς αὐτοῦ τοῦ Θεοῦ παραινοῦντος οὕτω προσείχετε· καὶ πόθεν τοῦτο δῆλον; ὅτι τοσούτους ἐφέρετε κινδύνους· καὶ ὅρα τὸ ἀξίωμα.

14 Ὑμεῖς γὰρ μιμηταὶ ἐγενήθητε, ἀδελφοὶ, τῶν ἐκκλη-
σιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ ἐν Χριστῷ
Ἰησοῦ, ὅτι τὰ αὐτὰ ἐπάθετε καὶ ὑμεῖς ὑπὸ τῶν ἰδίων
15 συμφυλετῶν, καθὼς καὶ αὐτοὶ ὑπὸ τῶν Ἰουδαίων, τῶν
καὶ τὸν Κύριον ἀποκτεινάντων Ἰησοῦν, καὶ τοὺς ἰδίους
προφήτας, καὶ ἡμᾶς ἐκδιωξάντων, καὶ Θεῷ μὴ ἀρεσκόν-
16 των, καὶ πᾶσιν ἀνθρώποις ἐναντίων, κωλυόντων ἡμᾶς
τοῖς ἔθνεσι λαλῆσαι, ἵνα σωθῶσιν, εἰς τὸ ἀναπληρῶσαι
αὐτῶν τὰς ἁμαρτίας πάντοτε· ἔφθασεν δὲ ἐπ' αὐτοὺς ἡ
ὀργὴ εἰς τέλος.

Οὐδὲν, φησὶ, θαυμαστὸν εἰς ὑμᾶς ταῦτα πράττειν αὐτοὺς, ὅπου γε καὶ εἰς τοὺς συμφυλέτας αὐτῶν· τοῦ τὸ κήρυγμα εἶναι ἀληθὲς οὐ μικρὸν τεκμήριον· ὅπου γε καὶ Ἰουδαῖοι πάντα ἠνέσχοντο ὑπομεῖναι, ὅτι καὶ ὑμεῖς, φησὶ, τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ὑπὸ τῶν Ἰουδαίων. ἔχει τι πλέον τὸ εἰπεῖν κἀκεῖνοι, οἱ ἐν τῇ Ἰουδαίᾳ, φησίν· καὶ τί θαυμαστὸν πάλιν εἰ καὶ εἰς ὑμᾶς, ὅπου γε καὶ εἰς τὸν δεσπότην τοιαῦτα τολμῶσιν; ὁρᾷς πῶς αὐτὸ εἰσήγαγε μεγάλην ἔχον παραμυθίαν; καὶ συνεχῶς τοῦτο στρέφει, καὶ ἐν πάσαις σχεδὸν εὕροι τις ἂν αὐτὸ ταῖς Ἐπιστολαῖς, ἀκριβῶς ἐξετάζων, πῶς ἐν τοῖς πειρασμοῖς ἀεὶ τὸν Χριστὸν παραφέρει διαφόρως. ἀλλ' ἠγνόησαν ἴσως αὐτόν· μάλιστα μὲν οὖν ᾔδεσαν· τί οὖν; καὶ τοὺς ἰδίους προφήτας ἀπέκτειναν καὶ ἐλιθοβόλησαν, ὧν καὶ τὰ τεύχη περιφέρουσι. "καὶ πᾶσιν "ἀνθρώποις," φησὶν, "ἐναντίων·" πῶς; εἰ γὰρ τῇ οἰκουμένῃ δεῖ λαλῆσαι, οὗτοι δὴ κωλύουσι· κοινοὶ τῆς οἰκουμένης εἰσὶν ἐχθροί.

τὸν Χριστὸν ἐφόνευσαν, τοὺς προφήτας, τὸν Θεὸν ὑβρίζουσιν, ἡμᾶς ἐλαύνουσι, τοὺς ἐπὶ σωτηρίᾳ παραγενομένους. τί θαυμαστὸν, εἰ καὶ εἰς ὑμᾶς τοιαῦτα ἐπεδείξαντο; "εἰς τὸ ἀναπληρῶσαι αὐτῶν "τὰς ἁμαρτίας πάντοτε· ἔφθασε δὲ ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος·" οὐκέτι, φησὶν, ἔσται τοιαῦτα οἷα τὰ πρότερον, οὐκέτι ἐπάνοδος, οὐκέτι πέρας, ἀλλ' ἐγγὺς ἐφέστηκεν ἡ ὀργή.

ΚΕΦ. Β.

Πόθος αὐτῶν καὶ χαρὰ ἐν αὐτοῖς καὶ μέριμνα, ὅπως τελειωθῶσιν.

17 Ἡμεῖς δὲ, ἀδελφοὶ, ἀπορφανισθέντες ἀφ' ὑμῶν πρὸς καιρὸν ὥρας, προσώπῳ οὐ καρδίᾳ, περισσοτέρως ἐσπουδάσαμεν τὸ πρόσωπον ἰδεῖν ἐν πολλῇ ἐπιθυμίᾳ.

Ἐπειδὴ εἶπεν ἀνωτέρω, ὁ σωτὴρ τέκνα, ὡς τροφὸς, ἐνταῦθα ἕτερόν φησιν, "ἀπορφανισθέντες," ὅπερ ἐστὶ παίδων πατέρα ζητούντων, καὶ μὴν ἐκεῖνο, ἀπορφανίσθησαν, οὔ φησιν, ἀλλ' "ἡμεῖς." εἰ γάρ τις τὸν πόθον ἐξετάσειεν, καθάπερ παιδία μικρὰ ἀπροστάτευτα ἄωρον ὀρφανίαν ὑποστάντα, ἐν πολλῷ πόθῳ τῶν γονέων ἐστὶν, οὐ διὰ τὴν φύσιν μόνον αὐτὴν, ἀλλὰ καὶ διὰ τὴν ἐρημίαν· οὕτω δὲ καὶ ἡμεῖς· καὶ ταῦτα, φησὶν, οὐκ ἔνι εἰπεῖν ὅτι πολὺν χρόνον ἀνεμείναμεν, ἀλλὰ πρὸς καιρὸν, καὶ ταῦτα προσώπῳ, οὐ καρδίᾳ· ἀεὶ γὰρ ὑμᾶς ἔχομεν ἐν τῇ διανοίᾳ· ὁρᾷς ὅση ἀγάπη; καί τοι γε ἔχων αὐτοὺς διὰ παντὸς ἐν καρδίᾳ, καὶ τὴν κατ' ὄψιν ἐζήτει παρουσίαν.

18 Διὸ ἠθελήσαμεν ἐλθεῖν πρὸς ὑμᾶς, ἐγὼ μὲν Παῦλος, καὶ ἅπαξ καὶ δὶς, καὶ ἐνέκοψεν ἡμᾶς ὁ Σατανᾶς,

Πειρασμούς τινας ἀπροσδοκήτους φησὶ καὶ ἐφόδους· γενομένης γὰρ αὐτῷ, φησὶν, ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων, κατείχετο ἐν τῇ Ἑλλάδι τρεῖς μῆνας· τὴν οὖν ἀπὸ τῶν πραγμάτων ἐγκοπὴν τοῦ Σατανᾶ ἐκάλεσε τῷ μέλλειν ὠφελεῖσθαι Θεσσαλονικέας ἀπὸ τῆς αὐτοῦ παρουσίας, ὡς ἂν ἀναγκαίως πάντων τῶν βλαβερῶν ἀνατιθεμένων τῷ Σατανᾷ.

19 Τίς γὰρ ἡμῖν ἐλπὶς ἢ χαρὰ ἢ στέφανος καυχήσεως;

Ἰωάννου. Οὐ γὰρ ἤρκει τὸ στέφανος ὄνομα δεῖξαι τὴν λαμ-

πρότητα, ἀλλὰ καὶ καυχήσεως. πόσης πυρώσεως τοῦτο; οὐκ ἄν ποτε μήτηρ, οὐδὲ πατὴρ, εἴγε ὁμοῦ συνῆλθον καὶ τῶν ἑαυτῶν ἀνέμιξαν πόθον, ἠδυνήθησαν δεῖξαι ἰσόρροπον ὄντα τῷ Παύλῳ τὸν ἑαυτῶν πόθον· χαρὰ, φησὶ, καὶ στέφανός μου· μᾶλλον ἐφ᾽ ὑμῖν, φησὶν, ἀγάλλομαι ἢ ἐπὶ στεφάνῳ· ἐννόησον γὰρ, ὅσον ἐστὶν ἐκκλησίαν ὁλόκληρον παρεῖναι φυτευθεῖσαν καὶ ῥιζωθεῖσαν ὑπὸ Παύλου· τίς οὐκ ἂν ἐπὶ τοσαύτῃ πολυπαιδίᾳ καὶ εὐπαιδίᾳ ἀγάλλοιτο; ὥστε οὐδὲ τοῦτο κολακείας ἐστίν. οὐ γὰρ εἶπεν ὑμεῖς, ἀλλὰ καὶ ὑμεῖς μετὰ τῶν ἄλλων.

1 Διὸ μηκέτι στέγοντες, ηὐδοκήσαμεν καταλειφθῆναι ἐν
Ἀθήναις μόνοι.

Ἀντὶ τοῦ εἰλόμεθα, "καὶ ἐπέμψαμεν Τιμόθεον τὸν ἀδελφὸν "ἡμῶν καὶ διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ εὐαγγελίῳ "τοῦ Χριστοῦ·" ὡσανεὶ ἔλεγεν, ἀποσπάσαντες ἀπὸ τῶν ἔργων, ἐπέμψαμεν πρὸς ὑμᾶς διάκονον τοῦ Θεοῦ καὶ συνεργὸν ἡμῶν ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ.

2 Εἰς τὸ στηρίξαι ὑμᾶς καὶ παρακαλέσαι ὑπὲρ τῆς
3 πίστεως ὑμῶν, τῷ μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι
ταύταις.

Τί δὴ ἐνταῦθα φησίν; ἐπειδὴ τῶν διδασκάλων οἱ πειρασμοὶ θορυβοῦσι τοὺς μαθητὰς, τότε δὲ πολλοῖς περιέπεσε πειρασμοῖς. "εἰς τὸ στηρίξαι ὑμᾶς," φησιν, οὐχ ὡς ἐλλείποντάς τι τῆς πίστεως, οὐδὲ ὀφείλοντάς τι μαθεῖν, "καὶ παρακαλέσαι ὑπὲρ τῆς "πίστεως ὑμῶν."

ΣΕΤΗΡΙΑΝΟΥ. *Οὐκ εἶπε τῷ μηδένα ὀκλάζειν, ἵνα μὴ δόξῃ κατηγορεῖν, ἀλλ᾽ ἔθηκε λέξιν τὴν μὴ δυναμένην ἐλεγκτικὴν εἶναι τῆς ἐνδόσεως, "σαίνεσθαι" εἰπὼν τὸ μηδένα ξενίζεσθαι.*

4 Αὐτοὶ γὰρ οἴδατε, ὅτι εἰς τοῦτο κείμεθα· καὶ γὰρ ὅτε πρὸς ὑμᾶς ἦμεν, προελέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι, καθὼς καὶ ἐγένετο καὶ οἴδατε.

Οὐδὲν ξένον ἢ παρ᾽ ἐλπίδας συμβαίνει, ὥστε οὐ δεῖ θορυβεῖσθαι· εἰς τοῦτο γὰρ κείμεθα, ὥστε οὐχ ὑπὲρ τῶν παρελθόντων μόνον, ἀλλ᾽ οὐδὲ ὑπὲρ τῶν μελλόντων ἔτι συμβαίνει τοῦτο, οὐ δεῖ θορυβεῖσθαι.

5 Διὸ κἀγὼ μηκέτι στέγων, ἔπεμψα εἰς τὸ γνῶναι τὴν
πίστιν ὑμῶν, μή πως ἐπείρασεν ὑμᾶς ὁ πειράζων, καὶ
6 εἰς κενὸν γένηται ὁ κόπος ἡμῶν. ἄρτι δὲ ἐλθόντος Τι-
μοθέου πρὸς ἡμᾶς ἀφ' ὑμῶν, καὶ εὐαγγελισαμένου ἡμῖν
τὴν πίστιν καὶ τὴν ἀγάπην ὑμῶν, καὶ ὅτι ἔχετε μνείαν
ἡμῶν ἀγαθὴν πάντοτε, ἐπιποθοῦντες ἡμᾶς ἰδεῖν, καθάπερ
7 καὶ ἡμεῖς ὑμᾶς, διὰ τοῦτο παρεκλήθημεν ἀδελφοὶ ἐφ'
8 ὑμῖν, ἐπὶ πάσῃ τῇ θλίψει καὶ ἀνάγκῃ ἡμῶν. διὰ τῆς ὑμῶν
πίστεως· ὅτι νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ.

Τί λέγεις; ὁ τοσαῦτα εἰδὼς, ὁ ἀπόρρητα ἀκούσας ῥήματα, ὁ μέχρι τρίτου ἀνελθὼν οὐρανοῦ, οὗτος οὐκ οἶδε, καὶ ἐν Ἀθήναις ὢν, ἀλλ' ἀναγκάζεται πέμψαι Τιμόθεον εἰς τὸ γνῶναι τὴν πίστιν αὐτῶν; τί οὖν ἄν τις εἴποι; ὅτι οὐ πάντα ᾔδεσαν οἱ ἅγιοι, καὶ τοῦτο πολλαχόθεν ἄν τις καταμάθοι, καθάπερ Ἐλισσαῖος περὶ τῆς γυναικὸς ἠγνόησε, καθάπερ Ἠλίας ἔλεγε πρὸς τὸν Θεὸν, "κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου," διὰ τοῦτο ἤκουσε παρὰ τοῦ Θεοῦ ὅτι κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας· ὁ Σαμουὴλ πάλιν, ἡνίκα ἀπεστάλη χρίσαι τὸν Δαυίδ· διὸ ἔλεγεν, "οὐχ ὡς ὄψεται "ἄνθρωπος, οὕτως ὄψεται καὶ ὁ Θεός." τοῦτο δὲ γίνεται κατὰ πολλὴν τοῦ Θεοῦ κηδεμονίαν, αὐτῶν τε ἕνεκεν τῶν ἁγίων καὶ τῶν πιστευόντων αὐτοῖς· διὰ τοῦτο καὶ διωγμοὺς συγχωρεῖ γίνεσθαι· καὶ πάλιν, ἵνα μὴ κἀκεῖνοι μεγάλα τινὰ περὶ αὐτῶν φαντάζωνται, καὶ τοῦτο αὐτός φησιν, "ἵνα μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ "βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ·" καὶ πάλιν, ἵνα μή τις ἔχῃ λέγειν, ὅτι οὐχὶ ἄνθρωποι ὄντες κατώρθωσαν, καὶ οὕτω πάντες ὕπτιοι γένωνται· διὰ τοῦτο δείκνυσιν αὐτῶν τὴν ἀσθένειαν, διὰ τοῦτο ἀγνοεῖ, διὰ τοῦτο καὶ πολλάκις προθέμενος οὐκ ἔρχεται.

9 Τίνα γὰρ εὐχαριστίαν δυνάμεθα τῷ Θεῷ ἀνταπο-
δοῦναι περὶ ὑμῶν, ἐπὶ πάσῃ τῇ χαρᾷ, ᾗ χαίρομεν δι'
10 ὑμᾶς ἔμπροσθεν τοῦ Θεοῦ ἡμῶν; νυκτὸς καὶ ἡμέρας,
ὑπὲρ ἐκπερισσοῦ δεόμενοι, εἰς τὸ ἰδεῖν ὑμῶν τὸ πρόσω-
πον, καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν.

Οὐχὶ ζωῆς μόνον αἴτιοι ἡμῖν γεγένησθε, ἀλλὰ καὶ εὐφροσύνης

πολλῆς, καὶ τοσαύτης ὡς μηδὲ εὐχαριστῆσαι δύνασθαι τῷ Θεῷ κατ' ἀξίαν. τὸ ὑμῶν κατόρθωμα, δῶρον εἶναι, φησὶ, τοῦ Θεοῦ ἡγούμεθα, τοιαῦτα ἡμᾶς εὐηργετήσατε ὡς Θεοῦ νομίζειν εἶναι, μᾶλλον δὲ καὶ ἔργον Θεοῦ· οὐ γὰρ ἀνθρωπίνης ψυχῆς οὐδὲ σπουδῆς τοσοῦτον φρόνημα· "νυκτὸς," φησὶ, "καὶ ἡμέρας ὑπὲρ ἐκπερισσοῦ δεόμενοι." καὶ τοῦτο τῆς χαρᾶς σημεῖον, τὸ ποθεῖν καὶ ὄψει τὴν τοσαύτην ἰδεῖν ἡδονήν. "καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως ὑμῶν·" ἐνταῦθα πολὺ τὸ ζήτημα· εἰ γὰρ νῦν ζῆς, ὅτι ἑστήκασι, καὶ Τιμόθεος εὐηγγελίσατο τὴν πίστιν αὐτῶν καὶ τὴν ἀγάπην, καὶ τοσαύτης ἦν χαρᾶς μεστὸς, ὡς μηδὲ δύνασθαι τῷ Θεῷ κατ' ἀξίαν εὐχαριστῆσαι, πῶς ἐνταῦθα τὰ ὑστερήματα τῆς πίστεως εἶναι φῄς; τί οὖν ἐστιν; οὐ πάσης ἀπέλαυσαν τῆς διδασκαλίας, καὶ τοῦτο δηλοῖ πρὸς τῷ τέλει, ἴσως ἐξηγεῖτο παρ' αὐτοῖς περὶ τῆς ἀναστάσεως, καὶ πολλοὶ ἦσαν οἱ θορυβοῦντες αὐτοὺς, οὐκέτι πειρασμοῖς οὐδὲ κινδύνοις, ἀλλ' ὑποκρινόμενοι τοὺς διδασκάλους· διὰ τοῦτο εἶπε "τὰ ὑστερήματα," καὶ οὐκ εἶπεν εἰς τὸ στηριχθῆναι, ἀλλ' ἔνθα μὲν περὶ τῆς πίστεως ἐδεδοίκει, "ἔπεμψα," φησὶ, "Τιμόθεον εἰς τὸ στηριχθῆναι ὑμᾶς," ἐνταῦθα δὲ τὸ ὑστεροῦν καταρτίσαι, ὃ διδασκαλίας μᾶλλόν ἐστιν ἢ βεβαιώσεως· τὸ γὰρ μὴ κατηρτισμένον ἐστὶν ὃ ὀλίγον τι λείπει, τοῦτο δὲ καταρτίζεται.

ΚΕΦ. Γ.

Εὐχὴ πρὸς Θεὸν περὶ ἀφίξεως τῆς αὐτοῦ, καὶ τῆς αὐξήσεως καὶ βεβαιώσεως Θεσσαλονικέων ἕως τῆς παρουσίας Χριστοῦ.

11 Αὐτὸς δὲ Θεὸς καὶ πατὴρ ἡμῶν, καὶ ὁ Κύριος ἡμῶν
Ἰησοῦς Χριστὸς κατευθύναι τὴν ὁδὸν ἡμῶν πρὸς ὑμᾶς·
12 ὑμᾶς δὲ ὁ Κύριος πλεονάσαι καὶ περισσεύσαι τῇ ἀγάπῃ
πρὸς ἀλλήλους καὶ εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς
ὑμᾶς.

Τοῦτο ὑπερβαλλούσης ἀγάπης τὸ μὴ μόνον ἐκεῖ εὔχεσθαι, ἀλλὰ καὶ ἐν τῇ Ἐπιστολῇ τὴν εὐχὴν ἐντιθέναι· τοῦτο οὖν, φησὶν, αὐτὸς ὁ Θεὸς ἐκκόψει τοὺς πειρασμοὺς τοὺς πανταχοῦ περιέλκον-

τας ἡμᾶς, ὥστε ἐλθεῖν πρὸς ὑμᾶς. "αὐτὸς δὲ ὁ Κύριος πλεονάσαι "καὶ περισσεῦσαι," ἀντὶ τοῦ αὐξῆσαι· τὸ μὲν ἡμέτερον ἤδη ἐστὶ, τὸ δὲ ὑμέτερον ἀξιοῦμεν γενέσθαι.

13 *Εἰς τὸ στηριχθῆναι ὑμῶν τὴν καρδίαν ἀμέμπτως ἐν ἁγιωσύνῃ, ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν, ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.*

Βούλομαι, φησὶ, πλεονάσαι τὴν ἀγάπην ταύτην, ἵνα μηδεὶς μῶμος γένηται· οὐκ εἶπεν, ὑμᾶς στηρίξαι, ἀλλὰ "τὰς καρδίας "ὑμῶν" ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοὶ πονηροὶ, ἔνεστι γὰρ μηδὲν πράττοντα πονηρὸν εἶναι, οἷον, βασκανίαν ἔχειν, ἀπιστίαν, δόλον, τὸ χαίρειν ἐπὶ τοῖς κακοῖς, τὸ μὴ εἶναι φιλάνθρωπον, τὸ δόγματα ἔχειν διεστραμμένα· ταῦτα πάντα τῆς καρδίας ἐστὶν, ἁγιωσύνη δὲ, τὸ τούτων καθαρεύειν· κυρίως μὲν γὰρ ἁγιωσύνη λέγεται ἡ σωφροσύνη, ἐπειδὴ καὶ ἀκαθαρσία ἡ πορνεία καὶ ἡ μοιχεία· καθολικῶς δὲ πᾶσα ἁμαρτία ἀκαθαρσία, καὶ ἡ πᾶσα ἀρετὴ καθαρότης· "μακάριοι γὰρ," φησὶν, "οἱ καθαροὶ τῇ "καρδίᾳ·" ὅτι γὰρ πορνεία μολύνει τὴν ψυχὴν, ἄκουε τοῦ προφήτου τοῦ λέγοντος, "λούσασθε, καθαροὶ γένεσθε, ἀφέλετε κὰς πονηρίας "ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν·" ὥστε πᾶσα ἁμαρτία μολύνει τὴν ψυχήν· "ἔμπροσθεν τοῦ Θεοῦ καὶ πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ "τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πάντων τῶν ἁγίων·" κριτὴς ἄρα τότε ἔσται ὁ Χριστὸς, οὐκ ἔμπροσθεν δὲ αὐτοῦ, ἀλλὰ καὶ τοῦ Πατρὸς παρεστήκαμεν κρινόμενοι, ἢ τοῦτο, φησὶν, ἢ ὅτι ἀμέμπτους ἔμπροσθεν τοῦ Θεοῦ γενέσθαι, ὅπερ ἀεὶ, φησὶ τὸ ἐνώπιον τοῦ Θεοῦ· αὕτη γὰρ ἡ ἀρετὴ εἰλικρινής· οὐκ ἐνώπιον ἀνθρώπων ἄρα ἡ ἀγάπη ἀμέμπτους ποιεῖ.

ΚΕΦ. Δ.

Παραίνεσις σωφροσύνης, δικαιοσύνης, ὡς ἐπὶ κρίσει φιλαδελφίας, ἐργασίας ἰδιοπράγμονος.

1 *Λοιπὸν οὖν, ἀδελφοὶ, ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ, καθὼς παρελάβετε παρ' ἡμῶν,*

τὸ πῶς δεῖ ὑμᾶς περιπατεῖν καὶ ἀρέσκειν Θεῷ, ἵνα
2 *περισσεύητε μᾶλλον· οἴδατε γὰρ τίνας παραγγελίας*
ἐδώκαμεν ὑμῖν διὰ τοῦ Κυρίου Ἰησοῦ. τοῦτο γάρ ἐστι
3 *θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν.*

Ὅταν πρὸς τὰ κατεπείγοντα στῇ, καὶ πρὸς τὰ ἐν χερσὶ, καὶ μέλλῃ εἰς τὰ διηνεκῆ ἐμβαίνειν, λοιπὸν καὶ ἃ συνεχῶς ἀκοῦσαι χρὴ, τοῦτο προστίθησι τὸ ῥῆμα “τὸ λοιπὸν,” τουτέστιν, ἀεὶ καὶ εἰς διηνεκές· “ἐρωτῶμεν ὑμᾶς καὶ παρακαλοῦμεν ἐν Κυρίῳ·” βαβαὶ, οὐδὲ εἰς τὸ παρακαλεῖν ἑαυτὸν ἀξιόπιστον εἶναι, φησὶν, ἀλλὰ τὸν Χριστὸν παραλαμβάνει· διὰ τοῦ Θεοῦ παρακαλοῦμεν ὑμᾶς, φησὶν, ἵνα “καθὼς παρελάβετε παρ' ἡμῶν·” τὸ “παρελάβετε” οὐχὶ ῥημάτων ἐστὶ μόνον, ἀλλὰ καὶ πραγμάτων, “τὸ πῶς δεῖ “ὑμᾶς περιπατεῖν,” (πᾶσαν ἐν τούτῳ τὴν ἀναστροφὴν τοῦ βίου δηλοῖ) “καὶ ἀρέσκειν τῷ Θεῷ, ἵνα περισσεύητε μᾶλλον,” τουτέστιν ἐκ πλέονος περιουσίας, μὴ μέχρι τῶν ἐντολῶν ἵστασθαι, ἀλλ' ἵνα καὶ ὑπερβαίνητε. τοῦτο γὰρ προκοπὴ τὸ ὑπερβαίνειν τὰς ἐντολάς· οὐκέτι γὰρ ἀπὸ τῆς διδασκαλικῆς ἀνάγκης, ἀλλ' ἀπὸ τῆς οἰκείας προαιρέσεως γίνεται τὸ πᾶν· εἰκὸς οὖν αὐτὸν μετὰ πολλοῦ φόβου καὶ τρόμου παρηγγελκέναι αὐτοῖς· καὶ ἀναμιμνήσκει διὰ τῶν γραμμάτων τούτων ἐκείνης αὐτοὺς τῆς εὐλαβείας. “οἴδατε γὰρ,” φησὶ, “τίνας παραγγελίας ἐδώκαμεν ὑμῖν διὰ “τοῦ Κυρίου Ἰησοῦ· τοῦτο γὰρ ἐστὶ θέλημα Θεοῦ, ὁ ἁγιασμὸς “ὑμῶν.” καὶ ἀλλαχοῦ γράφων, φησὶν, “εἰρήνην διώκετε μετὰ “πάντων, καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον.” καὶ Τιμοθέῳ δὲ γράφων ἔλεγεν, “ἑαυτὸν ἁγνὸν τήρει,” καὶ ἐν τῇ πρὸς Κορινθίους δευτέρᾳ· “ἐν ὑπομονῇ πολλῇ, ἐν νηστείαις, ἐν “ἁγνότητι·” καὶ πολλαχοῦ ἂν τις εὕροι τοῦτο· ὄντως γὰρ πάντας τοῦτο λυμαίνεται τὸ κακόν· “τοῦτο γάρ ἐστι,” φησὶ, “θέλημα Θεοῦ, ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ πάσης πορνείας.” πολύτροποι γὰρ καὶ πολυποίκιλαι τῆς ἀσελγείας αἱ ἡδοναί· εἰπὼν δὲ, “ἀπὸ πάσης πορνείας” καταλιμπάνει τοῖς εἰδόσιν.

4 *Εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν*
5 *ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ τὰ*
ἔθνη τὰ μὴ εἰδότα τὸν Θεόν.

Ἄρα μαθήσεώς ἐστι τὸ πρᾶγμα, καὶ πολλῆς, ὥστε μὴ ἀσελγαίνειν· ἄρα ἡμεῖς αὐτὸ κτώμεθα, ὅταν ᾖ καθαρὸν, ὅταν δὲ ἀκάθαρτον ἡ ἁμαρτία· εἰκότως· οὐ γὰρ ἃ βουλόμεθα πράττει, ἀλλὰ ἃ ἐκείνη ἐπιτάττει· "μὴ ἐν πάθει ἐπιθυμίας," φησί· ἐνταῦθα δείκνυσι καὶ τὸν τρόπον, καθ' ὃν δεῖ σωφρονεῖν, ὥστε τὰ πάθη τῆς ἐπιθυμίας ἐκκόπτειν· καὶ γὰρ τρυφὴ καὶ πλοῦτος καὶ ῥαθυμία καὶ ἀγρία καὶ σχολὴ, καὶ πάντα ταῦτα εἰς ἐπιθυμίαν ἡμᾶς ἐξάγει τὴν ἄτοπον, "καθάπερ," φησὶ, καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα "τὸν Θεόν." ἐκεῖνοι γὰρ τοιοῦτοί εἰσιν, οἱ μὴ προσδοκῶντες δώσειν δίκην.

(Θεόδωρος.) Ἄλλος φησί· σκεῦος τὴν ἰδίαν ἑκάστου γαμετὴν ὀνομάζει, ἐν ἁγιασμῷ κτᾶσθαι αὐτὸ εἰρηκώς· ὅταν μὴ πρὸς ἑτέραν ῥυπαίνηται· ἐμφατικώτερον δὲ, τὸ "μὴ ἐν πάθει ἐπι-"θυμίας," ὡσὰν τοῦτο ποιοῦντος, οὐκέτι ταύτῃ ὡς γυναικὶ συνόντος, ἀλλὰ διὰ μίξιν μόνην ἁπλῶς· ὅπερ πάθος ἐπιθυμίας ἐκάλεσε.

6 Τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφόν.

Καλῶς εἶπε, "τὸ μὴ ὑπερβαίνειν," ἑκάστῳ ὁ Θεὸς ἀπένειμε γυναῖκα, ὅρους ἔθηκε τῇ φύσει, τὴν μίξιν ἐκείνην τὴν πρὸς τὴν μίαν, ὥστε ἡ πρὸς τὴν ἑτέραν παράβασίς ἐστι καὶ πλεονεξία· οὐ γὰρ οὕτως ἀλγοῦμεν τῶν χρημάτων ἡμῖν ἐκφορουμένων, ὡς τοῦ γάμου διορυττομένου· ἀδελφὸν καλεῖς, καὶ πλεονεκτεῖς; καὶ ἐν οἷς οὐ χρὴ, περὶ μοιχείας φησὶν, ἀνωτέρω δὲ καὶ περὶ πορνείας ἁπάσης.

Διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων.

Παρεκάλεσε πρῶτον, ἐνέτρεψεν εἰπὼν, "καθάπερ καὶ τὰ ἔθνη." εἶτα ἀπὸ λογισμῶν τὸ ἄτοπον ἔδειξε τὸ πλεονεκτεῖν τὸν ἀδελφόν· ἐπάγει λοιπὸν τὸ κεφάλαιον, "διότι," φησὶν, "ἔκδικος ὁ Κύριος "περὶ πάντων τούτων, καθὼς καὶ προείπομεν ὑμῖν καὶ διεμαρτυ-"ράμεθα·" οὐδὲ γὰρ ἀτιμωρητὶ ταῦτα πράττομεν.

7 Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ.

Ἐπειδὴ εἰς αὐτὸν ὕβρισεν, αὐτὸς ἐκάλεσεν.

8 Τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν
Θεὸν τὸν δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ Ἅγιον εἰς ἡμᾶς.

Οὐ τὰ ἀδικούμενα, φησὶν, ἐκδικεῖ πρόσωπα, ἀλλ' ἑαυτόν· σὺ γὰρ ὁμοίως ἐμολύνθης, ὁμοίως τὸν Θεὸν ὕβρισας.

9 Περὶ δὲ τῆς φιλαδελφίας, οὐ χρείαν ἔχετε τοῦ γρά-
φεσθαι ὑμῖν· αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε εἰς τὸ
10 ἀγαπᾶν ἀλλήλους· καὶ γὰρ ποιεῖτε αὐτὸ εἰς πάντας τοὺς
ἀδελφοὺς τοὺς ἐν ὅλῃ τῇ Μακεδονίᾳ, [καὶ εἰς τοὺς ἄλ-
λους πάντας.]

Σφόδρα ταῦτα ἐντρεπτικὰ πρὸς τὸ ποιεῖν αὐτὸ, καὶ οὐχ ἁπλῶς λέγω ὅτι "θεοδίδακτοί ἐστε," ἀλλ' οἶδα ἀφ' ὧν ποιεῖτε.

Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, περισσεύειν μᾶλ-
11 λον, καὶ φιλοτιμεῖσθαι ἡσυχάζειν, καὶ πράττειν τὰ ἴδια,
καὶ ἐργάζεσθαι ταῖς χερσὶν ὑμῶν, καθὼς καὶ παρηγγεί-
12 λαμεν ὑμῖν· ἵνα περιπατῆτε εὐσχημόνως πρὸς τοὺς ἔξω,
καὶ μηδαμῶς χρείαν ἔχητε.

Δείκνυσιν ὅσων μὲν ἡ ἀργία κακῶν αἰτία, ὅσων δὲ ἡ ἐργασία καλῶν· καὶ ποιεῖ αὐτὸ σαφὲς ἀπὸ τῶν παρ' ἡμῖν, ὃ πολλαχοῦ ποιεῖ, καὶ τοῦτο συνετῶς· μᾶλλον γὰρ τούτοις ἐνάγονται οἱ πλείους, ἢ τοῖς πνευματικοῖς· ἀγάπης γάρ ἐστι τῆς εἰς τοὺς πλησίον, οὐχὶ παρ' ἐκείνων λαμβάνειν, ἀλλ' ἐκείνοις παρέχειν. καὶ θέα· μέλλων παρακαλεῖν καὶ παραινεῖν, μέσον τὸ κατόρθωμα τίθησιν, ἵνα καὶ ἀπὸ τῆς προτέρας προαινέσεως ἀναπνεύσωσι, καὶ τῆς ἀπειλῆς, ἡνίκα ἔλεγε "τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον "ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν," καὶ πρὸς ταύτην μὴ ἀποσκιρτήσωσι· τοῦτο δὲ ἀπὸ τοῦ ἐργάζεσθαι γίνεται, ὥστε μὴ λαμβάνειν μηδὲ ἀργεῖν, ἀλλ' ἐργαζόμενον ἑτέροις παρέχειν· "μακάριον γάρ ἐστι," φησὶ, "διδόναι μᾶλλον ἢ λαμβάνειν·" "καὶ ἐργάζεσθαι," φησὶ, "ταῖς χερσὶν ὑμῶν·" ποῦ εἰσιν οἱ τὸ ἔργον ζητοῦντες τὸ πνευματικόν; ὁρᾷς πῶς αὐτοῖς πᾶσαν πρόφασιν ἀνεῖλεν, εἰπὼν "ταῖς "χερσὶν ὑμῶν;" ἆρα νηστείαν τις ἐργάζεται ταῖς χερσίν; ἆρα παννυχίδας; ἀλλὰ χαμευνίας; οὐδεὶς τοῦτο ἂν εἴποι, ἀλλὰ περὶ

ἔργου, φησὶ, Κυρίου· πνευματικὸν γὰρ ὄντως ἐστὶ τὸ ἐργαζόμενον ἑτέροις παρέχειν· "ἵνα περιπατῆτε, φησὶν, εὐσχημόνως." οὐκ εἶπεν, ἵνα μὴ ἀσχημονῆτε ἐπαιτοῦντες, ἀλλὰ τὸ αὐτὸ μὲν ᾐνίξατο· πραότερον δὲ αὐτὸ τίθησιν ὥστε καὶ πλῆξαι καὶ μὴ σφόδρα τοῦτο ποιῆσαι. εἰ γὰρ οἱ παρ' ἡμῖν σκανδαλίζονται τούτοις, πολλῷ μᾶλλον οἱ ἔξωθεν μυρίας εὑρίσκοντες κατηγορίας καὶ λαβὰς, ὅταν ἄνθρωπον ὑγιαίνοντα καὶ ἑαυτῷ ἀρκέσαι δυνάμενον ὁρῶσιν ἐπαιτοῦντα καὶ ἑτέρων δεόμενον· διὸ καὶ χριστεμπόρους καλοῦσιν ἡμᾶς, "διὰ τοῦτο, τὸ ὄνομα," φησὶ, "βλασφημεῖται τοῦ Θεοῦ," ἀλλ' οὐδὲν τούτων ἔθηκεν, ἀλλ ὃ μάλιστα αὐτῶν καθάψασθαι ἴσχυσε, τὸ τῆς ἀσχημοσύνης.

ΚΕΦ. Ε.

Διδασκαλία περὶ τῆς τοῦ θανάτου καταλύσεως ἐπὶ ζώντων καὶ νεκρῶν ἐπιφανείᾳ Χριστοῦ.

13 *Οὐ θέλομεν δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοὶ, περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα.*

Ἐνταῦθα τὸν περὶ ἀναστάσεως λόγον κινεῖ, καὶ ἕτερόν τι αἰνιττόμενος μυστήριον· ποῖον δὴ τοῦτο; "ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περι" λειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς "κοιμηθέντας." ἱκανὸς μὲν καὶ ὁ τῆς ἀναστάσεως λόγος παραμυθήσασθαι τὸν ἐν ὀδύνῃ· ἱκανὸν δὲ τὸ νῦν λεγόμενον μάλιστα ἀξιόπιστον ποιοῦν τὴν ἀνάστασιν· ὅρα δὲ πῶς καὶ ἐνταῦθα ἡμέρως· οὐκ εἶπεν οὕτως ἀνόητοί ἐστε, καθάπερ πρὸς Κορινθίους "ἄφρονες, ὅτι "εἰδότες ἀνάστασιν ὡς μὴ πιστεύοντες, οὕτω λυπεῖσθε," ἀλλὰ σφόδρα ἡμέρως τὴν ἄλλην αὐτῶν ἀρχὴν αἰδούμενος· καὶ οὐκ εἶπε περὶ τῶν ἀποθανόντων, ἀλλὰ τῶν κεκοιμημένων, εὐθέως ἀπὸ προοιμίων τὴν παράκλησιν καταβαλλόμενος· "ἵνα μὴ λυπῆσθε," φησὶν, "ὡς καὶ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα·" ἄρα τὸ κατακόπτεσθαι καὶ θρηνεῖν ἀφορήτως τῶν οὐκ ἐχόντων ἐστὶν ἐλπίδα, μηδὲ προσδοκώντων ἀνάστασιν· ὑμεῖς δὲ, φησὶ, προσδοκῶντες ἀνάστασιν τί δή ποτε θρηνεῖτε; οἱ γὰρ περὶ τῶν χρόνων καὶ τῶν καιρῶν

ζητοῦντες δηλονότι ᾔδεσαν· εἰ γὰρ πιστεύομεν, φησὶν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. ποῦ εἰσιν οἱ τὴν σάρκα ἀθετοῦντες; εἰ γὰρ μὴ ἀνέλαβε σάρκα, οὐδὲ ἀπέθανεν, οὐδὲ ἀνέστη· πῶς οὖν ἡμᾶς ἀπὸ τούτων προτρέπει εἰς πίστιν; ἆρα οὐ λῆρος μᾶλλον ἦν κατ' αὐτοὺς καὶ ἀπατεών; εἰ γὰρ τὸ ἀποθανεῖν ἁμαρτίας ἐστὶν, ὁ δὲ Χριστὸς οὐχ ἥμαρτε, πῶς ἡμᾶς προτρέπεται; ὥστε πάντα ταῦτα ἕωλα αὐτοῖς· "πρωτότοκος," φησὶν, "ἐκ τῶν νεκρῶν," ἀπαρχὴ, οὐκοῦν καὶ λοιποὺς εἶναι δεῖ; καὶ ὅρα πῶς οὐδὲν ἐνταῦθα ἀπὸ λογισμῶν τίθησιν, ἐπειδὴ προσηνεῖς ἦσαν. Κορινθίοις μὲν γὰρ γράφων πολλὰ καὶ ἀπὸ λογισμῶν ἐκίνησε, καὶ τότε τοῦτο ἐπήγαγε· "ἄφρων "σὺ, ὃ σπείρεις οὐ ζωογονεῖται·" κυριώτερον γὰρ τοῦτο· ἀλλ' ὅταν τῷ πιστῷ διαλέγηται, πρὸς δὲ τὸν ἔξω, ποίαν ἂν ἰσχὺν ἔχοι τοῦτο; "οὕτω," φησὶν, "ὁ Θεὸς καὶ τοὺς κοιμηθέντας ἄξει σὺν αὐτῷ·" πάλιν "κοιμηθέντας," οὐδαμοῦ τοὺς ἀποθανόντας· ἀλλ' ἐπὶ μὲν τοῦ Χριστοῦ τὸ ἀπέθανεν ἔθηκεν, ἐπειδὴ καὶ τὸ τῆς ἀναστάσεως ἕπετο, ἐνταῦθα δὲ "τοὺς κοιμηθέντας·" πῶς διὰ τοῦ Χριστοῦ; ἢ διὰ Ἰησοῦ κοιμηθέντας, ἢ διὰ τοῦ Ἰησοῦ ἄξει τοὺς μὲν κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, τουτέστιν, τοὺς πιστούς· ἐνταῦθα οἱ αἱρετικοί φασιν, ὅτι τοὺς βαπτισθέντας· τὸ γὰρ οὕτως ποῦ ἵσταται; ὁ γὰρ Ἰησοῦς οὐκ ἐκοιμήθη διὰ τοῦ βαπτίσματος· τίνος ἕνεκεν, φησὶ, "τοὺς κοι-"μηθέντας;" ὥστε οὐ περὶ καθολικῆς, ἀλλὰ περὶ μερικῆς ἀναστάσεως διαλέγεται· τοὺς γὰρ κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, φησὶ, καὶ πολλαχοῦ οὕτως λέγει· προσεκτέον δὲ, ὅτι ἐπὶ μὲν τοῦ Ἰησοῦ τὸ ἀπέθανεν εἶπεν, ἐπὶ δὲ τῶν λοιπῶν τοὺς κοιμηθέντας· ὡς ἐκεῖ μὲν θανάτου ὄντος διὰ τὸ μηδέπω λελύσθαι· ἐνταῦθα δὲ κοιμήσεως διὰ τὸ ἤδη λελύσθαι· "τοῦτο γὰρ ὑμῖν," φησὶ, "λέγομεν ἐν "λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν πα-"ρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας," περὶ τῶν πιστῶν λέγων· καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ, ἔπειτα οὐ περὶ ἀναστάσεως αὐτῷ λόγος μόνον ἦν, ἀλλὰ καὶ περὶ ἀναστάσεως ἐν δόξῃ. ἀναστάσεως μὲν οὖν πάντες ἀπολαύσονται, φησίν· ἐν δόξῃ δὲ οὐ πάντες ἔσονται, ἀλλ' οἱ ἐν Χριστῷ. ἐπεὶ οὖν παραμυθήσασθαι βούλεται αὐτοὺς, οὐ τούτῳ μόνον παραμυθεῖται, ἀλλὰ

καὶ τῇ τιμῇ τῇ πολλῇ καὶ τῷ τάχει, ἐπεὶ ἐκεῖνο ᾔδεσαν· διὰ τοῦτο γὰρ καὶ προϊὼν φησί· "καὶ πάντοτε σὺν Κυρίῳ ἐσόμεθα·" πῶς δὲ οἱ πιστοὶ διὰ τοῦ Ἰησοῦ κοιμῶνται; τουτέστιν, Χριστὸν ἔχοντες ἐν ἑαυτοῖς· τὸ δὲ "ἄξει σὺν αὐτῷ" δείκνυσι πολλαχόθεν ἀγομένους.

15 Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου.

Τοῦτο ξένον ἔμελλε λέγειν· διὰ τοῦτο καὶ τὸ ἀξιόπιστον τίθησιν· ἀπὸ τοῦ λόγου τοῦ Θεοῦ, φησὶ, τουτέστιν, οὐκ ἀφ' ἑαυτῶν, ἀλλὰ παρὰ τοῦ Χριστοῦ μαθόντες λέγομεν, ἀντὶ τοῦ κατὰ ἀποκάλυψιν· οὐ γὰρ ἦν περὶ μελλόντων πιστεύεσθαι λέγοντα, μὴ ἐκεῖθεν μαθόντα.

Ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας.

Ὅπερ καὶ ἐν τῇ πρὸς Κορινθίους φησὶν, "ὅτι ἐν ἀτόμῳ, ἐν "ῥιπῇ ὀφθαλμοῦ," ἐνταῦθα καὶ τὸ ἀξιόπιστον τῇ ἀναστάσει καὶ τῷ τρόπῳ παρέστησεν· ἐπειδὴ γὰρ δοκεῖ τὸ πρᾶγμα δύσκολον εἶναι, ὥσπερ ἐστὶ, φησὶν, εὔκολον τοὺς ζῶντας ἀρθῆναι, οὕτω καὶ τοὺς ἀπελθόντας· τὸ δὲ "ἡμεῖς" οὐ περὶ ἑαυτοῦ φησιν· οὐ γὰρ δὴ ἔμελλε μέχρι τῆς ἀναστάσεως μένειν, ἀλλὰ τοὺς πιστοὺς λέγει· διὰ τοῦτο προσέθηκεν "οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ "Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας·" ὡσανεὶ ἔλεγε, μὴ νομίσῃς ἐργωδίαν εἶναι, Θεός ἐστιν ὁ ποιῶν, οἱ ζῶντες τότε, τοὺς διαλυθέντας, τοὺς σαπέντας, τοὺς μυρία ἔτη ἔχοντας, οὐ μὴ προλάβωσιν, ἀλλ' ὥσπερ εὔκολον ἐκείνους τοὺς ἀπηρτισμένους ἀγαγεῖν, οὕτω καὶ τοὺς διαλελυμένους. ἀλλ' εἰσί τινες οἱ διαπιστοῦσι τῷ πράγματι, ἐπειδὴ τὸν Θεὸν οὐκ ἴσασι· τί γὰρ, εἰπέ μοι, εὐκολώτερον, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν, ἢ διαλυθέντα ἀναστῆσαι πάλιν; ἆρα ἀγνοοῦσιν ὅτι πᾶσα ζωὴ ἀπὸ φθορᾶς γίνεται; πάντα φυτὰ, πάντα σπέρματα· καὶ ὅτι ἡ συκῆ ἡ τοιαύτη καὶ τηλικαύτη ἀπὸ τῆς κέγχρου γίνεται ἐκείνης τῆς καταβληθείσης καὶ αὐτῆς διαφθαρείσης πρῶτον; κἂν μὴ σαπῇ καὶ διαλυθῇ, οὐδὲν τούτων ἔσται τῶν ἐν αὐτῇ· εἰπέ μοι, πόθεν τοῦτο γίνεται; ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων φυτῶν. τί δὲ, εἰπέ μοι·

οὐχὶ ὕδωρ ἐστὶν ἓν τὸ ἄνωθεν καταφερόμενον; πόθεν εἰς τοσαῦτα μεταβάλλεται; τοῦτο γὰρ τῆς ἀναστάσεως θαυμασιώτερον· πῶς μίαν ἔχον ποιότητα καὶ μίαν φύσιν εἰς τοσαῦτα τρέπεται; ἐπὶ δὲ τοῦ αὐτοῦ εἰπέ μοι, ἐγγύτερον γάρ· τοῦτο τὸ σπέρμα τὸ καταβαλλόμενον, πῶς εἰς ἕκαστον τῶν ἐν ἡμῖν μορίων τρέπεται τε καὶ μεταβάλλεται; πῶς εἰς ὀφθαλμούς; πῶς εἰς ὦτα; πῶς εἰς χεῖρας; πῶς εἰς τοσαῦτα ῥυθμίζεται καὶ διαπλάττεται; ἆρα οὐ πολλῷ σοι δοκεῖ τούτων εἶναι τοῦτο ἀπορώτερον; οὐχὶ καθ' ἑκάστην ἡμέραν ὁρᾷς ἀνάστασιν καὶ θάνατον ἐν ταῖς ἡλικίαις γινομένην; ποῦ ἡ νεότης ἀπῆλθεν; πόθεν τὸ γῆρας ἦλθεν; πῶς ὁ γεγηρακὼς ἑαυτὸν μὲν νέον ποιῆσαι οὐ δύναται, ἕτερον δὲ παιδίον τίκτει νεώτατον, καὶ ὃς αὐτῷ οὐ δύναται παρασχεῖν, ἑτέρῳ παρέχει; ὅταν οὖν ὁ Θεὸς δημιουργῇ, πάντα ὑποχωρείτω.

16 Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ ἀρχαγγέλου καὶ ἐν σάλπιγγι Θεοῦ.

Ἰωάννου. “Τότε γὰρ,” *φησὶν,* “*αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται·*” *τί δήποτε ἐν σάλπιγγι; καὶ γὰρ καὶ ἐν τῷ* Σιναίῳ *ὄρει τοῦτο ὁρῶμεν, καὶ* Ἀγγέλους *κἀκεῖ· τί δαὶ βούλεται ἡ φωνὴ τοῦ* Ἀρχαγγέλου; *καθάπερ ἐπὶ τῶν παρθένων ἔλεγεν, ἐγείρεσθε, ἦλθεν ὁ νυμφίος· ἤ τοι τοῦτο φησὶν, ἢ καθάπερ ἐπὶ βασιλέως, οὕτω καὶ τότε ἔσται,* Ἀγγέλων *πρὸς τὴν ἀνάστασιν ὑπηρετουμένων· λέγει γὰρ, ἀναστῶσιν οἱ νεκροὶ, καὶ γίνεται τὸ ἔργον, οὐ τῶν* Ἀγγέλων *πρὸς τοῦτο ἰσχυόντων, ἀλλὰ τοῦ ῥήματος αὐτοῦ. τοῦτο καὶ ἀλλαχοῦ λέγει ὁ* Χριστὸς, “*ἀποστελεῖ τοὺς* Ἀγγέλους *αὐτοῦ μετὰ σάλπιγγος μεγάλης, καὶ ἐπισυνάξουσι τοὺς ἐκλεκτοὺς αὐτοῦ ἐκ τῶν τεσσάρων ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν, ἕως ἄκρων αὐτῶν.*” *τὸν οὖν* Ἀρχάγγελον *οἶμαι, τὸν ἐφεστῶτα εἶναι τοῖς ἀπεσταλμένοις βοῶντα τοῦτο· ὅτι ἑτοίμους ποιεῖτε πάντας, πάρεστι γὰρ ὁ κριτής. τί ἐστιν* “*ἐν τῇ ἐσχάτῃ σάλπιγγι;*” *δείκνυσιν ἐνταῦθα πολλὰς τὰς σάλπιγγας γενομένας, καὶ πρὸς τῇ ἐσχάτῃ καταβαίνοντα τὸν κριτήν.*

Ἄλλος *φησί· σάλπιγγι παρεικάζειν εἴωθεν ἡ γραφὴ τοὺς τὸ τοῦ* Χριστοῦ *κηρύττοντας θέσπισμα· καὶ γοῦν ἔφη που* Θεὸς *διὰ φωνῆς τῶν προφητῶν τοῖς* Ἰουδαίων *δήμοις,* “*καθέστακα ἐφ' ὑμᾶς*

"σκοπούς· ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος, καὶ εἶπαν, ἀκουσόμεθα·" σάλπιγξ ἦν Μωϋσῆς καὶ πάντες οἱ προφῆται καὶ Ἀπόστολοι, καὶ οἱ τῆς ἐκκλησίας διδάσκαλοι· "σαλπιοῦσι γὰρ τῇ σάλπιγγι τῇ μεγάλῃ," κατὰ τὸν Ἡσαΐαν περὶ τῆς ἐπιδημίας τοῦ Χριστοῦ προφητεύοντα· ἔφη δὲ καὶ Ζαχαρίας περὶ τῆς ἐσχάτης σάλπιγγος, "Κύριος παντοκράτωρ σάλπιγγι σαλπιεῖ·" ταύτης σύμβολον ὑπῆρχον αἱ ἐν τῇ Ἱεριχῷ γενόμεναι σάλπιγγες, δι' ὧν αὐτή τε καὶ τὰ τείχη ταύτης αὐτομάτως κατέπεσον· καὶ τῷ Ἡσαΐᾳ, φησὶν, "ὡς σάλπιγγι ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ τὰ ἁμαρτήματα αὐτῶν·" ἐσχάτη τοίνυν σάλπιγξ ἡ ἐπὶ συντελείᾳ τῶν αἰώνων τοῦ κριτοῦ τὴν παρουσίαν σημαίνουσα.

Καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον,
17 ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν
αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ
Κυρίου εἰς ἀέρα, καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.
18 ὥστε παρακαλεῖτε ἀλλήλους ἐν τοῖς λόγοις τούτοις.

Ἰωάννου. Εἰ μέλλει δὲ καταβαίνειν, τίνος ἕνεκεν ἁρπαγησόμεθα; τιμῆς ἕνεκεν. καὶ γὰρ βασιλέως εἰς πόλιν εἰσελαύνοντος, οἱ μὲν ἔντιμοι πρὸς ἀπάντησιν ἐξίασιν, οἱ δὲ κατάδικοι ἔνδον μένουσι τὸν κριτήν· καὶ πατρὸς φιλοστόργου παραγινομένου, οἱ μὲν παῖδες καὶ ἄξιοι παῖδες εἶναι ἐπ' ὀχήματος ἐξάγονται, ὥστε ἰδεῖν καὶ καταφιλῆσαι· οἱ δὲ προσκεκρουκότες τῶν οἰκιῶν ἔνδον μένουσιν. ἐπὶ τοῦ ὀχήματος φερόμεθα τοῦ πατρός· καὶ γὰρ αὐτὸς ἐν νεφέλαις ὑπέλαβεν αὐτὸν, καὶ ἡμεῖς ἐν νεφέλαις ἁρπαγησόμεθα. ὁρᾷς τὴν τιμὴν ὅσην καὶ τὴν ἀπάντησιν καταβαίνοντι ποιούμεθα, καὶ τὸ πάντων μακαριώτερον, οὕτω σὺν αὐτῷ ἐσόμεθα.

Βαβαὶ, ὅσων ἀγαθῶν τὸ γένος ἠξίωσε τὸ ἀνθρώπινον; πρῶτοι οἱ τελευτήσαντες ἐγείρονται, καὶ οὕτως ὁμοῦ ἡ ἀπαντὴ γίνεται, ὥστε οὐδὲν ἔσται πλέον ἐκείνοις κατὰ τοῦτο, ἀλλ' ὁ διαφθαρεὶς ὁ τοσαῦτα ἔτη ἔχων ἐν τῇ γῇ, μετ' ἐκείνων ἀπαντῆσαι· εἰ γὰρ ἐκεῖνοι ἡμᾶς ἀνέμειναν, ἵνα στεφανωθῶμεν, τοῦ Κυρίου περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν, πολλῷ μᾶλλον καὶ ἡμεῖς ἐκείνους, μᾶλλον δὲ ἐκεῖνοι μὲν ἀνέμει-

ναν, ἡμεῖς δὲ οὐκέτι. ἐν γὰρ ἀτόμῳ ἡ ἀνάστασις γίνεται, ἐν ῥιπῇ ὀφθαλμοῦ· τὸ δὲ λέγειν ὅτι συνάγονται, ἀνίστανται μὲν, φησὶ, πανταχοῦ· συνάγονται δὲ ὑπὸ τῶν Ἀγγέλων· τὸ μὲν οὖν τῆς τοῦ Θεοῦ δυνάμεως ἔργον ἐστὶ, τῇ γῇ κελεύοντος ἀφεῖναι τὴν παρακαταθήκην, καὶ οὐδεὶς ὁ ὑπηρετούμενος· ὥσπερ τότε ἐκάλεσε τὸν Λάζαρον, "δεῦρο ἔξω·" τὸ δὲ ἀγαγεῖν τῶν ὑπηρετῶν γίνεται. ἀλλ' εἰ συνάγουσι καὶ προτρέπουσιν Ἄγγελοι, πῶς ἐνταῦθα οὗτοι ἁρπάζονται; μετὰ τὸ καταβῆναι ἁρπάζονται, μετὰ τὸ συναχθῆναι· καὶ ὅταν ταῦτα γένηται, τότε καὶ ἡ φωνὴ τοῦ Ἀρχαγγέλου ἔσται τοῖς Ἀγγέλοις ἐπιτάττοντος καὶ βοῶντος, καὶ σάλπιγγες, μᾶλλον δὲ ὁ τῶν σαλπίγγων ἦχος.

Δῆλον μέντοι κἀκεῖνο, ὅτι ὅταν εἴπῃ, οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, οὐκ ἀναιρῶν τοὺς πρὸ τῆς Χριστοῦ παρουσίας δικαίους λέγει· πῶς γάρ; ὅ γε σαφῶς ἐν τῇ πρὸς Ἑβραίους λέγων, "καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ "ἐκομίσαντο τὰς ἐπαγγελίας, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι "προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν," ὡς δῆλον, ὅτι σὺν αὐτοῖς τελειοῦσθαι μέλλουσιν· ἀλλ' ἐπειδὴ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν ταῦτα ἔγραφεν, ὡς πρὸς τοὺς μὴ πεπιστευκότας, τὸ ἐν Χριστῷ διαστέλλων λέγει.

Σετηριανὸς δὲ . . . ζῶντας ἔτι τινὰς βούλεται καταλαμβάνεσθαι ἐν τῇ παρουσίᾳ τοῦ Χριστοῦ, καὶ τοῦτο δηλοῦσθαι ἐκ τοῦ "ἡμεῖς οἱ περιλειπόμενοι ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου·" καὶ τοιοῦτόν ἐστιν ὅ φησιν ὁ Σωτὴρ, "ὥσπερ γὰρ ἐν ταῖς ἡμέραις τοῦ "Νῶε ἦσαν γαμοῦντες καὶ γαμισκόμενοι, καὶ ἐξαπίνα ἦλθεν ὁ "κατακλυσμὸς, καὶ ἔλαβε πάντας, οὕτως ἔσται ἡ παρουσία τοῦ "υἱοῦ τοῦ ἀνθρώπου·" οὐκοῦν, φησὶ, ζῶντες καταλαμβάνονται τινές.

Ἐν κελεύσματι καὶ ἐν φωνῇ ἀρχαγγέλου, καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται.

Τοῦτο αὐτὸς ὁ Κύριος λέγει ἐν τῷ Εὐαγγελίῳ· "μέσης δὲ "οὔσης νυκτὸς," φησὶ, "φωνὴ ἐγένετο, ὁ νυμφίος ἔρχεται." ὅτι δὲ ζῶντες καταλαμβάνονται οἳ καὶ ἀναλαμβάνονται μετὰ τῶν κοιμηθέντων, ὁ Κύριος δηλοῖ ἐν τῷ Εὐαγγελίῳ λέγων, "δύο ἔσον-

“ ται ἐν κλίνῃ, ὁ εἷς παραληφθήσεται, καὶ ὁ εἷς ἀφεθήσεται, καὶ “ δύο ἔσονται ἀλήθουσαι, ἡ μία παραληφθήσεται, καὶ ἡ μία ἀφε- “ θήσεται·” καὶ ὁ Κύριος δὲ καὶ ὁ Παῦλος αἰνίττονται ὅτι νυκτὸς ἔσται ἡ παρουσία.

ΚΕΦ. Ϛ.

Περὶ τοῦ αἰφνιδίως ἥξειν τὸν Χριστὸν, ὥστε δεῖν εὐτρεπίζεσθαι σπουδῇ, πίστει, ἐλπίδι, ἀγάπῃ, τιμῇ, εἰρήνῃ, μακροθυμίᾳ, φιλομαθείᾳ.

1 Περὶ δὲ τῶν χρόνων καὶ τῶν καιρῶν, ἀδελφοὶ, οὐ
2 χρείαν ἔχετε γράφεσθαι ὑμῖν· αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε,
ὅτι ἡ ἡμέρα Κυρίου ὡς κλέπτης ἐν νυκτὶ ἔρχεται.

Πολλὰ ἐπείγεται μανθάνειν ἤδη καὶ καταλαμβάνειν ἡμῶν ἡ διάνοια, ὡς περίεργος καὶ λίχνος πρὸς τὴν τῶν ἀφανῶν καὶ τῶν κεκωλυμένων μάθησιν· τοῦτο δὲ σημαίνει ἀπὸ τοῦ θρύπτεσθαι, καὶ ἀπὸ τοῦ μηδὲν ἔχειν ποιεῖν, μάλιστα δὲ τὸν περὶ τῆς συντελείας καιρόν· καὶ τί θαυμαστὸν εἰ ἡμεῖς, ὅπου γε καὶ αὐτοὶ οἱ ἅγιοι ἐκεῖνοι μάλιστα τοῦτο πεπόνθασι· πρὸ γὰρ τοῦ πάθους προσελθόντες οἱ Ἀπόστολοι λέγουσι τῷ Χριστῷ, “ εἰπὲ ἡμῖν, πότε “ ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον τῆς σῆς παρουσίας καὶ τῆς “ συντελείας τοῦ αἰῶνος ;” μετὰ δὲ τὸ πάθος καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἔλεγον πρὸς αὐτόν· “ εἰπὲ ἡμῖν, εἰ ἐν τῷ χρόνῳ τούτῳ “ ἀποκαθιστάνεις τὴν βασιλείαν τῶν Ἱερουσαλήμ.” καὶ οὐδὲν πρὸ τούτου αὐτὸν ἤροντο, ἀλλ' οὐ μετὰ ταῦτα οὕτως, ὅτε τοῦ Πνεύματος τοῦ Ἁγίου κατηξιώθησαν· οὐ μόνον γὰρ αὐτοὶ οὐκ ἐρωτῶσιν, οὐδὲ ἀσχάλλουσι πρὸς τὴν ἄγνοιαν, ἀλλὰ καὶ τοὺς ταύτην τὴν ἄκαιρον νοσοῦντας πολυπραγμοσύνην καταστέλλουσιν. ἄκουσον γοῦν οἷα νῦν ὁ μακάριος Παῦλός φησι, “ περὶ δὲ τῶν χρόνων “ καὶ τῶν καιρῶν, ἀδελφοὶ, οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν·” ἀντὶ τοῦ περισσὸν καὶ ἀσύμφορον ζητεῖτε· τί γὰρ πρὸς ἡμᾶς; οὐχὶ ἑκάστου ἡ συντέλεια, τὸ τῆς ζωῆς αὐτοῦ πέρας ἐστίν; τί οὖν πολυπραγμονοῦμεν; ἀφέντες γὰρ τὸ οἰκεῖον ἕκαστος τέλος μεριμνᾶν, τὴν κοινὴν βουλόμεθα κατάλυσιν μαθεῖν.

2 Αὐτοὶ γὰρ ἀκριβῶς οἴδατε, ὅτι ἡ ἡμέρα Κυρίου ὡς
κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται.

Οὐχ ἡ κοινὴ, ἀλλὰ καὶ ἡ ἑκάστου ἰδία, αὐτὴ γὰρ ἐκείνη μιμεῖται· ἡ γὰρ αὐτή ἐστι καὶ συγγενής. ὅπερ γὰρ ἀθρόως ἐκείνη, τοῦτο αὐτὴ κατὰ μέρος ποιεῖ· καὶ τῆς συντελείας ὁ καιρὸς ἀπὸ τοῦ Ἀδὰμ ἔλαβε τὴν ἀρχὴν, καὶ νῦν οὐκ ἂν ἁμαρτάνοι τις, συντέλειαν εἰπών. ὅταν γὰρ μυρίοι καθ' ἑκάστην ἡμέραν τελευτῶσι καὶ ἀναμένωσι τὴν ἡμέραν ἐκείνην ἅπαντες, καὶ πρὸ ἐκείνης μηδεὶς ἀνίσταται, οὐχὶ ἐκείνης τὸ ἔργον ἐστίν; εἰ δὲ βούλεσθε μαθεῖν διὰ τί ἀποκέκρυπται αὕτη, καὶ διὰ τί ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται, ἐγὼ ὡς ἐμαυτῷ δοκῶ, καλῶς ἔχειν ἐρῶ. οὐδεὶς ἂν ἀρετῆς ἐπεμελήθη ποτὲ παρὰ τὸν ἅπαντα βίον· ἀλλ' εἰδὼς αὐτοῦ τὴν τελευταίαν ἡμέραν, καὶ μυρία ἐργασάμενος δεινὰ, καὶ τῷ λουτρῷ τότε προσελθὼν, οὕτως ἂν ἀπῆλθεν· εἰ γὰρ νῦν τοῦ τῆς ἀδηλίας φόβου κατασείοντος τὰς ἁπάντων ψυχὰς, πάντες τὸν ἔμπροσθεν βίον ἐν κακίᾳ καταναλώσαντες εἰς ἐσχάτας ἀναπνοὰς τῷ βαπτίσματι διδόασιν ἑαυτοὺς, εἰ καὶ σφόδρα ἦσαν ὑπὲρ τούτου πεπεικότες ἑαυτοὺς, τίς ἄν ποτε ἀρετῆς ἐπεμελήσατο; καὶ ἕτερον δὲ πάλιν· πολλοὺς ὁ τοῦ θανάτου φόβος κατέχει νῦν καὶ ὁ τῆς ζωῆς ἔρως, εἰ ᾔδει ἕκαστος ὅτι αὔριον πάντως τεθνήξεται, οὐδὲν ἂν παρῃτήσατο τολμῆσαι πρὸ τῆς ἡμέρας ἐκείνης, ἀλλὰ καὶ ἔσφαξεν οὓς ἂν ἠθέλησε, καὶ ἀνεκτήσατο ἑαυτὸν, τοὺς ἐχθροὺς ἀμύνων.

Εἴπω τι καὶ τρίτον ἕτερον· οἱ φιλοζωοῦντες καὶ σφόδρα τῶν ἐνθάδε ἐφιέμενοι ὑπὸ τῆς ἀθυμίας ἂν καὶ τῆς λύπης διεφθάρησαν. εἰ γάρ τις τῶν νέων ὅτι πρὸ τοῦ γήρως δέξεται τὴν τελευτὴν ἠπίστατο, καθάπερ τὰ νωθρότατα τῶν θηρίων, ἐπειδὰν συλληφθῇ, τοιαῦτα γίνεται προσδοκῶντα τὴν τελευτὴν, οὕτως ἂν διετέθη πρὸς τοῦτο. οὐδὲ αὐτοὶ οἱ γενναῖοι ἄνδρες μισθὸν ἂν ἔσχον. εἰ γὰρ ᾔδεισαν ὅτι πάντως μετὰ τρία ἔτη ἀπελθεῖν δεῖ, καὶ πρὸ ἐκείνων οὐ δυνατὸν, ποῖον ἂν ἔσχον μισθὸν, κατατολμῶντες τῶν δεινῶν· ὁ γὰρ ἐξ ἑκάστου κινδύνου προσδοκῶν τεθνήξεσθαι, καὶ εἰδὼς ὅτι ζήσεται μὲν μὴ παραβολευσάμενος· τεθνήξεται δὲ τοιαῦτα τολ-

μῶν, τῆς αὐτοῦ προθυμίας καὶ τοῦ καταφρονεῖν τῆς ἐνθάδε ζωῆς μέγιστον ἐξήνεγκε τεκμήριον.

Ὁρᾶτε πόσα κέρδη ἐστὶ, καὶ πλείονα τούτων ἐκ τοῦ ἀγνοεῖν τὴν τελευτήν; τέως δὲ ταῦτα ἀπόχρη μαθεῖν· διὰ τοῦτο ὡς κλέπτης ἐν νυκτὶ, οὕτως ἔρχεται, ἵνα μὴ εἰς κακίαν ἐξάγωμεν ἑαυτοὺς, ἵνα μὴ εἰς ῥᾳθυμίαν, ἵνα μὴ τῶν μισθὸν ὑμῶν ὑποτέμητε· "γρηγορεῖτε οὖν," ὥς φησιν ὁ Σωτὴρ, "ὅτι οὐκ οἴδατε ποίᾳ ὥρᾳ ὁ κλέπτης ἔρχεται." διὰ τοῦτο Παῦλος ἔλεγεν,

3 Ὅταν δὲ λέγωσιν, εἰρήνην καὶ ἀσφάλειαν, τότε αἰφνίδιος αὐτοῖς ἐφίσταται ὄλεθρος, ὥσπερ ἡ ὠδὶν τῇ ἐν γαστρὶ ἐχούσῃ, καὶ οὐ μὴ ἐκφύγωσιν.

Ἐνταῦθα τί ᾐνίξατο; ὅπερ καὶ ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ· ἐπειδὴ γὰρ οὗτοι μὲν ἦσαν ἐν θλίψεσι, ἐκεῖνοι δὲ ἐν ἀνέσει οἱ πολεμοῦντες αὐτοὺς καὶ ἐν τρυφῇ, εἶτα τούτῳ παρεμυθεῖτο τὰ παρόντα δεινὰ τῷ τῆς ἀναστάσεως λόγῳ, ἐκεῖνοι ἐπείραζον ἐκ τῶν προγονικῶν ἐνθυμημάτων φθεγγόμενοι, καὶ ἔλεγον· "οὐαὶ οἱ λέγοντες τὸ τάχος ἐγγισάτω, ἃ ποιήσει ὁ Θεὸς ἵν' ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ ἁγίου Ἱερουσαλὴμ, ἵνα γνῶμεν." καὶ πάλιν· "οὐαὶ οἱ ἐπιθυμοῦντες τὴν ἡμέραν Κυρίου," περὶ ταύτης φησίν· οὐ γὰρ ἁπλῶς ἐπιθυμοῦντας λέγει, ἀλλὰ τοὺς ἐκ τοῦ ἀπιστεῖν ἐπιθυμοῦντας· "καὶ ἡ ἡμέρα Κυρίου," φησὶ, "σκότος καὶ οὐ φῶς·" ὡσανεὶ ἔλεγε, μὴ τὸ ἐν εὐπαθείᾳ εἶναι αὐτοὺς τεκμήριον ποιείσθωσαν τοῦ μὴ παραγίνεσθαι τὸν κριτήν· οὕτω μὲν οὖν καὶ παραγίνεται.

Ἄξιον δὲ ἐκεῖνο ζητῆσαι, εἰ ὁ Ἀντίχριστος ἔρχεται, καὶ Ἠλίας ἔρχεται, πῶς "ὅταν λέγωσιν εἰρήνην καὶ ἀσφάλειαν, τότε αὐτοῖς αἰφνίδιος ὄλεθρος ἐφίσταται·" ταῦτα γὰρ οὐκ ἀφίησιν ἐπελθεῖν τὴν ἡμέραν τεκμήρια ὄντα τῆς παρουσίας αὐτῆς, ἀλλ' οὐδὲ τοῦτον τὸν καιρὸν βούλεται εἶναι τὸν τοῦ Ἀντιχρίστου καὶ τῆς ἡμέρας, ὅτι ἐκεῖνο σημεῖον ἔσται τῆς παρουσίας τοῦ Χριστοῦ, αὐτὸς δὲ οὐχ ἕξει σημεῖον, ἀλλ' ἀθρόον καὶ ἀπροσδοκήτως ἥξει· καί τοι τῇ κύουσῃ, φησὶν, οὐκ ἐφίσταται ἀδήλως· αἱ μὲν γὰρ ἑπταμηνιαῖα ἔτεκον, αἱ δὲ ἐνναμηνιαῖα· ἄλλως τε καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα

ἄδηλος· πρὸς τοῦτο οὖν ταῦτα ὁ Παῦλος, καὶ ἀκριβὴς ἡ εἰκών· οὐ τὸ ἄδηλον δὲ μόνον ἐνταῦθα ᾐνίξατο, ἀλλὰ καὶ τὸ τῆς ὀδύνης πικρόν.

4 Ὑμεῖς δὲ, ἀδελφοὶ, οὐκ ἐστὲ ἐν σκότει, ἵνα ἡ ἡμέρα
ὑμᾶς ὡς κλέπτης καταλάβῃ.

Ἐνταῦθα τὸν σκοτεινὸν καὶ ἀκάθαρτον βίον φησί· καθάπερ ἐν νυκτὶ πάντα πράττουσιν οἱ μιαροὶ καὶ πονηροὶ τῶν ἀνθρώπων, πάντας λανθάνοντες καὶ ἐν σκότῳ κατακλείοντες ἑαυτούς. τί οὖν οὐχὶ ὡς κλέπτης αὐτοὺς καταλαμβάνει, οὐχὶ καὶ αὐτοῖς ἀδήλως ἐφίσταται; ἀλλὰ προίσασι· πῶς οὖν λέγει ὅτι οὐ χρείαν ἔχετε γράφεσθαι ὑμῖν; ἐνταῦθα οὐ πρὸς τὸ ἄδηλόν φησιν, ἀλλὰ πρὸς τὴν συμφορὰν, τουτέστιν, οὐκ ἐπὶ κακῷ τῷ αὐτῶν ἥξει· ἀδήλως μὲν γὰρ ἥξει καὶ αὐτοῖς, πλὴν ἀλλ' οὐδενὶ περιβαλεῖ λυπηρῷ· ἐπὶ γὰρ τῶν ἐγρηγορότων καὶ ἐν φωτὶ ὄντων, κἂν γένηταί τις εἴσοδος λῃστοῦ, οὐδὲν λυμανεῖσθαι δυνήσεται· οὕτως καὶ ἐπὶ τῶν ὀρθῶς ζώντων, ἀλλ' ἐκείνους τοὺς καθεύδοντας πάντων γυμνώσας ἄπεισι, τοὺς τοῖς ἐνθάδε θαρροῦντας.

5 Πάντες γὰρ ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας.

"Υἱοὶ ἡμέρας," ὡς υἱοὶ ἀπωλείας, καὶ υἱοὶ γεέννης, καὶ πάλιν ὁ Παῦλος ἔλεγε· "δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς υἱοὺς "τῆς ἀπειθείας," τουτέστιν οἱ τὰ τῆς γεέννης πράττοντες, οἱ τὰ τῆς ἀπειθείας· οὕτως καὶ υἱοὶ τοῦ Θεοῦ, οἱ τὰ τῷ Θεῷ δοκοῦντα πράττοντες· καὶ υἱοὶ ἡμέρας καὶ φωτὸς, οἱ τὰ τοῦ φωτὸς πράττοντες.

6 Ἄρα οὖν μὴ καθεύδωμεν, ὡς καὶ οἱ λοιποὶ, ἀλλὰ
γρηγορῶμεν καὶ νήφωμεν.

Δείκνυσιν ἐνταῦθα ὅτι τὸ ἐν ἡμέρᾳ εἶναι ἡμῶν ἐστιν· ἐπὶ μὲν γὰρ τῆς ἡμέρας ταύτης καὶ τῆς νυκτὸς, οὐχ ἡμῶν ἐστι, καὶ μὴ βουλομένων ἡμῶν, ὁ ὕπνος ἐφίπταται· ἐπὶ δὲ τῆς νυκτὸς ἐκείνης καὶ τοῦ ὕπνου οὐκέτι, ἀλλ' ἔξεστι δια παντὸς ἡμέραν ἄγειν, ἔξεστι διὰ παντὸς ἐγρηγορέναι. τὸν γὰρ ἀπὸ τῆς κακίας ὕπνον ἐπαγαγεῖν οὐκέτι φύσεως, ἀλλὰ προαιρέσεως. "ἀλλὰ γρηγορῶμεν," φησὶ, "καὶ νήφωμεν·" ἔστι γὰρ ἐγρηγορότα καθεύδειν, μηδὲν πράττοντα ἀγαθόν· διὰ τοῦτο ἐπήγαγε, "καὶ νήφωμεν." καὶ γὰρ

ἐν ἡμέρᾳ, ἂν γρηγορῇ μέν τις, μὴ νήφῃ δὲ, μυρίοις περιπεσεῖται δεινοῖς, ὥστε ἐγρηγόρσεως ἐπίτασις ἡ νῆψις ἐστίν.

7 Οἱ γὰρ καθεύδοντες, νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσι.

Μέθην ἐνταῦθα φησὶ τὴν ἀπὸ πάντων τῶν κακῶν· καὶ γὰρ μέθη ψυχῆς πλοῦτος καὶ χρημάτων ἐπιθυμία, καὶ σωμάτων ἔρως, καὶ πᾶν ὅπερ εἴπῃς μέθη ψυχῆς· διὰ τί δὲ ὕπνον τὴν κακίαν ἐκάλεσεν; ὅτι πρῶτον μὲν ἀνενέργητός ἐστι πρὸς τὴν ἀρετὴν ὁ τοιοῦτος· ἔπειτα πάντα φαντασιοῦται, οὐδὲν ἀληθὲς ὁρᾷ, ἀλλ' ὀνειράτων ἐστὶ μεστὸς καὶ ἀτόπων πολλάκις πραγμάτων· ἂν δέ τι χρηστὸν ἴδῃ, οὐδὲν ἔχει βέβαιον οὐδὲ πεπηγός· οὐκ ἀρκεῖ δὲ τὸ ἐγρηγορέναι καὶ νήφειν, ἀλλὰ δεῖ καὶ καθοπλίζεσθαι· διό φησιν,

8 Ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν, ἐλπίδα σωτηρίας.

Πίστεως εἰπὼν καὶ ἀγάπης, βίον καὶ δόγμα ᾐνίξατο, οὐ τὴν τυχοῦσαν δὲ πίστιν, ἀλλ' ὥσπερ τὸν θώρακα οὐδὲν ἂν διατέμοι ταχέως· οὕτως καὶ σὺ πίστιν καὶ ἀγάπην περιέλασον τῇ ψυχῇ, καὶ οὐδὲν τῶν πεπυρωμένων τοῦ διαβόλου βελῶν ἐμπαγῆναι δυνήσεται· ἔνθα γὰρ ἂν ᾖ προκατειλημμένη τῷ τῆς ἀγάπης ὅπλῳ τῆς ψυχῆς ἡ δύναμις, πάντα εἰκῇ καὶ μάτην κατασκευάζουσιν οἱ ἐπιβουλεύοντες· καθάπερ γὰρ ἡ περικεφαλαία τὸ καίριον σώζει τῶν ἐν ἡμῖν, τὴν κεφαλὴν περιβάλλουσα, οὕτω καὶ ἡ ἐλπὶς τὸν λογισμὸν οὐκ ἀφίησι διαπεσεῖν· τὸν γὰρ τούτοις πεφραγμένον τοῖς ὅπλοις οὐκ ἔνι ποτὲ πεσεῖν. μένει γὰρ πίστις καὶ ἐλπὶς καὶ ἀγάπη.

9 Ὅτι οὐκ ἔθετο ἡμᾶς ὁ Θεὸς εἰς ὀργὴν, ἀλλ' εἰς περι-
ποίησιν σωτηρίας διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
10 τοῦ ἀποθανόντος ὑπὲρ ἡμῶν.

Ὥστε οὐ πρὸς τοῦτο ἔκλινεν εἰς τὸ ἀπολέσαι, ἀλλ' εἰς τὸ σῶσαι· καὶ ὅτι τοῦτο βούλεται, πόθεν δῆλον; τὸν Υἱὸν ἔδωκεν. οὕτως ἡμᾶς ἐπιθυμεῖ σωθῆναι, ὅτι τὸν Υἱὸν αὐτοῦ ἔδωκεν ὑπὲρ ἡμῶν, καὶ οὐχ ἁπλῶς, ἀλλ' εἰς θάνατον.

10 Ἵνα εἴτε γρηγοροῦμεν, εἴτε καθεύδομεν, ἅμα σὺν αὐτῷ
11 ζήσωμεν. διὸ παρακαλεῖτε ἀλλήλους, καὶ οἰκοδομεῖτε
εἷς τὸν ἕνα, καθὼς καὶ ποιεῖτε.

Πάλιν "εἴτε γρηγορῶμεν, εἴτε καθεύδομεν," ἕτερον ἐκεῖ τὸν ὕπνον φησὶ, καὶ ἕτερον ἐνταῦθα· ἐνταῦθα γὰρ τὸ "εἴτε καθεύδομεν" τὸν θάνατον, φησὶ, τὸν σωματικὸν, τουτέστι τοὺς κινδύνους μὴ δείσητε, κἂν ἀποθάνωμεν, ἄν τε ζῶμεν, μετ' αὐτοῦ ζησόμεθα.

12 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοί, εἰδέναι τοὺς κοπιῶντας
ἐν ὑμῖν, καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθε-
13 τοῦντας ὑμᾶς, καὶ ἡγεῖσθε αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν
ἀγάπῃ, διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε ἐν ἑαυτοῖς.

Ἐπειδὴ εἶπεν, "οἰκοδομεῖτε εἷς τὸν ἕνα," ἵνα μὴ νομίσωσιν ὅτι εἰς τὸ τῶν διδασκάλων ἀξίωμα αὐτοὺς ἀνήγαγεν, ἐπήγαγε· πλὴν ὁρᾶτε ὅτι καὶ ὑμῖν ἐπέτρεψα οἰκοδομεῖν ἀλλήλους· οὐ γὰρ δυνατὸν πάντα τὸν διδάσκαλον εἰπεῖν· "τοὺς κοπιῶντας," φησὶν, "ἐν "ὑμῖν," καὶ προϊσταμένους ὑμῶν ἐν Κυρίῳ, καὶ νουθετοῦντας ὑμᾶς· καὶ πῶς οὐκ ἄτοπον, φησὶν, ἂν μὲν ἄνθρωπος προστῇ, πρὸς ἄνθρωπον πάντα πράττεις, πᾶσαν ὁμολογεῖς χάριν· οὗτος δὲ πρὸς τὸν Θεὸν προΐσταταί σου, καὶ οὐχ ὁμολογεῖς χάριν; καὶ πῶς προΐσταται, φησίν; ὅτι εὔχεται ὑπὲρ σοῦ, ὅτι τῇ πνευματικῇ δωρεᾷ τῇ τοῦ βαπτίσματος ὑπηρετεῖται, ἐπισκέπτεται, παραινεῖ καὶ νουθετεῖ, πρὸς τοῦτο ἑαυτὸν ἀπησχόλησεν· "ἡγεῖσθε," φησὶν, "αὐτοὺς ὑπὲρ ἐκπερισσοῦ ἐν ἀγάπῃ διὰ τὸ ἔργον αὐτῶν· εἰρηνεύετε "ἐν ἑαυτοῖς·" μὴ ἁπλῶς φησιν, ἀγαπᾶτε, ἀλλ' "ὑπὲρ ἐκπερισ-"σοῦ," ὡσανεὶ παῖδες πατέρας· διὰ γὰρ αὐτῶν ἐτέχθητε τὴν γέννησιν τὴν αἰώνιον· δι' αὐτῶν τῆς βασιλείας ἐπετύχετε· δι' αὐτῶν πύλαι οὐρανοῦ ὑμῖν ἀνοίγονται· μηδεὶς στασιαζέτω, μηδεὶς φιλονεικείτω.

14 Παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοί, νουθετεῖτε τοὺς ἀτά-
κτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν
ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας.

Ἐνταῦθα πρὸς τοὺς ἄρχοντας διαλέγεται· μὴ ἀπ' ἐξουσίας, φησὶ, μηδὲ αὐθαδείας ἐπιπλήττετε, ἀλλὰ μετὰ νουθεσίας· ὁ γὰρ αὐστηρὸς καὶ ἀπεγνωκὼς ἑαυτὸν, θρασύτερος γίνεται καταφρονῶν

καὶ ἐπιπληττόμενος· διὰ τοῦτο τῇ νουθεσίᾳ χρὴ ἡδὺ κατασκευάζειν τὸ φάρμακον. τίνες δέ εἰσιν οἱ ἄτακτοι; πάντες οἱ παρὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες. ἔστι δὲ καὶ ἕτερον εἶδος τῶν κακῶν, οὐ τοιοῦτο μὲν, κακία δὲ καὶ αὐτὸ, ἡ μικροψυχία· καὶ γὰρ καὶ αὐτὴ ὁμοίως τῇ ῥᾳθυμίᾳ ἀπόλλυσιν· ὁ μὴ φέρων ὕβριν ἢ πειρασμὸν, ὀλιγόψυχος, οὗτός ἐστιν ὁ ἐπὶ τῆς πέτρας σπαρείς. ἔστι καὶ ἄλλο εἶδος, τὸ τῆς ἀσθενείας· ἐν ἀσθενείᾳ δὲ γίνεται περὶ πίστιν· ἀλλ᾽ ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺν διαπτύσθαι, καὶ ἀλλαχοῦ δὲ γράφων ἔλεγε, "τοὺς ἀσθενοῦντας τῇ πίστει προσλαμβάνεσθε." "μακροθυμεῖτε," φησὶ, "πρὸς πάντας," καὶ πρὸς τοὺς ἀτάκτους, καὶ σφόδρα· οὐδὲν γὰρ τούτου τοῦ φαρμάκου ἴσον, διδασκάλῳ μάλιστα· οὐδὲν οὕτω τοῖς ἀρχομένοις ἐπιτήδειον, πάντως ἐντρέψαι δύναται.

15 Ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινι ἀποδῷ.

Εἰ κακὸν ἀντὶ κακοῦ οὐ χρὴ ἀποδιδόναι, πολλῷ μᾶλλον κακὸν ἀντὶ ἀγαθοῦ.

Πάντοτε τὸ ἀγαθὸν διώκετε καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας.

Αὕτη μείζων φιλοσοφία, μὴ μόνον κακοῖς ἀμύνεσθαι τὰ κακὰ, ἀλλὰ καὶ ἀγαθοῖς· καὶ ἵνα μὴ νομίσῃς, ὅτι περὶ τῶν πιστῶν τοῦτο εἴρηται, διὰ τοῦτο εἶπε, "καὶ εἰς ἀλλήλους, καὶ εἰς πάντας."

16 Πάντοτε χαίρετε.

Τοῦτο περὶ τῶν πειρασμῶν τῶν θλίψιν ἐμβαλλόντων· εἶτα καὶ τὴν ὁδὸν ἔδειξεν.

17 Ἀδιαλείπτως προσεύχεσθε, ἐν παντὶ εὐχαριστεῖτε,
18 τοῦτο γὰρ θέλημα Θεοῦ.

Τὸ ἀεὶ δηλονότι εὐχαριστεῖν, τοῦτο φιλοσόφου ψυχῆς.

19 Τὸ Πνεῦμα μὴ σβέννυτε· προφητείας μὴ ἐξουθενεῖτε.
20 21 πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχετε· ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέχεσθε.

Ἐπεὶ νὺξ ἐστὶν, ὡς εἶπεν, ἀσέληνος ὁ παρὼν βίος, καὶ ἐν ταύτῃ τῇ νυκτὶ βαδίζομεν, ἔδωκεν ἡμῖν λαμπάδα φαιδρὰν ὁ Θεὸς, τοῦ Πνεύματος τοῦ Ἁγίου τὴν χάριν, ἀνάψας ἐν ταῖς ἡμετέραις ψυχαῖς· ἀλλὰ τοῦτο τὸ φῶς οἱ μὲν δεξάμενοι λαμπρότερον εἰργά-

σαντο καὶ φαιδρότερον, οἷον, ὡς Πέτρος, ὡς Παῦλος, ὡς οἱ ἅγιοι πάντες· οἱ δὲ καὶ ἔσβεσαν, ὡς αἱ πέντε παρθένοι, ὡς ἐκεῖνοι οἱ περὶ τὴν πίστιν ναυαγήσαντες, ὡς ὁ ἐν Κορίνθῳ πεπορνευκώς. διὰ τοῦτο ὁ Παῦλός φησι, "τὸ Πνεῦμα μὴ σβέννυτε," τουτέστι, τὸ χάρισμα· σβέννυσι δὲ αὐτὸ βίος ἀκάθαρτος· ἄν τε γὰρ γήϊνα καὶ τῶν διαρρεόντων πραγμάτων φροντίδας κατασκεδάσῃς, ἔσβεσας τὸ Πνεῦμα· ἄν τε σὺ μὲν μηδὲν ἐργάσῃ τοιοῦτον, ἑτέρωθεν δέ ποθεν πειρασμὸς ἐμπεσὼν προσβάλῃ σφοδρῶς καθάπερ τι πνεῦμα, καὶ μὴ σφοδρὰ δὲ ᾖ φλὸξ καὶ πολὺ τὸ ἔλαιον ἔχουσα, ἢ τὴν ὀπὴν μὴ ἐμφράξῃς, ἢ τὴν θύραν μὴ προσκλείσῃς, πάντα ἀπόλωλεν. τίς δέ ἐστιν ἡ ὀπή; ὥσπερ ἐπὶ τοῦ λύχνου ὀφθαλμὸς καὶ ἀκοή· μὴ ἀφῇς ταύταις προσπίπτειν πνεῦμα σφοδρὸν πονηρίας, ἐπεὶ ἔσβεσες τὸν λύχνον, ἀλλ' ἀπόφραξον τῷ φόβῳ τοῦ Θεοῦ. θύρα τὸ στόμα ἐστί· πρόσκλεισον, ἵνα καὶ τὸ φῶς παρέχῃ καὶ ἀποκρούηται τὴν ἔξωθεν προσκοπήν· οἷον, ὕβρισέ τις; ἐλοιδόρησεν; σὺ κλεῖσον τὸ στόμα· ἂν γὰρ ἀντίπνοια μὴ γένηται, οὐδὲν ἴσχυσεν ὁ ἄνεμος· μὴ τοίνυν αὐτὸ σβέσωμεν. καὶ ὅταν ἐλεημοσύνην μὴ ποιῶμεν, σβέννυται τὸ Πνεῦμα. οὐ γὰρ μένει παρὰ ψυχῇ ἀνελεήμονι τοῦ Πνεύματος ἡ χάρις.

Ἔστι δὲ καὶ ἄλλη ἐξήγησις. πολλοὶ παρ' αὐτοῖς οἱ μὲν προεφήτευον ἀληθῶς, οἱ δὲ ἐψεύδοντο· τοῦτο καὶ ἐν τῇ πρὸς Κορινθίους φησὶ, διακρίσεις πνευμάτων διὰ τοῦτο δεδωκέναι· μιαρὸς γὰρ ὢν ὁ διάβολος ἠθέλησε διὰ τοῦτο πᾶν ἀνατρέψαι τῆς Ἐκκλησίας. ἐπειδὴ γὰρ ἀμφότεροι περὶ μελλόντων προὔλεγον καὶ ὁ δαίμων καὶ τὸ Πνεῦμα, ἀλλ' ὁ μὲν ψευδόμενος, τὸ δὲ ἀληθεῦον, καὶ οὐδαμόθεν ἦν ἑκατέρου τεκμήριον λαβεῖν, ἀλλ' ἀνευθύνως ἑκάτεροι ἔλεγον, ἔδωκε διακρίσεις πνευμάτων. ἐπεὶ οὖν καὶ τότε παρὰ Θεσσαλονικεῦσι πολλοὶ προεφήτευον, οὓς καὶ αἰνίττεται λέγων, "μήτε διὰ λόγου μήτε δι' ἐπιστολῆς, ὡς δι' ἡμῶν," ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου· τοῦτο λέγει ἐνταῦθα· μὴ ἐπειδὴ τινὲς ψευδοπροφῆται παρ' ὑμῖν εἰσίν· μὴ δι' ἐκείνους καὶ τούτους κωλύσητε, μὴ ἀποστραφῆτε αὐτοὺς, τοῦτό ἐστι "προφητείας μὴ "ἐξουθενῆτε." ὁρᾷς ὅτι τοῦτό ἐστι; "πάντα δοκιμάζετε," ἐπειδὴ εἶπε "προφητείας μὴ ἐξουθενῆτε," ἵνα μὴ νομίσωσιν ὅτι πᾶσιν ἀνέῳξε τὸ βῆμα· "πάντα," φησὶ, "δοκιμάζετε," τουτέστι, τὰς

ὄντως προφητείας· τὸ δὲ "καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους "πονηροῦ ἀπέχεσθε," καὶ τὰ ψευδῆ καὶ τὰ ἀληθῆ, ἵνα πάντα μετὰ δοκιμασίας διακρίνητε, καὶ ἐκείνων ἀπέχεσθε καὶ τούτων ἔχεσθε· οὕτω γὰρ κἀκείνων σφοδρὸν τὸ μῖσος ἔσται, καὶ τούτων ἡ ἀγάπη γίνεται, ὅταν μὴ ἁπλῶς μηδὲ ἀνεξετάστως ἅπαντα πράττωσιν.

ΚΕΦ. Ζ.

Εὐχὴ περὶ ἁγιασμοῦ πνεύματος καὶ ψυχῆς καὶ σώματος.

23 Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς· καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα, καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τηρηθείη.

Μετὰ τὴν παραίνεσιν, καὶ εὐχὴν ἐπάγει· δεῖ γὰρ καὶ συμβουλῆς καὶ εὐχῆς· τὸ πνεῦμα τί φησιν ἐνταῦθα; τὸ χάρισμα· ἂν μὲν γὰρ ἔχοντες λαμπρὰς τὰς λαμπάδας ἀπέλθωμεν, εἰσελευσόμεθα εἰς τὸν νυμφῶνα, ἂν δὲ ἐσβεσμένας, οὐκέτι. διὰ τοῦτό φησιν, "ὁλό-"κληρον ὑμῶν τὸ πνεῦμα·" ἐκείνου γὰρ μένοντος ἀκεραίου, καὶ τοῦτο μενεῖ, καὶ ἡ ψυχὴ, φησὶ, καὶ τὸ σῶμα· οὔτε γὰρ αὐτή τι πονηρὸν δέχεται, οὔτε ἐκεῖνο.

Ἄλλος φησὶν, οὐδέποτε ἐπὶ ἀπίστου τὰ τρία τέθεικε, πνεῦμα, ψυχὴν καὶ σῶμα, ἀλλ' ἐπὶ μόνων τῶν πιστευόντων, ὧν ψυχὴ μὲν καὶ σῶμα τῆς φύσεως, τὸ δὲ πνεῦμα τῆς εὐεργεσίας, τουτέστι τὸ χάρισμα τῶν πιστευόντων. καὶ οὐκ εἶπεν ἄμεμπτα τηρηθείη, ἵνα μὴ νομίσῃς ὅτι καὶ ὑπὲρ τοῦ χαρίσματος εὔχεται, ἀλλ' "ἀμέμπτως τηρηθείη," δηλαδὴ ἡμῶν ἀμέμπτως διαγόντων καὶ διατηρούντων, καὶ πνεῦμα καὶ ψυχὴν καὶ σῶμα ἐν τῇ τῆς εὐσεβείας διαγωγῇ.

Ἀδελφοὶ, προσεύχεσθε καὶ περὶ ἡμῶν.

Βαβαὶ, πόση ταπεινοφροσύνη;

26 Ἀσπάσασθε τοὺς ἀδελφοὺς πάντας ἐν ἁγίῳ φιλήματι.

Ἅγιον λέγει, τὸ μετὰ γνησίας τῆς ἀγάπης γινόμενον· ἐπειδὴ

αὐτὸς φιλήματι τούτου ἀσπάσασθαι ἀπὼν οὐκ ἠδύνατο, δι' ἑτέρων αὐτοὺς ἀσπάζεται, ὡς ὅταν λέγωμεν φίλησον αὐτὸν ἀντ' ἐμοῦ· οὕτως καὶ αὐτός· κατέχετε τὸ πῦρ τῆς ἀγάπης, οὐδὲ γὰρ ἀνέχεται τῶν διαστημάτων, ἀλλὰ καὶ διὰ μέσων τῶν ὁδῶν ἑαυτὴν ἐκτείνει, καὶ πανταχοῦ πάρεστιν.

26 Ὁρκίζω ὑμᾶς τὸν Κύριον, ἀναγνῶσθηναι τὴν ἐπιστολὴν, πᾶσι τοῖς ἁγίοις ἀδελφοῖς.

Καὶ τοῦτο πόθου μάλιστα, οὐ διδασκαλίας τοσοῦτον, ἵνα κἀκείνοις ὦ διαλεγόμενος. ὁρκίζει δὲ ἀπὸ θερμῆς διανοίας, ἵνα κἂν αὐτοῦ καταφρονήσωσι, διὰ τὸν ὁρκισμὸν πράξωσι τὸ ἐπιταχθέν· μέγαν γὰρ εἶχον φόβον τοῦ πράγματος.

Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' ὑμῶν. Ἀμήν.

Τριὰς * μονὰς * ἐλέησον *

ΤΩΝ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑΝ ΕΠΙΣΤΟΛΗΝ ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΩΝ ΤΟΜΟΣ Α.

ΕΙΠΩΝ ἐν τῇ προτέρᾳ Ἐπιστολῇ ὅτι εὐχόμεθα νύκτα καὶ ἡμέραν ἰδεῖν ὑμᾶς, καὶ ὅτι οὐ στέγομεν, ἀλλ' ἐν Ἀθήναις κατελείφθημεν μόνοι, καὶ ὅτι ἔπεμψα Τιμόθεον, διὰ πάντων τούτων τὸν πόθον αὐτοῦ δηλοῖ ὃν εἶχεν, ὥστε παραγενέσθαι πρὸς αὐτούς. ἐπεὶ οὖν οὐκ ἔφθασεν ἴσως ἀπελθεῖν καὶ καταρτίσαι τὰ ὑστερήματα τῆς πίστεως αὐτῶν, τούτου χάριν τὴν δευτέραν προστίθησιν Ἐπιστολήν· τὸ ἐλλειφθὲν ἀπὸ τῆς παρουσίας διὰ τῶν πραγμάτων ἀναπληρῶν· ὅτι γὰρ οὐκ ἀπῆλθεν, ἐκεῖθέν ἐστι στοχάσασθαι· γράφων γάρ φησιν, "ἐρωτῶμεν δὲ ὑμᾶς ὑπὲρ τῆς παρουσίας τοῦ "Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ·" καὶ γὰρ ἐν τῇ προτέρᾳ Ἐπιστολῇ ἔλεγεν, "ὅτι περὶ δὲ τῶν χρόνων καὶ καιρῶν οὐ χρείαν "ἔχετε γράφεσθαι ὑμῖν," ὥστε εἰ παρεγένετο, οὐδὲν ἂν ἐδεήθη γράψαι· ἐπειδὴ δὲ τὸ ζήτημα ὑπερετέθη, τούτου χάριν ταύτην προστίθησι τὴν Ἐπιστολὴν, καθάπερ ἐν τῇ πρὸς Τιμόθεον φησὶν, "ὅτι ἀνατρέπουσι τὴν τίνων πίστιν, λέγοντες ἀνάστασιν "ἤδη γεγονέναι," ἵνα μηδὲν μέγα λοιπὸν, μηδὲ λαμπρὸν ἐλπίσαντες οἱ πιστοὶ ἀπαγορεύωσι πρὸς τοὺς πόνους· ἐπειδὴ γὰρ ἡ ἐλπὶς αὐτοὺς διεβάσταζε, καὶ οὐκ ἠφίει πρὸς τὰ παρόντα ἐνδοῦναι, καὶ καθάπερ τινὰ ἄγκυραν ἀποκόψαι βουλόμενος ὁ διάβολος, ἐπειδὴ οὐκ ἴσχυσε πεῖσαι, ὅτι ψευδῆ τὰ μέλλοντα, ἑτέραν ἦλθεν ὁδὸν, καὶ καθεὶς ἀνθρώπους τινὰς λυμεῶνας, ἐπεχείρει τοὺς πειθομένους ἀπατᾶν, ὅτι τὰ μεγάλα ἐκεῖνα τὰ λαμπρὰ πέρας εἴληφε. τότε μὲν οὖν ἔλεγον ἐκεῖνοι τὴν ἀνάστασιν ἤδη γεγονέναι· νῦν δὲ ἔλεγον ὅτι ἐνέστηκεν ἡ κρίσις καὶ ἡ παρουσία τοῦ Χριστοῦ, ἵνα καὶ τὸν Χριστὸν αὐτὸν ψεύδει ὑποβάλωσι, καὶ δείξαντες ὡς οὐκέτι λοιπὸν ἀντίδοσις οὔτε δικαστήριον καὶ κόλασις καὶ τιμωρία τοῖς κακῶς αὐτοῖς πεποιηκόσιν, ἐκείνους τε θρασυτέρους ἐργά-

σωνται καὶ τούτους ταπεινοτέρους· καὶ τὸ δὴ πάντων χαλεπώτερον ἐπεχείρουν οἱ μὲν ἁπλῶς ῥήματα ἀπαγγέλλειν ὡς παρὰ τοῦ Παύλου τὰ λεγόμενα, οἱ δὲ καὶ ἐπιστολὰς πράττειν, ὡς παρ' ἐκείνου γραφείσας.

Διὰ τοῦτο πᾶσαν αὐτοῖς ἀποτειχίζων ἔφοδον, φησὶ, "μὴ "θορυβεῖσθε, μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' "ἐπιστολῆς ὡς δι' ἡμῶν·" "διὰ πνεύματος," φησὶ, τοὺς ψευδοπροφήτας αἰνιττόμενος· πόθεν οὖν εἰσόμεθα, φησί; διὰ τοῦτο προσέθηκεν "ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου," ὅ ἐστι σημεῖον ἐν πάσῃ Ἐπιστολῇ, οὕτως γράφων· "ἡ χάρις τοῦ Κυρίου ἡμῶν "Ἰησοῦ Χριστοῦ μετὰ πάντων ὑμῶν," οὐ τοῦτό φησιν, ὅτι τοῦτο σημεῖον, τοῦτο γὰρ εἰκὸς καὶ ἄλλους μιμήσασθαι, ἀλλ' ὅτι τὸν ἀσπασμὸν τῇ ἐμῇ χειρὶ γράφω, καθάπερ καὶ νῦν ἐφ' ἡμῶν ἐστιν· ἀπὸ γὰρ τῆς ὑπογραφῆς δῆλα γίνεται τὰ γράμματα τῶν πεμπόντων. παρακαλεῖ δὲ αὐτοὺς σφόδρα τεταριχευμένους ὑπὸ τῶν κακῶν, ἀπό τε τῶν παρόντων ἐγκωμιάζων, ἀπό τε τῶν μελλόντων, καὶ τῆς κολάσεως καὶ τῆς ἀνταποδόσεως τῶν κακῶν τῶν ἡτοιμασμένων αὐτοὺς προτρέπων· καὶ σαφέστερον ἐπεξέρχεται τῷ τόπῳ, τὸν μὲν καιρὸν οὐκ ἀποκάμπτων, τὸ δὲ τοῦ καιροῦ σημεῖον, τὸν Ἀντίχριστον δηλῶν, μάλιστα γὰρ τότε πληροφορεῖται ψυχὴ ἀσθενὴς, οὐκ ἂν ἁπλῶς, ἀλλ' ἐὰν μάθῃ τι πλέον.

Καὶ ὁ Χριστὸς δὲ πολλὴν ὑπὲρ τούτου ποιεῖ φροντίδα, καὶ καθισθεὶς ἐν τῷ ὄρει πάντα μετὰ ἀκριβείας διαλέγεται τοῖς μαθηταῖς τὰ περὶ τῆς συντελείας. διὰ τί; ἵνα μὴ ἔχωσι χώραν οἱ τοὺς ἀντιχρίστους εἰσάγοντες καὶ ψευδοχρίστους, καὶ πολλὰ τίθησι καὶ αὐτὸς σημεῖα, ἓν μὲν καὶ μέγιστον λέγων, "ὅταν "κηρυχθῇ εἰς πάντα τὰ ἔθνη τὸ Εὐαγγέλιον" καὶ ἕτερον δὲ, ὥστε μὴ πλανᾶσθαι περὶ τῆς παρουσίας αὐτοῦ, "ὡς ἀστραπὴ," φησὶν, "ἥξει," οὐκ ἐν γωνίᾳ τινὶ κρυπτομένη, ἀλλὰ πανταχοῦ λάμπουσα οὐ δεῖται τοῦ μηνύοντος, οὕτως ἔσται φαιδρὰ, ὥσπερ οὐδὲ ἡ ἀστραπὴ δεῖται τοῦ μηνύοντος. εἶπε δέ που καὶ περὶ τοῦ Ἀντιχρίστου, ἡνίκα ἔλεγεν, "ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός "μου, καὶ οὐκ ἐδέξασθέ με, ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ "ἰδίῳ, ἐκεῖνον λήψεσθε," καὶ τὰς ἐπαλλήλους δὲ καὶ ἀφάτους συμφορὰς τεκμήρια εἶναι ἔλεγε, καὶ "ὅτι Ἡλίαν δεῖ ἐλθεῖν."

Ἠπόρουν μὲν οὖν τότε οἱ Θεσσαλονικεῖς· ἡμῖν δὲ χρησίμη γέγονεν ἡ ἐκείνων ἀπορία· οὐ γὰρ πρὸς ἐκείνους μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς ταῦτα χρήσιμα, ἵνα τῶν παιδικῶν καὶ τῶν ληρημάτων καὶ τῶν γραωδίων ἀπαλλαγῶμεν· ἢ οὐκ ἠκούσατε πολλάκις ἐν παισὶν ὄντες, καὶ περὶ τοῦ ὀνόματος τοῦ Ἀντιχρίστου πολλὰ λεγόντων τινῶν, καὶ περὶ τοῦ κάμπτειν τὰ γόνατα; ἔτι γὰρ ἁπαλαῖς οὔσαις ταῖς διανοίαις ταῖς ἡμετέραις, ταῦτα ἐγκατασπείρει ὁ διάβολος, ἵνα ἡμῖν τὸ δόγμα συναυξηθῇ. οὐκ ἂν οὖν ταῦτα παρῆκεν ὁ Παῦλος περὶ τοῦ Ἀντιχρίστου διαλεγόμενος, εἴ γε χρήσιμα ἦν, μηδὲ ταῦτα ζητῶμεν· οὐ γὰρ οὕτως ἥξει κλίνων τὰ γόνατα, ἀλλ' ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν ὅτι ἔστι Θεός. καθάπερ γὰρ ὁ διάβολος ἐξ ἀπονοίας ἔπεσεν, οὕτω καὶ ὁ ἐνεργούμενος εἰς αὐτὸν εἰς ἀπόνοιαν ἀλειφόμενος.

ΚΕΦΑΛΑΙΑ

ΤΗΣ ΠΡΟΣ

ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑΣ ΕΠΙΣΤΟΛΗΣ.

α'. Εὐχαριστία ὑπὲρ τῆς τῶν Θεσσαλονικέων πίστεως καὶ ἀγάπης καὶ ὑπομονῆς ἐπὶ τιμῇ αὐτῶν, καὶ κολάσει τῶν θλιβόντων· καὶ εὐχὴ ὑπὲρ τελειώσεως αὐτῶν ἐνδόξου ἐπὶ δόξῃ Χριστοῦ.

β'. Περὶ τέλους, ὅτι μετὰ Ἀντίχριστον τὸν πεμπόμενον ἐπὶ ἐλέγχῳ Ἰουδαίων ἀπιστησάντων Χριστῷ.

γ'. Εὐχαριστία περὶ τῆς κλήσεως.

δ'. Παράκλησις εὐχῆς ὑπὲρ αὐτοῦ καὶ τοῦ ἔργου.

ε'. Προτροπὴ ἐργασίας καὶ παραιτήσεως τῶν ἀργῶν καὶ περιέργων.

ς'. Εὐχὴ περὶ εἰρήνης τῆς παρὰ Θεοῦ.

ΕΞΗΓΗΣΙΣ

ΕΙΣ ΤΗΝ

ΠΡΟΣ ΤΟΥΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ ΔΕΥΤΕΡΑΝ ΕΠΙΣΤΟΛΗΝ.

---

1 ΠΑΥΛΟΣ καὶ Σιλουανὸς καὶ Τιμόθεος, τῇ ἐκκλησίᾳ Θεσσαλονικέων, ἐν Θεῷ πατρὶ ἡμῶν καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ, χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εἰ τὸ παρ' ἀνθρώποις χάριτος τυχεῖν μέγα, τὸ παρὰ Θεῷ χάριν εὑρεῖν πόσον ἂν γένοιτο; διὰ τοῦτο προτίθησιν αὐτοῦ τῆς ἐπιστολῆς, καὶ τοῦτο ἐπεύχεται, εἰδὼς ὅτι ἂν τοῦτο ᾖ, οὐδὲν ἔσται λοιπὸν τῶν ἀνιαρῶν, ἀλλ' ὅσα ἂν ᾖ δυσχερῆ, πάντα λυθήσεται. οἶδεν οὖν ὁ μακάριος οὗτος, ὅση τοῦ Θεοῦ ἡ χάρις, καὶ διὰ τοῦτο ταύτην αὐτοῖς ἐπεύχεται, καὶ ἕτερον δέ τι κατασκευάζει, βουλόμενος αὐτοὺς πρὸς τὰ μέλλοντα τῆς Ἐπιστολῆς εὐγνώμονας καταστῆσαι, ἵνα κἂν ἐπιτιμᾷ, κἂν ἐπιπλήττῃ, μὴ ἀποπηδῶσι· διὰ τοῦτο ὑπομιμνήσκει αὐτοὺς πρὸ πάντων τῆς χάριτος τοῦ Θεοῦ, λεαίνων αὐτῶν τὴν καρδίαν, ἵνα κἂν θλίψις ᾖ, ἀναμιμνησκόμενοι τῆς χάριτος ἀφ' ἧς ἐσώθησαν ἐκ τῶν μειζόνων ἐν τοῖς ἐλάττοσι, μὴ ἀπογιγνώσκωσι, ἀλλ' ἐκεῖθεν ἔχωσι τὴν παραμυθίαν, καθάπερ καὶ ἀλλαχοῦ γράφων ἔλεγεν· "εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν "τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλ-"λαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ."

ΚΕΦ. Α.

Εὐχαριστία ὑπὲρ τῆς τῶν Θεσσαλονικέων πίστεως καὶ ἀγάπης καὶ ὑπομονῆς ἐπὶ τιμῇ αὐτῶν καὶ κολάσει τῶν θλιβόντων, καὶ εὐχὴ ὑπὲρ τελειώσεως αὐτῶν ἐνδόξου ἐπὶ δόξῃ Χριστοῦ.

2 *Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ*
3 *Κυρίου Ἰησοῦ Χριστοῦ. εὐχαριστεῖν ὀφείλομεν τῷ Θεῷ*
πάντοτε περὶ ὑμῶν, ἀδελφοί, καθὼς ἄξιόν ἐστιν.

Πάλιν ταπεινοφροσύνης σημεῖον πολλῆς· ἐδίδου γὰρ αὐτοῖς λογίζεσθαι καὶ ἐννοεῖν, ὅτι εἰ οἱ ἄλλοι ὑπὲρ τῶν ἡμετέρων κατορθωμάτων οὐχ ἡμᾶς πρῶτον θαυμάζουσιν, ἀλλὰ τὸν Θεόν, πολλῷ μᾶλλον καὶ ἡμεῖς· ἄλλως δὲ καὶ ἐπαίρει αὐτῶν τὰ φρονήματα, ὅτι τοιαῦτα πάσχουσιν, οὐ θρήνων ἄξια, ἀλλ' εὐχαριστίας τῆς εἰς τὸν Θεόν.

Ὅτι ὑπεραυξάνει ἡ πίστις ὑμῶν, καὶ πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου πάντων ὑμῶν εἰς ἀλλήλους.

Καὶ πῶς ἔνι πίστιν αὐξῆσαι, φησί; τουτέστιν, ὅταν ὑπὲρ αὐτῆς πάσχωμέν τι δεινόν· μέγα μὲν οὖν καὶ τὸ ἐστηρίχθαι, καὶ ὑπὸ τῶν λογισμῶν μὴ παραφέρεσθαι· ὅταν δὲ ἄνεμοι προσαράσσουσιν, ὅταν ὑετοὶ καταρρήγνυνται, ὅταν αἴρηται πανταχόθεν χαλεπὸς ὁ χειμών, ὅταν ἐπάλληλα τὰ κύματα ᾖ, εἶτα μὴ παρασαλευώμεθα, οὐδενὸς ἑτέρου τεκμήριόν ἐστιν, ἀλλ' ἢ τοῦ ὑπεραυξηθῆναι καὶ ὑψηλοτέραν γενέσθαι. συμβάλλεται δὲ πρὸς τὰς θλίψεις καὶ τὸ συμπεφράχθαι, καὶ τὸ ἀλλήλων ἔχεσθαι· διὰ τοῦτό φησι, "καὶ "πλεονάζει ἡ ἀγάπη ἑνὸς ἑκάστου ὑμῶν εἰς ἀλλήλους," τουτέστιν, ὅτι ἰσόρροπός τίς ἐστι καὶ μετὰ δικαιοσύνης ἡ ἀγάπη, τῷ μὴ μόνον ἀγαπᾶν, ἀλλὰ καὶ ἀγαπᾶσθαι.

4 *Καὶ εἰς πάντας ἐκτεταμένη, ὥστε ἡμᾶς αὐτοὺς ἐν ὑμῖν*
καυχᾶσθαι ἐν ταῖς ἐκκλησίαις τοῦ Θεοῦ.

Εἰ τοίνυν ἡμεῖς ἐφ' ὑμῖν εὐχαριστῶμεν Θεῷ, καὶ καυχώμεθα παρὰ ἀνθρώποις, πολλῷ μᾶλλον ὑμᾶς ἐπὶ τοῖς ὑμετέροις χρὴ καλοῖς τοῦτο ποιεῖν.

Ὑπὲρ τῆς ὑπομονῆς ὑμῶν καὶ πίστεως.

Ἡ ὑπομονὴ ἀπὸ χρόνου φαίνεται πολλοῦ· οὐχ ἁπλῶς δέ φησιν,

ὑπομονὴν, ἀλλὰ τὴν μείζονα· ποίαν δὴ ταύτην; τὴν διὰ τῶν διωγμῶν· διὸ ἐπιφέρει, "ἐν πᾶσι τοῖς διωγμοῖς καὶ ταῖς θλίψεσι ἃς "ἀνέχεσθε·" πολεμίοις γὰρ συνέζων διηνεκῶς, πάντοθεν βλάπτειν ἐπιχειροῦσι, καὶ στερρὰν καὶ ἀκίνητον τὴν ὑπομονὴν ἐπεδείκνυν, "τὸ ἔνδειγμα," φησὶ, "τῆς δικαίας κρίσεως τοῦ Θεοῦ." Ἤδη τὴν ἀνταπόδοσιν ἠνίξατο ἑκατέραν, καὶ τὴν τῶν ποιούντων κακῶς, καὶ τὴν τῶν πασχόντων· ὡσανεὶ ἔλεγεν, ἵν' ὅταν ὑμᾶς μὲν στεφανοῖ, ἐκείνους δὲ κολάζῃ, δείκνυται τὸ δίκαιον τοῦ Θεοῦ.

5 Εἰς τὸ καταξιωθῆναι ὑμᾶς τῆς βασιλείας τοῦ Θεοῦ, ὑπὲρ ἧς καὶ πάσχετε.

Οὐκ ἄρα οὖν ἀπὸ τοῦ δυνατωτέρους εἶναι τοὺς ἀδικοῦντας τοῦτο γίνεται, ἀλλ' ἀπὸ τοῦ δεῖν οὕτως εἰς τὴν βασιλείαν εἰσιέναι· "διὰ πολλῶν γὰρ θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν "τοῦ Θεοῦ."

6 Εἴπερ δίκαιον παρὰ Θεῷ, ἀνταποδοῦναι τοῖς θλίβου-
7 σιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν μεθ'
ἡμῶν, ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ, μετ' ἀγγέλων δυνάμεως αὐτοῦ.

Τὸ "εἴπερ" ἐνταῦθα ἀντὶ τοῦ ἐπείπερ κεῖται, ὅπερ ἐπὶ τῶν σφόδρα ὡμολογημένων καὶ ἡμεῖς τίθεμεν, καὶ ἀναντιρρήτων, ἀντὶ τοῦ ὅτι σφόδρα δίκαιον· ὡσανεὶ ἔλεγεν, εἰ μέλει τῷ Θεῷ τῶν πραγμάτων, φροντίζει ὁ Θεός· καὶ οὐ τίθησιν ἀπὸ οἰκείας γνώμης ἐπὶ τῶν ὡμολογημένων, ἵνα ἐκείνους ἀναγκάσῃ εἰπεῖν· μάλιστα γὰρ αἱ τοιαῦται ψῆφοι ἀναμφίλεκτοί εἰσιν, ὡς καὶ αὐτῶν ἐκείνων εἰδότων ὅτι δικαιόν ἐστιν. εἰ γὰρ παρὰ ἀνθρώποις τοῦτο δίκαιον, πολλῷ μᾶλλον παρὰ Θεῷ· "ἀνταποδοῦναι," φησὶ, "τοῖς θλί-"βουσιν ὑμᾶς θλίψιν, καὶ ὑμῖν τοῖς θλιβομένοις ἄνεσιν." Τί οὖν; ἴση ἡ ἀνταπόδοσις; οὐδαμῶς· ἀλλ' ὅρα διὰ τῶν ἑξῆς, πῶς δείκνυσι σφοδροτέραν οὖσαν καὶ τὴν ἄνεσιν πολλῷ μείζονα.

Μεθ' ἡμῶν ἐν τῇ ἀποκαλύψει τοῦ Κυρίου Ἰησοῦ ἀπ' οὐρανοῦ.

Ἰδοὺ καὶ ἑτέρα παράκλησις, τὸ καὶ αὐτοὺς κοινωνοὺς ἔχειν τῶν θλίψεων, καὶ ἐν τῇ ἀποδόσει κοινωνούς· τοῖς μυρία κατορθωκόσι μείζονα, συνάπτει αὐτοὺς ἐν τοῖς στεφάνοις· εἶτα καὶ τὸν καιρὸν

προστίθησι, καὶ διὰ τῆς ὑπογραφῆς ἐπανάγει τὰς διανοίας αὐτῶν, μόνον οὐκ ἀνοίγων τῷ ῥήματι τοὺς οὐρανοὺς ἤδη, καὶ τοῖς ὀφθαλμοῖς αὐτῶν παριστὰς, καὶ περιτίθησιν αὐτῷ τὴν στρατιὰν τὴν ἀγγελικὴν, καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τῶν μετ᾽ αὐτοῦ, πλατυτέραν τὴν εἰκόνα ποιῶν, ὥστε αὐτοὺς ἀναπνεῦσαι μικρόν.

8 Ἐν πυρὶ φλογὸς, διδόντος ἐκδίκησιν τοῖς μὴ εἰδόσι
Θεὸν, καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ Κυρίου
Ἰησοῦ.

Εἰ οἱ τῷ Εὐαγγελίῳ μὴ ὑπακούσαντες διδόασι τιμωρίαν, οἱ μετὰ τοῦ μὴ ὑπακοῦσαι καὶ θλίβοντες ὑμᾶς τί πείσονται; ὥστε εἰ καὶ μὴ δι᾽ ὑμᾶς, δι᾽ ἑαυτὸν γοῦν ἀνάγκη τιμωρήσασθαι αὐτούς. τοῦτο μὲν οὖν ὑπὲρ πληροφορίας εἴρηται, ὅτι πάντως αὐτοὺς κολασθῆναι δεῖ· τὸ δὲ πρότερον πάλιν, ὑπὲρ τοῦ καὶ αὐτοὺς τετιμῆσθαι, ὅτι δι᾽ ὑμᾶς ταῦτα πάσχουσι. τὸ μὲν γὰρ πιστεῦσαι ὑπὲρ τῆς τιμωρίας αὐτοὺς ποιεῖ· τὸ δὲ ἡσθῆναι ὅτι ὑπὲρ τῶν εἰς αὐτοὺς γεγενημένων ταῦτα πάσχουσι· ταῦτα εἴρηται μὲν πρὸς ἐκείνους, ἁρμόζει δὲ καὶ ἡμῖν. ὅταν οὖν ἐν θλίψεσιν ὦμεν, ταῦτα λογιζώμεθα, μὴ τῇ ἑτέρων τιμωρίᾳ χαίρωμεν ὡς ἐκδικούμενοι, ἀλλ᾽ ὡς αὐτοὶ τοιαύτης ἀπηλλαγμένοι κολάσεως καὶ τιμωρίας.

9 Οἵτινες δίκην τίσουσιν, ὄλεθρον αἰώνιον, ἀπὸ προσώ-
10 που τοῦ Κυρίου καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ,
ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θαυ-
μασθῆναι ἐν τοῖς πιστεύσασιν.

Ὅτι οὐκέτι πρόσκαιρος ἡ γέεννα, ἄκουσον τοῦ Παύλου λέγοντος νῦν περὶ τῶν μὴ εἰδότων τὸν Θεὸν, μηδὲ πιστευόντων τῷ εὐαγγελίῳ, ὅτι "δίκην τίσουσιν, ὄλεθρον αἰώνιον·" τὸ αἰώνιον τοίνυν πῶς πρόσκαιρον; "ἀπὸ προσώπου," φησὶ, "τοῦ Κυρίου·" τὸ εὔκολον ἐνταῦθα βούλεται εἰπεῖν· ἐπειδὴ γὰρ μέγα ἐφύσων τότε, οὐ δεῖ, φησὶ, πολλῆς ἐργωδίας, ἀλλ᾽ ἀρκεῖ παραγενέσθαι καὶ ὀφθῆναι τὸν Θεὸν, καὶ πάντες ἐν κολάσει καὶ τιμωρίᾳ γίνονται· ἡ παρουσία οὖν αὐτοῦ τοῖς μὲν φῶς, τοῖς δὲ τιμωρία.

Καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ.

Θεὸς ἐνδοξάζεται; ναί· ἐν πᾶσι, φησὶ, τοῖς ἁγίοις. ὅταν γὰρ

ἴσωσι οἱ μεγάλα φυσῶντες, τοὺς μαστιζομένους ὑπ' αὐτῶν, τοὺς καταφρονουμένους, ἐγγὺς ὄντας αὐτοῦ, δόξα γίνεται, μᾶλλον δὲ αὐτῶν δόξα ἐστίν· αὐτοῦ μὲν, ὅτι αὐτοὺς οὐκ ἐγκατέλιπεν, ἀλλὰ λαμπροὺς ἀνέδειξεν· αὐτῶν δὲ, ὅτι τοσαύτης κατηξιώθησαν τιμῆς. δόξα ἐστὶ τοῦ ἀγαθοῦ τὸ ἔχειν οἷς τὰς εὐεργεσίας μεταδῷ.

Καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασι.

Τουτέστι διὰ τῶν πιστευόντων. ἰδοὺ πάλιν τὸ "ἐν" διά ἐστί· δι' ἐκείνων γὰρ θαυμαστὸς ἐπιδείκνυται, ὅταν τοὺς οἰκτροὺς τοὺς ταλαιπώρους καὶ μυρία παθόντας δεινὰ καὶ πιστεύσαντας, εἰς τοσαύτην ἄγει λαμπρότητα. δείκνυται αὐτοῦ ἡ ἰσχὺς τότε, ὅτι εἰ καὶ ἐνταῦθα δοκοῦσιν ἐγκαταλελεῖφθαι, ἀλλ' ὅμως ἐκεῖ πολλῆς ἀπολαύσουσι τῆς δόξης· τότε μάλιστα πᾶσα ἡ δόξα τοῦ Θεοῦ δείκνυται καὶ ἰσχύς· πῶς; "ὅτι ἐπιστεύθη, φησὶ, τὸ μαρτύριον "ἡμῶν ἐφ' ὑμᾶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἰς ὃ καὶ προσευχόμεθα "πάντοτε περὶ ὑμῶν·" τουτέστιν, ὅταν παράγωνται εἰς μέσον οἱ μυρία παθόντες δεινὰ, ὥστε ἐκστῆναι τῆς πίστεως, καὶ μὴ ἐνδόντες, ἀλλὰ πιστεύσαντες, δοξάζεται ὁ Θεός. τότε δείκνυται καὶ τούτων ἡ δόξα. διὰ τοῦτό φησι, τῇ ἡμέρᾳ ἐκείνῃ δείκνυνται οἱ πιστεύσαντες.

Ἄλλος φησί· τὸ "ἐν τῇ ἡμέρᾳ ἐκείνῃ" πρὸς τὸ "καὶ θαυμασθῆναι ἐν πᾶσι τοῖς πιστεύσασιν" ἀποδοτέον, ἵνα ᾖ διὰ μέσου κείμενον τὸ "ὅτι ἐπιστεύθη τὸ μαρτύριον ἡμῶν ἐφ' ὑμᾶς," τελευταῖον ὃν τῇ τῆς ἐννοίας ἀκολουθίᾳ. βούλεται γὰρ εἰπεῖν, ὅτι κατ' ἐκείνην τὴν ἡμέραν ἐπίδοξος καὶ θαυμαστὸς ἐν τοῖς πεπιστευκόσι φανήσεται διὰ τῶν περὶ αὐτῶν ἀγαθῶν, ὧν δὴ καὶ ὑμεῖς ἀπελαύσατε, ἅτε δὴ τὴν διδασκαλίαν ἡμῶν παραδεξάμενοι [a].

11 Εἰς ὃ καὶ προσευχόμεθα πάντοτε περὶ ὑμῶν, ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως ὁ Θεὸς ἡμῶν, καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης, καὶ ἔργον πίστεως ἐν δυνάμει.

"Ἵνα ὑμᾶς ἀξιώσῃ τῆς κλήσεως·" οὐ γὰρ ἐκλήθησαν· διὰ τοῦτο ἐπήγαγε, "καὶ πληρώσῃ πᾶσαν εὐδοκίαν ἀγαθωσύνης," τουτέστιν ἀρέσκειαν, πληροφορίαν· ἵνα τὸ πίσμα τοῦ Θεοῦ γένηται, "καὶ

[a] Hoc Schol. videtur esse Origenis.

" ἔργον πίστεως ἐν δυνάμει," τουτέστιν, ἡ ὑπομονὴ τῶν διωγμῶν, ἵνα μὴ ἐκλυώμεθα.

12 Ὅπως ἐνδοξασθῇ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
ἐν ὑμῖν, καὶ ὑμεῖς ἐν αὐτῷ, κατὰ τὴν χάριν τοῦ Θεοῦ
ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ.

Εἶπεν ἐκεῖ δόξαν, εἶπε καὶ ἐνταῦθα· εἶπεν ὅτι αὐτοὶ δοξάζονται ὥστε καυχᾶσθαι· εἶπεν ὃ πολλῷ πλέον ἦν, ὅτι καὶ τὸν Θεὸν δοξάζουσιν· εἶπεν ὅτι ἀπολήψονται τὴν δόξαν ἐκείνην, ἀλλὰ καὶ ἐνταῦθά φησι· τοῦ γὰρ δεσπότου δοξαζομένου, καὶ οἱ δοῦλοι δοξάζονται· οἱ γὰρ τὸν δεσπότην δοξάζοντες πολλῷ μᾶλλον αὐτοὶ δοξάζονται, καὶ τούτῳ αὐτῷ, καὶ χωρὶς τούτου. δόξα γὰρ ὄντως ἡ θλίψις ἡ διὰ Χριστὸν, καὶ πανταχοῦ δόξαν τὸ πρᾶγμα καλεῖ· εἶτα πάλιν δεικνὺς, ὅτι καὶ τοῦτο αὐτὸ τοῦ Θεοῦ ἐστι, φησὶ, " κατὰ τὴν χάριν τοῦ Θεοῦ " ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ," τουτέστι ταύτην τὴν χάριν αὐτὸς ἡμῖν ἔδωκεν, ἵνα δοξάζηται ἐν ἡμῖν καὶ δοξάζῃ ἡμᾶς ἐν αὐτῷ. πῶς δοξάζεται ἐν ἡμῖν; ὅτι οὐδὲν αὐτοῦ προτιμῶμεν. πῶς δοξαζόμεθα ἐν αὐτῷ; ὅτι δύναμιν εἰλήφαμεν παρ' αὐτοῦ, ὥστε μὴ ἐνδιδόναι τοῖς ἐπαγομένοις δεινοῖς.

ΚΕΦ. Β.

Περὶ τέλους, ὅτι μετὰ Ἀντίχριστον τὸν πεμπόμενον ἐπὶ ἐλέγχῳ Ἰουδαίων, ἀπιστησάντων Χριστῷ.

1 Ἐρωτῶμεν δὲ ὑμᾶς, ἀδελφοὶ, περὶ τῆς παρουσίας τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡμῶν ἐπισυναγωγῆς
2 ἐπ' αὐτὸν, εἰς τὸ μὴ ταχέως σαλευθῆναι ὑμᾶς ἀπὸ τῆς
νοός.

Πότε μὲν ἔσται ἀνάστασις, οὐκ εἴρηκεν, ὅτι δὲ νῦν οὐκ ἔσται, εἴρηκε, " καὶ ἡμῶν," φησὶν, " ἐπισυναγωγῆς ἐπ' αὐτόν." οὐ μικρὸν καὶ τοῦτο σημεῖον· ὅρα πῶς πάλιν ἡ παραίνεσις μετ' ἐγκωμίων καὶ προτροπῆς τῷ πάντως μεθ' ἡμῶν αὐτὸν φαίνεσθαι καὶ τοὺς ἁγίους πάντας· " περὶ τῆς ἀναστάσεως," φησὶ, " καὶ τῆς ἐπι- " συναγωγῆς φησὶ, τῆς ἡμῶν, ὁμοῦ γὰρ ταῦτα ἔσται, ἐπαίρει τὴν διάνοιαν αὐτῶν.

Εἰς τὸ μὴ σαλεύεσθαι ταχέως ὑμᾶς μήτε θροεῖσθαι,
μήτε διὰ πνεύματος, μήτε διὰ λόγου, μήτε δι' ἐπιστο-
λῆς, ὡς δι' ἡμῶν, ὡς ὅτι ἐνέστηκεν ἡ ἡμέρα τοῦ Κυρίου,
3 μή τις ὑμᾶς ἐξαπατήσῃ κατὰ μηδένα τρόπον.

Θεοδώρου. Ὅτι περὶ τῆς Χριστοῦ παρουσίας καὶ τῆς ἡμῶν ἐπ' αὐτὸν ἐκείνης ἐπισυναγωγῆς, μὴ πείθεσθε τοῖς βουλομένοις ἀπατᾷν ὑμᾶς, ὡς ἂν ἐγγύθεν παρόντος ἐκείνου τοῦ καιροῦ· ἀλλ' εἴτε ὡς ἀπὸ πνευματικῆς ἐνεργείας λέγειν τις ἐπαγγέλλεται, εἴτε ὡς ἀπὸ λόγου ἢ ἐπιστολῆς ἡμετέρας τοῦτο μαθὼν, μὴ πείσεσθε.

Ὅτι ἐὰν μὴ ἔλθῃ ἡ ἀποστασία πρῶτον καὶ ἀποκα-
λυφθῇ ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ υἱὸς τῆς ἀπωλείας,
4 ὁ ἀντικείμενος, καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον
Θεὸν ἢ σέβασμα, ὥστε αὐτὸν εἰς τὸν ναὸν τοῦ Θεοῦ
ὡς Θεὸν καθίσαι, ἀποδεικνύντα ἑαυτὸν, ὅτι ἔστι Θεός.

Ἰωάννου. Περὶ τοῦ Ἀντιχρίστου ἐνταῦθα διαλέγεται, καὶ μέγα ἀποκαλύπτει μυστήριον. αὐτὸν καλεῖ ἀποστασίαν, ὡς πολλοὺς μέλλοντα ἀπολλύναι καὶ ἀφιστᾷν, "ὥστε," φησὶ, "σκανδαλισθῆναι εἰ δυνατὸν καὶ τοὺς ἐκλεκτούς." καὶ ἄνθρωπον δὲ ἁμαρτίας αὐτὸν καλεῖ, μυρία γὰρ ἐργάσεται, καὶ παρασκευάσει ἑτέρους ἐργάσασθαι δεινά· καὶ υἱὸν δὲ τῆς ἀπωλείας φησὶν αὐτὸν, διὰ τὸ καὶ αὐτὸν ἀπόλλυσθαι. τίς δὲ οὗτός ἐστιν; ἄνθρωπός τις πᾶσαν τοῦ Σατανᾶ δεχόμενος τὴν ἐνέργειαν, καὶ ὑπεραιρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν ἢ σέβασμα. οὐ γὰρ εἰς εἰδωλολατρείαν ἄξει ἐκεῖνος, ἀλλ' ἀντίθεός τις ἔσται· πάντας καταλύσει τοὺς θεοὺς, καὶ κελεύσει προσκυνεῖν αὐτὸν ἀντὶ τοῦ Θεοῦ, καὶ καθευδήσεται εἰς τὸν ναὸν τοῦ Θεοῦ, οὐ τὸν ἐν Ἱεροσολύμοις, ἀλλὰ καθ' ἑκάστην ἐκκλησίαν, ἀποδεικνύντα, φησὶν, ἑαυτόν. οὐκ εἶπε λέγοντα, ἀλλὰ πειρώμενον ἀποδεικνύναι· καὶ γὰρ ἔργα μεγάλα ἐργάσεται, καὶ σημεῖα ἐπιδείξεται θαυμαστὰ τοῖς ἐξ αὐτῶν πλανωμένοις· "οὐ μνημονεύετε," φησὶν, "ὅτι ἔτι ὢν πρὸς ὑμᾶς ταῦτα ἔλεγον ὑμῖν;" ὁρᾷς ὅτι ἀναγκαῖον συνεχῶς ταῦτα λέγει καὶ ἐπαντλεῖ τοῖς αὐτοῖς ῥήμασιν; ἰδοὺ γὰρ καὶ πάροντος ἤκουσαν ταῦτα λέγοντος, καὶ πάλιν ἐδεήθησαν ὑπομνήσεως.

Θεοδώρου. Διὰ τούτου δείκνυσιν ὅτι τὴν εἰδωλολατρείαν, ἣν

ὁ διάβολος συνεστήσατο, αὐτὸς ἐλθὼν ἀνατρέπει, καὶ πᾶσαν αἵρεσιν ἣν ἀντέθηκε τῷ λόγῳ τῆς ἀληθείας, αὐτὸς ἐλθὼν παραλύει· ἵνα καὶ ἐν τούτῳ τὸ κρίμα ἔχωσιν οἱ ἄνθρωποι, ὅτι τὰ ἐφ' οἷς ἐπλανήθησαν, οὐκ αὐτοὶ καθεῖλον, ἀλλ' ὁ πλανῶν αὐτούς. ταύτας γὰρ τὰς πλάνας ἃ κατὰ μέρος συνεστήσατο ὁ διάβολος, ἀφιστῶν τοῦ Θεοῦ, καὶ ἠρέμα τὴν ἑαυτοῦ προσκύνησιν ἀντεισάγων, ἵν' ὅταν μετὰ ταῦτα ἔλθῃ, προητοιμασμένα εὑρηκὼς καὶ πεπλανημένους τοὺς ἀνθρώπους, καὶ ἐκτὸς ὄντας τοῦ Θεοῦ τῆς βοηθείας, εὐχερῶς ἑαυτῷ δόξῃ κατορθοῦν τὸ σπουδαζόμενον, τουτέστι τὸ προσκυνηθῆναι αὐτὸν παρὰ πάντων ἀνθρώπων. ὡς γὰρ ὑποσκευὴ ἀψῖδος, οὕτως αἱ αἱρέσεις, αἵ τε παρ' Ἕλλησι καὶ αἱ παρὰ τοῖς Χριστιανοῖς, τῷ διαβόλῳ· ὥσπερ δὲ ἀψῖδος σφιγγείσης καὶ λαβούσης τὴν οἰκείαν κατασκευὴν, ἡ ὑποσκευὴ αἴρεται, μένει δὲ μόνη ἡ ἀψὶς στερρά· οὕτως ὁ διάβολος τὰς αἱρέσεις τὰς πολλὰς καὶ τὰς τῆς πλάνης ὁδοὺς ἀντὶ ὑποσκευῆς ὑπέθηκεν, ὥσπερ ἀψῖδα, μεγίστην τὴν ἑαυτοῦ προσκύνησιν προκατασκευάζων, ἵν' ὅταν ἔλθῃ ἐκδικῶν πάσας τὰς αἱρέσεις, καὶ αὐτὸς καταργεῖ, γυμνὴν τὴν ἑαυτοῦ προσκύνησιν εἰσάγων ἀνθρώποις.

6 Καὶ νῦν τὸ κατέχον οἴδατε, εἰς τὸ ἀποκαλυφθῆναι
7 αὐτὸν ἐν τῷ ἑαυτοῦ καιρῷ. τὸ γὰρ μυστήριον ἤδη ἐνερ-
γεῖται τῆς ἀνομίας, μόνον ὁ κατέχων ἄρτι, ἕως ἐκ μέσου
8 γένηται, καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος, ὃν ὁ Κύ-
ριος Ἰησοῦς ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ,
9 καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ· οὗ
ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ.

Τί δήποτέ ἐστι τὸ κατέχον ἀποκαλυφθῆναι αὐτόν; τουτέστι τὸ κωλύον· οἱ μὲν τοῦ Πνεύματος τὴν χάριν φασὶν, οἱ δὲ τὴν Ῥωμαϊκὴν ἀρχὴν, οἷς ἐγὼ μάλιστα τίθεμαι· διὰ τί; ὅτι εἰ τὸ Πνεῦμα ἐβούλετο εἰπεῖν, οὐκ ἂν εἶπεν ἀσαφῶς, ἀλλὰ φανερῶς, ὅτι καὶ νῦν αὐτὸν κατέχει ἡ τοῦ Πνεύματος χάρις, τουτέστι, τὰ χαρίσματα· ἄλλως τε ἔδει ἤδη παραγενέσθαι, εἴγε ἔμελλε τῶν χαρισμάτων ἐκλειπόντων παραγίνεσθαι, καὶ γὰρ πάλαι ἐκλέλοιπεν· ἐπειδὴ δὲ περὶ τῆς Ῥωμαίων ἀρχῆς τοῦτό φησιν, εἰκότως ἠνίξατο καὶ συνεσκιασμένως· οὐδὲ γὰρ ἐβούλετο περιττὰς ἔχθρας

ἀναδέχεσθαι καὶ κινδύνους ἀνοήτους· "τὸ γὰρ μυστήριον," φησὶν, "ἤδη ἐνεργεῖται τῆς ἀνομίας·" Νέρωνα ἐνταῦθά, φησιν, ὡσανεὶ τύπον ὄντα τοῦ Ἀντιχρίστου· καὶ γὰρ καὶ ἐκεῖνος ἐβούλετο νομίζεσθαι Θεός· καὶ καλῶς εἶπε "τὸ μυστήριον," τουτέστιν, οὐ φανερῶς ὡς ἐκεῖνος, οὐδὲ ἀπηρυθριασμένως· εἰ γὰρ πρὸ τοῦ χρόνου ἐκείνου ἀνὴρ εὑρέθη, φησὶν, ὃς οὐ πολὺ τοῦ Ἀντιχρίστου ἐλείπετο κατὰ τὴν κακίαν, τί θαυμαστὸν, εἰ ἤδη ἔσται; καὶ φανερὸν δὲ αὐτὸν οὐκ ἠθέλησε ποιῆσαι· τοῦτο οὐ διὰ δειλίαν, ἀλλὰ παιδεύων ἡμᾶς μὴ περιττὰς ἔχθρας ἀναδέχεσθαι, ὅταν μηδὲν ᾖ τὸ κατεπεῖγον.

Ὅταν οὖν ἡ ἀρχὴ ἡ Ῥωμαϊκὴ ἐκ μέσου γένηται, τότε ἐκεῖνος ἥξει· καὶ εἰκότως· ἕως γὰρ ἂν ὁ ταύτης ᾖ τῆς ἀρχῆς φόβος, οὐδεὶς ταχέως ὑπεραρθήσεται· ὅταν δὲ αὕτη καταλυθῇ, ἐπιθήσεται τῇ ἀναρχίᾳ, καὶ τὴν τῶν ἀνθρώπων καὶ τὴν τοῦ Θεοῦ ἐπιχειρήσει ἁρπάσαι ἀρχήν. ὥσπερ γὰρ αἱ πρὸ τούτου κατελύθησαν βασιλεῖαι, οἷον ἡ Μήδων ὑπὸ Βαβυλωνίων, ἡ Βαβυλωνίων ὑπὸ Περσῶν, ἡ Περσῶν ὑπὸ Μακεδόνων, ἡ Μακεδόνων ὑπὸ Ῥωμαίων, οὕτω καὶ αὕτη ὑπὸ Ἀντιχρίστου, κἀκεῖνος ὑπὸ τοῦ Χριστοῦ, καὶ οὐκέτι καθέξει. καὶ ταῦτα μετὰ πολλῆς τῆς σαφηνείας ὁ Δανιὴλ ἡμῖν παρακατατίθεται. "καὶ τότε," φησὶν, "ἀποκαλυφθήσεται ὁ ἄνομος." καὶ τί μετὰ ταῦτα; ἐγγὺς ἡ παραμυθία, "ὃν ὁ Κύριος ἀνελεῖ τῷ πνεύματι "τοῦ στόματος αὐτοῦ, καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρου- "σίας αὐτοῦ, οὗ ἐστιν ἡ παρουσία, κατ' ἐνέργειαν τοῦ Σατανᾶ."

Καθάπερ γὰρ πῦρ ἐπελθὸν τὰ μικρὰ ζωΰφια καὶ πρὸ τῆς παρουσίας αὐτῆς πορρώθεν ὄντα ναρκᾷν ποιεῖ καὶ ἀναλίσκει, οὕτω καὶ ὁ Χριστὸς τοῦτον· τῷ ἐπιτάγματι μόνῳ καὶ τῇ παρουσίᾳ ἀρκεῖ παρεῖναι αὐτὸν, καὶ πάντα ταῦτα ἀπώλεσε· στήσει τὴν ἀπάτην καὶ φανεὶς μόνον. εἶτα τίς ἐστιν οὗτος, "οὗ ἐστι μὴ παρουσία κατ' "ἐνέργειαν τοῦ Σατανᾶ, ἐν πάσῃ δυνάμει," φησὶ, "καὶ σημείοις "καὶ τέρασι ψεύδους." ταῦτα προεῖπεν, ἵνα μὴ ἀπατηθῶσιν οἱ τότε, τουτέστιν, πᾶσαν ἐπιδείξεται δύναμιν, ἀλλ' οὐδὲν ἀληθὲς, ἀλλὰ πρὸς ἀπάτην· "καὶ τέρασι," φησὶ, "ψεύδους," ἤτοι διεψευσμένα, ἢ εἰς ψεῦδος ἄγουσιν.

Σετηριανὸς δὲ "τὸ κατέχον," φησὶ, τὴν τοῦ Ἁγίου Πνεύματος χάριν.

Θεόδωρος δὲ, ὁμοίως τῷ μακαρίῳ Ἰωάννῃ ταύτην οὐ

προσίεται τὴν ἐξήγησιν, φάσκων, οὐ πιθανὸν ἔμοιγε φαίνεται τοῦτο, ἐπεὶ καὶ ἐπαύσαντο ἐκ πλείονος ἤδη τοῦ χρόνου. εἰ γάρ τις μὴ πεπαῦσθαι βούλοιτο λέγειν διὰ τὸ παρά τινων προσευχὴν γίνεσθαι κατὰ τὸ σπάνιον· ἔνια οὐδὲ παυθήσεται κατά γε τοῦτον τὸν τρόπον, ἐπεὶ μηδὲ ἐπιλείπειν πάντη τοὺς ἁγίους, οἷόν τε ἐσομένων καὶ τότε τῶν οὐ προσιεμένων τὴν ἐκείνου διδασκαλίαν· οἳ καὶ διαλάμψουσιν ἐν τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσι. λέγει δὲ "τὸ κατέχον," ὡς ἂν τοῦ διαβόλου μὲν ἐθέλοντος καὶ ἤδη τοῦτο ποιῆσαι, τοῦ Θεοῦ δὲ κατέχοντος αὐτὸν τέως διὰ τὸ καιρὸν ὁρίσαι τῇ συντελείᾳ τοῦ αἰῶνος, καθ' ὃν ὀφθῆναι συγχωρεῖ κἀκεῖνον. τοῦτο κατέχον ὁ Ἀπόστολος ὀνομάζει τοῦ Θεοῦ τὸν ὅρον· ὅθεν καὶ ἐπήγαγεν "εἰς τὸ ἀποκαλυφθῆναι αὐτὸν τῷ ἑαυτοῦ "καιρῷ·" "τὸ γὰρ μυστήριον ἤδη ἐνεργεῖται," ἀντὶ τοῦ, εἰ καὶ μὴ κατὰ τὸ σαφὲς ἤδη τὴν ἀποστασίαν ἐργάζεται ὁ διάβολος, ἀλλ' οὖν γε ὡς ἐν μυστηρίῳ πλεῖστα καὶ νῦν διαπράττεται, ἑκάστοτε διὰ τῶν οἰκείων τῆς εὐσεβείας ἀφιστᾷν πειρώμενος τοὺς προσιόντας τῇ πίστει.

Καὶ τότε ἀποκαλυφθήσεται ὁ ἄνομος.

Προσεκτέον ὅτι ἀποκάλυψιν τοῦ Ἀντιχρίστου ἐκάλεσε τὴν φανέρωσιν, ἔν τε τοῖς ἀνωτέροις "ἀποκαλυφθῇ ὁ ἄνθρωπος" εἰπὼν, κἀνταῦθα "ἀποκαλυφθήσεται ὁ ἄνομος," ὡς ἂν τοῦ διαβόλου πάντοτε μὲν ἀπὸ τῆς τοῦ Κυρίου παρουσίας μελετῶντος αὐτὸ ἐπὶ τῇ τῶν ἀνθρώπων βλάβῃ, καὶ ἤδη γε αὐτὸ καὶ ποιήσαντος ἂν, εἰ μὴ κατὰ τὴν ἀπόρρητον αὐτοῦ βουλὴν κατεῖχεν αὐτὸν ὁ Θεός· ἐργασαμένου δὲ τότε καὶ οἴσοντος γε εἰς φανερὸν τὸ πάλαι δοκοῦν αὐτῷ, ὅταν συγχωρηθῇ τὴν οἰκείαν γνώμην ἐκβαλεῖν εἰς ἔργον. "ὃν ὁ Κύριος Ἰησοῦς ἀναλώσει τῷ πνεύματι τοῦ στόματος αὐτοῦ." ἐκείνου, φησὶ, τοιαῦτα διαπραττομένου κατὰ τῆς οἰκουμένης, καὶ πάντας ἀνθρώπους ἀφιστῶντος τῆς εὐσεβείας, ἐξαίφνης ἀπ' οὐρανῶν φανεὶς ὁ Χριστὸς, καὶ μόνον ἐπιβοήσας, παύσει τῆς ἐργασίας, ὅλον αὐτὸν ἀναλώσας· τοῦτο γὰρ λέγει· τὸ "τῷ πνεύματι τοῦ "στόματος αὐτοῦ," ἀντὶ τοῦ τῇ φωνῇ, ἀπὸ τοῦ παρ' ἡμῖν αὐτὸ εἰρηκὼς, ἐπειδὴ ἡμεῖς τῷ πνεύματι συνεργῷ κεχρήμεθα πρὸς τὴν ἔναρθρον λαλιάν.

Σετηριανός. Τοῦτό ἐστι τὸ "καὶ πνεύματι διὰ χειλέων ἀνε-"λεῖ ἀσεβῆ," ὅπερ Ἡσαΐας φησί· μνημονεύσας γὰρ τοῦ ἐκ τῆς ῥίζης Ἰεσσαὶ, ἐπήγαγε, "καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στό-"ματος αὐτοῦ, καὶ πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ." τὸ δὲ πατάσσειν τὴν γῆν προεῖπε διὰ τοῦ ὑστέρου τῶν προφητῶν· εἰρηκὼς γὰρ "ἀνατελεῖ ὑμῖν τοῖς φοβουμένοις με ἥλιος δικαιοσύνης·" καὶ μετ' ὀλίγα· "ἰδοὺ ἀποστέλλω ὑμῖν Ἡλίαν τὸν Θεσβίτην·" τελευταῖον ἐπήγαγε λόγον τὸ "μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην." "καὶ καταργήσει τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ." ζωὴν ἡμῶν εἶπε τὸν Χριστὸν ὁ Ἀπόστολος καὶ ἐπήγαγεν, "ὅταν ἡ ζωὴ "ὑμῶν φανερωθῇ·" ζωῆς οὖν οὐρανόθεν φανερουμένης ἀδύνατον μὴ καταργηθῆναι τὸν τοῦ θανάτου πρόξενον, "οὗ ἐστιν ἡ παρουσία "κατ' ἐνέργειαν τοῦ Σατανᾶ." τοῦτο ὤφειλε πεῖσαι τοὺς Ἀρειανοὺς, ὅτι ὅλον ἄνθρωπον ἀνέλαβεν ὁ Θεὸς Λόγος· κατὰ γὰρ μίμησιν τῆς δικαιοσύνης καὶ τῆς ὑπὲρ ἡμῶν οἰκονομίας ἔρχεται ὁ Σατανᾶς καὶ ἐνεργήσει ἐν ἀνθρώπῳ, καὶ ἐν πάσῃ ἀπάτῃ ἀδικίας ἐν τοῖς ἀπολλυμένοις. τί οὖν συνεχώρησεν ὁ Θεὸς τοῦτο γενέσθαι; καὶ τί τὸ κέρδος τῆς αὐτοῦ παρουσίας, εἰ ἐπὶ λύμῃ τῆς ἡμετέρας γίνεται γενεᾶς; ἄκουε λέγοντος αὐτοῦ, ἐν τοῖς ἀπολλυμένοις ἰσχύσει, οἳ εἰ καὶ μὴ παρεγένετο ἐκεῖνος, οὐκ ἂν ἐπείσθησαν· τί οὖν τὸ κέρδος; ὅτι αὐτοὶ οὗτοι οἱ ἀπολλύμενοι ἐπιστομισθήσονται· πῶς; ὅτι εἰ καὶ μὴ ἦλθεν ἐκεῖνος, οὐκ ἂν ἐπίστευσαν τῷ Χριστῷ· ἔρχεται οὖν, ἐλέγξων αὐτούς· ἵνα γὰρ μὴ μέλλωσι λέγειν, ὅτι ἐπειδὴ Θεὸν ἑαυτὸν ἔλεγεν ὁ Χριστὸς, καί τοι γε οὐδαμοῦ εἶπεν φανερῶς, πλὴν ἀλλ' ἐπειδὴ μετὰ ταῦτα ἐκήρυξαν, οὐκ ἐπιστεύσαμεν, ἐπειδὴ ἠκούσαμεν ταύτην αὐτῶν τὴν πρόφασιν ὁ Ἀντίχριστος ἀναιρήσει· ὅταν γὰρ ἔλθῃ ἐκεῖνος, οὐδὲν ἐπιτάττων ὑγιὲς, ἀλλὰ πάντα παράνομα, καὶ ἀπὸ σημείων μόνον ψευδῶν πιστεύηται, ἀπορράψει τὸ στόμα αὐτοῖς· εἰ γὰρ τῷ Χριστῷ οὐ πιστεύεις, πολλῷ μᾶλλον οὐκ ἐχρῆν τῷ Ἀντιχρίστῳ πιστεῦσαι· ἐκεῖνος μὲν γὰρ ἔλεγε παρὰ τοῦ Πατρὸς πεπέμφθαι, οὗτος δὲ τοὐναντίον· διὰ τοῦτο ἔλεγεν ὁ Χριστὸς, "ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πάτρος "μου, καὶ οὐκ ἐδέξασθέ με, ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ "ἰδίῳ, ἐκεῖνον λήψεσθε."

10 Ἀνθ᾽ ὧν γὰρ τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέ-
11 ξαντο εἰς τὸ σωθῆναι αὐτούς, διὰ τοῦτο πέμπει αὐτοῖς
ὁ Θεὸς ἐνέργειαν πλάνης, εἰς τὸ πιστεῦσαι αὐτοὺς τῷ
12 ψεύδει· ἵνα κριθῶσι πάντες οἱ μὴ πιστεύσαντες τῇ ἀλη-
θείᾳ, ἀλλ᾽ εὐδοκήσαντες ἐν τῇ ἀδικίᾳ.

"Ἵνα κριθῶσι," φησὶν, εἶπεν, ἀντὶ τοῦ οὐχ ἵνα κολασθῶσι· καὶ γὰρ πρὸ τούτου ἔμελλον κολάζεσθαι, ἀλλ᾽ ἵνα κατακριθῶσι, τουτέστιν, ἐπὶ τοῦ δικαστηρίου τοῦ φοβεροῦ, εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους. "οἱ μὴ πιστεύσαντες τῇ ἀληθείᾳ, ἀλλ᾽ εὐδοκή- "σαντες ἐν τῇ ἀδικίᾳ." ἀγάπην ἀληθείας τὸν Χριστὸν καλεῖ· "ἀνθ᾽ ὧν γὰρ," φησὶ, "τὴν ἀγάπην τῆς ἀληθείας οὐκ ἐδέξαντο." ἀμφότερα γὰρ ἦν, καὶ δι᾽ ἀμφότερα παρεγένετο, καὶ ἀγαπῶν τοὺς ἀνθρώπους, καὶ ὑπὲρ ἀληθῶν πραγμάτων, "ἀλλ᾽ εὐδοκήσαντες," φησὶν, "ἐν τῇ ἀδικίᾳ·" ἐπὶ γὰρ λύμῃ τῶν ἀνθρώπων ἦλθεν, ἀδικήσων αὐτούς· ἀλλὰ μὴ δείσῃς, ἐν τοῖς ἀπολλυμένοις ἕξει τὴν ἰσχύν· καὶ γὰρ καὶ ὁ Ἡλίας ἥξει τότε, τοὺς πιστοὺς ἀσφαλιζόμενος· καὶ τοῦτο ὁ Χριστός φησιν· "Ἡλίας μὲν ἔρχεται, καὶ ἀποκα- "ταστήσει πάντα." "ἐν δυνάμει καὶ πνεύματι Ἡλίου·" διὰ τοῦτο εἴρηται. οὔτε γὰρ σημεῖα εἰργάσατο καθάπερ Ἡλίας, οὔτε θαύματα· "Ἰωάννης μὲν γὰρ ἐποίησε σημεῖον οὐδέν· πάντα δὲ ὅσα "εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ ἦν·" πῶς οὖν "ἐν πνεύματι "καὶ δυνάμει Ἡλίου;" τουτέστι, τὴν αὐτὴν ἀναλήψεται διακονίαν, καθάπερ οὗτος πρόδρομος τῆς προτέρας παρουσίας, οὕτω κἀκεῖνος πρόδρομος τῆς ἐνδόξου καὶ δευτέρας αὐτοῦ παρουσίας· καὶ εἰς τοῦτο φυλάττεται.

Θεόδωρος δέ φησιν εἰς τὸ "διὰ τοῦτο πέμψει αὐτοῖς ὁ Θεὸς "ἐνέργειαν πλάνης," τὴν συγχώρησιν δηλονότι, ὡς ἔργον τῷ Θεῷ περιῆψεν· βούλεται γὰρ εἰπεῖν, ὅτι μὴ μείναντες ἐπὶ τῆς ἀληθείας προσέξουσι τῇ πλάνῃ καὶ πιστεύσουσι τῷ ψεύδει, δικαίαν δεχόμενοι τὴν τιμωρίαν, ὑπὲρ ὧν καταλιπόντες τὴν ἀλήθειαν, πρὸς τὴν ἀδικίαν ἔκλιναν, ἵνα εἴπῃ τοῦ διαβόλου τὴν προσκύνησιν, ἀδικίαν αὐτὴν καλέσας, ὡς οὐ δικαίως γινομένην παρὰ τῶν ποιούντων.

ΚΕΦ. Γ.

Εὐχαριστία περὶ τῆς κλήσεως.

13 Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς, ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐν ἁγιασμῷ πνεύματος καὶ πίστει ἀληθείας.

Ἰωάννου. Πῶς εἰς σωτηρίαν ἁγιάσας ἡμᾶς διὰ τοῦ Πνεύματος; ταῦτα γὰρ ἡμῶν ἐστι τὰ συνεκτικὰ τῆς σωτηρίας, οὐδαμοῦ ἀπὸ ἔργων, οὐδὲ ἀπὸ κατορθωμάτων, ἀλλὰ διὰ πίστεως ἀληθείας· ἰδοὺ τὸ "ἐν" πάλιν διά ἐστι· καὶ "δι' ἁγιασμοῦ "Πνεύματος," φησίν.

14 Εἰς ὃ ἐκάλεσεν ἡμᾶς διὰ τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Οὐ μικρὸν καὶ τοῦτο· ἑαυτοῦ δόξαν τὴν ἡμετέραν σωτηρίαν ἡγεῖται ὁ Χριστός· δόξα γὰρ τοῦ φιλανθρώπου τὸ πολλοὺς εἶναι τοὺς σωζομένους· ἄρα μέγας ὁ κόσμος ἡμῶν, εἰ οὕτως ἐφίεται τῆς σωτηρίας ἡμῶν τὸ Πνεῦμα τὸ Ἅγιον. διὰ τί οὐ πρότερον εἶπε τὴν πίστιν; ὅτι καὶ μετὰ τὸν ἁγιασμὸν πολλῆς αὐτῆς ἔτι δεόμεθα, ὥστε μὴ παρασαλευθῆναι· ὅρα πῶς οὐδὲν αὐτῶν δείκνυσιν ὄν, ἀλλὰ τὸ πᾶν τοῦ Θεοῦ. "εἰς ὃ ἐκάλεσεν ὑμᾶς," φησὶ, "διὰ "τοῦ εὐαγγελίου ἡμῶν, εἰς περιποίησιν δόξης τοῦ Κυρίου ἡμῶν "Ἰησοῦ Χριστοῦ."

15 Ἄρα οὖν, ἀδελφοὶ, στήκετε καὶ κρατεῖτε τὰς παραδόσεις ἃς ἐδιδάχθητε, εἴτε διὰ λόγου, εἴτε δι' ἐπιστολῆς ἡμῶν.

Ἐντεῦθεν δῆλον ὅτι οὐ πάντα δι' ἐπιστολῆς παρεδίδοσαν, ἀλλὰ καὶ ἀγράφως, ὁμοίως δὲ καὶ ταῦτα κἀκεῖνά ἐστιν ἀξιόπιστα.

16 Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ ὁ Θεὸς καὶ Πατὴρ ἡμῶν, ὁ ἀγαπήσας ἡμᾶς καὶ δοὺς παράκλησιν αἰώνιον καὶ ἐλπίδα ἀγαθὴν ἐν χάριτι, παρακα-

λέσαι ὑμῶν τὰς καρδίας, καὶ στηρίξαι ὑμᾶς ἐν παντὶ λόγῳ καὶ ἔργῳ ἀγαθῷ.

Πάλιν εὐχὴ μετὰ τὴν παραίνεσιν· τοῦτο γάρ ἐστιν ὄντως βοηθεῖν. ποῦ δὲ νῦν εἰσιν οἱ τὸν Υἱὸν ἐλαττοῦντες, ἐπειδὴ μετὰ τὸν Πατέρα ἐν τῇ χάριτι τοῦ λουτροῦ ὀνομάζεται; ἰδοὺ γὰρ ἐνταῦθα τοὐναντίον ἐστίν. "ὁ ἀγαπήσας ἡμᾶς," φησὶ, "καὶ δοὺς παρά- "κλησιν αἰώνιον" ποίαν δὴ ταύτην; τὴν ἐλπίδα τῶν μελλόντων. ὅρα πῶς ἐν τάξει εὐχῆς διανίστησιν αὐτῶν τὴν διάνοιαν, τὰ τῆς κηδεμονίας τοῦ Θεοῦ τῆς ἀφάτου τιθεὶς ἐνέχυρα καὶ τεκμήρια. "παρακαλέσαι ὑμῶν τὰς καρδίας, ἐν παντὶ ἔργῳ καὶ λόγῳ ἀγαθῷ," τουτέστι, διὰ παντὸς ἔργου καὶ λόγου ἀγαθοῦ· Χριστιανῶν γὰρ αὕτη ἡ παράκλησις, τὸ ποιῆσαί τι χρηστὸν καὶ Θεῷ δοκοῦν. ἐγὼ τοίνυν, φησὶν, εἶπον· τὸ δὲ πᾶν τοῦ Θεοῦ ἐστι· στηρίξαι, βεβαιῶσαι, ὥστε μὴ σαλεύεσθαι, μηδὲ παρακλίνεσθαι· καὶ γὰρ καὶ ἡμῶν καὶ αὐτοῦ τοῦτό ἐστιν, ὥστε καὶ δογμάτων ἕνεκεν καὶ πράξεων ἐστηρίχθαι· ψυχὴ γὰρ παρασαλεύεται, ὅταν μὴ πεπιστευκυῖα ᾖ, ὅτι ἐπί τι χρηστὸν ἅπαν τὸ τέλος.

ΚΕΦ. Δ.

Παράκλησις εὐχῆς ὑπὲρ αὐτοῦ καὶ τοῦ ἔργου.

1 Τὸ λοιπὸν, προσεύχεσθε, ἀδελφοὶ, περὶ ἡμῶν, ἵνα ὁ λόγος τοῦ Θεοῦ τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς.

Οὐχ ἵνα μὴ κινδυνεύσῃ, εἰς τοῦτο γὰρ ἔκειτο, ἀλλ' ἵνα ὁ λόγος τοῦ Κυρίου "τρέχῃ καὶ δοξάζηται, καθὼς καὶ πρὸς ὑμᾶς." καὶ μετ' ἐγκωμίων ἡ αἴτησις, "ἵνα ῥυσθῶμεν ἀπὸ τῶν ἀτόπων καὶ "πονηρῶν ἀνθρώπων· οὐ γὰρ πάντων ἡ πίστις." οὐ τοῦτο δηλοῦντός ἐστι τοὺς αὐτοῦ κινδύνους, ἀλλὰ περὶ τῶν ἀνθισταμένων καὶ μαχομένων τοῖς δόγμασι λέγει, καὶ ἐμποδιζόντων τῷ λόγῳ, οἷος ἦν Ἀλέξανδρος ὁ χαλκεύς· τοῦτο γὰρ ᾐνίξατο εἰπὼν, "οὐ γὰρ πάντων "ἡ πίστις," τουτέστι, εἰσὶ τοιοῦτοι οἷς δέδοται, ὡς ἂν περὶ κλήρου ἔλεγε πατρικοῦ, ὅτι οὐ πάντων ἐστὶ τὸ στρατεύεσθαι ἐν τοῖς βασιλείοις· ἅμα δὲ καὶ διανίστησιν αὐτοὺς ἤδη τοσαύτην ἔχοντας

παρρησίαν, ὡς δύνασθαι τὸν διδάσκαλον κινδύνων ἀπαλλάττειν καὶ ἐξευμαρίζειν αὐτῷ τὸ κήρυγμα.

3 Πιστὸς δέ ἐστιν ὁ Κύριος, ὃς στηρίξει ὑμᾶς καὶ φυ-
4 λάξει ἀπὸ τοῦ πονηροῦ. πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ'
ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν καὶ ποιεῖτε καὶ ποιήσετε.
5 ὁ δὲ Θεὸς κατευθύναι ὑμῶν τὰς καρδίας εἰς τὴν ἀγάπην
τοῦ Θεοῦ καὶ εἰς τὴν ὑπομονὴν τοῦ Χριστοῦ.

Μεγάλα δύναται ἡ εὐχὴ ὑπὲρ ἡμῶν, ὅταν καὶ ἡμεῖς ἐργαζώμεθα. διὰ τοῦτο καὶ Παῦλος εὐχόμενος ὑπὲρ αὐτῶν, καὶ πάλιν τὸ ἀξιόπιστον θεὶς ἀπὸ τῆς ἐπαγγελίας, φησὶν, "πιστὸς δέ ἐστιν ὁ Κύριος ὃς "στηρίξει ὑμᾶς καὶ φυλάξει ἀπὸ τοῦ πονηροῦ." εἰ γὰρ εἵλετο ὑμᾶς εἰς σωτηρίαν, οὐ ψεύδεται, οὐδὲ ἀφίησιν ἀπολέσθαι, ἵνα μὴ διὰ τούτων εἰς ῥᾳθυμίαν ἀγάγῃ, καὶ τὸ πᾶν νομίσαντες εἶναι τοῦ Θεοῦ καθεύδωσιν. ὅρα πῶς καὶ τὴν ἀπ' αὐτῶν συνεργίαν ἀπαιτεῖ λέγων· "πεποίθαμεν δὲ ἐν Κυρίῳ ἐφ' ὑμᾶς, ὅτι ἃ παραγγέλλομεν, καὶ "ποιεῖτε καὶ ποιήσετε·" καλῶς δὲ καὶ τὸ "πεποίθαμεν ἐν Κυρίῳ" τέθεικε, τουτέστι, τῇ φιλανθρωπίᾳ αὐτοῦ πιστεύομεν. πάλιν αὐτοὺς καθαιρεῖ τὸ πᾶν ἀναρτῶν ἐκεῖ· προσέθηκε δὲ καὶ τὸ "ἐφ' ὑμᾶς, "ὅτι ἃ παρηγγείλαμεν ποιεῖτε καὶ ποιήσετε·" ἐγκωμιάζει δὲ πάλιν αὐτοὺς, καὶ εὔχεται τὴν κηδεμονίαν αὐτοῦ δεικνύς· ἐπειδὴ γὰρ μέλλει ἐμβαίνειν εἰς ἐπιτίμησιν, τούτοις αὐτῶν προλεαίνει τὰς διανοίας· "ὁ δὲ Κύριος κατευθύναι ὑμῶν," φησὶ, "τὰς καρ-"δίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ·" πολλὰ γάρ εἰσι τὰ παρεκτρέποντα ἀπὸ τῆς ἀγάπης· "καὶ εἰς τὴν ὑπομονὴν, φησὶ, τοῦ Χριστοῦ," ἵνα ὑπομείνωμεν ὡς ἐκεῖνος ὑπέμεινεν, ἢ ἵνα ἐκεῖνα πράττωμεν, ἢ καὶ ἵνα μεθ' ὑπομονῆς ἀναμείνωμεν αὐτὸν, τουτέστιν, ἐμπαράσκευοι ὦμεν. ἐπειδὴ γὰρ πολλὰ ἐπηγγείλατο, καὶ αὐτὸς ἔρχεται κρίναι ζῶντας καὶ νεκροὺς, ἵνα ἀναμένωμεν αὐτὸν καὶ ὑπομένωμεν, ἔνθα δὲ ἂν ὑπομονὴν λέγῃ, πάντως θλίψιν αἰνίττεται· τοῦτο γάρ ἐστι τὸ ἀγαπᾷν τὸν Θεὸν καὶ ὑπομένειν.

ΚΕΦ. Ε.

Προτροπὴ ἐργασίας καὶ παραιτήσεως τῶν ἀργῶν καὶ περιέργων.

6 Παραγγέλλομεν δὲ ὑμῖν, ἀδελφοὶ, ἐν ὀνόματι τοῦ
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ
παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ
τὴν παράδοσιν ἣν παρέλαβεν παρ' ἡμῶν.

Τουτέστιν, οὐχ ἡμεῖς ταῦτα λέγομεν, ἀλλ' ὁ Χριστός· "ἐν "ὀνόματι γὰρ," φησὶ, "τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ," ἀντὶ τοῦ διὰ τοῦ Χριστοῦ, τὸ φοβερὸν τῆς παραγγελίας δεικνύς· οὐκ ἄρα ὁ Χριστὸς προσέταξεν ἀργεῖν οὐδαμοῦ· "στέλλεσθαι ὑμᾶς, "φησὶν, ἀπὸ παντὸς ἀδελφοῦ·" μή μοι τὸν πλούσιον εἴπῃς, μή μοι τὸν πένητα, μή μοι τὸν ἅγιον· τοῦτο ἀταξίας ἐστί· "περι-"πατοῦντος," φησὶ, "τουτέστι βιοῦντος· "καὶ μὴ κατὰ τὴν "παράδοσιν ἣν παρέλαβε παρ' ἡμῶν·" παράδοσιν, τὴν διὰ τῶν ἔργων, φησὶ, καὶ κυρίως ἀεὶ ταύτην λέγει παράδοσιν.

7 Αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ
8 ἠτακτήσαμεν ἐν ὑμῖν· οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν
παρά τινος.

Καί τοι εἰ καὶ ἔφαγον, οὐκ ἦν δωρεάν· "ἄξιος γὰρ," φησὶν, "ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ."

Ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νύκτα καὶ ἡμέραν ἐργαζό-
μενοι, πρὸς τὸ μὴ ἐπιβαρῆσαι τινὰ ὑμῶν· οὐχ ὅτι οὐκ
9 ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν,
10 εἰς τὸ μιμεῖσθαι ἡμᾶς. καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς,
τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι,
μηδὲ ἐσθιέτω.

Ὅρα πῶς ἐν μὲν τῇ προτέρᾳ Ἐπιστολῇ προσηνέστερον πῶς περὶ τούτων διαλέγεται, ὡς ὅταν λέγῃ, "παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελ-"φοὶ, περισσεύειν μᾶλλον ἢ φιλοτιμεῖσθαι," καὶ οὐδαμοῦ παραγγέλλομεν, οὐδὲ ἐν ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅπερ ἦν φοβερὸν καὶ κίνδυνον ἔχον, ἀλλὰ "περισσεύειν καὶ φιλοτι-

"μεῖσθαι," ὃ ἦν εἰς ἀρετὴν προτρέποντος, "ἵνα εὐσχημόνως," φησὶ, "περιπατῆτε." ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλ', "εἴ τις οὐ θέλει ἐργάζεσθαι," φησὶ, "μηδὲ ἐσθιέτω," εἰ γὰρ Παῦλος ἀνάγκην οὐκ ἔχων, ἀλλ' ἐξουσίαν ἔχων ἀργεῖν, καὶ τηλικοῦτον ἔργον ἀναδεδεγμένος, ὅμως εἰργάζετο, καὶ οὐχ ἁπλῶς, ἀλλὰ νύκτα καὶ ἡμέραν, ὥστε δύνασθαι καὶ ἑτέροις ἐπικουρεῖν, πολλῷ μᾶλλον τοὺς ἄλλους ἐχρῆν τοῦτο ποιεῖν.

11 Ἀκούομεν γὰρ τινὰς περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους.

Τοῦτο ἐνταῦθα, ἐκεῖ δὲ ἐν τῇ προτέρᾳ, "ἵνα εὐσχημόνως," φησὶ, "περιπατῆτε πρὸς τοὺς ἔξω·" τίνος ἕνεκεν; ἴσως οὐδὲν οὐδέπω τοιοῦτον ἦν, καὶ γὰρ καὶ ἀλλαχοῦ παραινῶν ἔλεγε· "μακάριον μᾶλλόν ἐστι διδόναι ἢ λαμβάνειν·" τὸ δὲ "εὐσχημόνως περιπατεῖτε," οὐ περὶ ἀταξίας ἐστί· διὸ καὶ ἐπήγαγεν, "ἵνα μηδενὸς χρείαν ἔχητε," ἐνταῦθα δὲ καὶ ἑτέραν ἀνάγκην τίθησιν, ὥστε τὸ καλὸν ποιεῖν καὶ ἀγαθὸν πρὸς πάντας· προϊὼν γὰρ, φησὶ, "μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες" πάντως γὰρ τὸν ἀργοῦντα καὶ δυνάμενον ἐργάζεσθαι ἀνάγκη περίεργον εἶναι· ἡ δὲ ἐλεημοσύνη ἐκείνοις δέδοται μόνοις τοῖς οὐκ ἰσχύουσιν ἐκ τῆς τῶν χειρῶν ἐργασίας ἐπαρκέσαι ἑαυτοῖς ἢ τοῖς διδάσκουσι, καὶ τὸ πᾶν ἀπησχολημένοις εἰς τὸν τῆς διδασκαλίας λόγον· τὸ δὲ εὔχεσθαι καὶ νηστεύειν ἀργοῦντα οὐκ ἔστιν ἔργον χειρῶν· ἐργασίαν γὰρ ἐνταῦθά φησι τὴν διὰ τῶν χειρῶν.

12 Τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ.

Ἐπειδὴ σφόδρα καθήψατο, προσηνέστερον ποιῆσαι βουλόμενος τὸν λόγον, ἐπήγαγε, "διὰ τοῦ Κυρίου·" πάλιν τὸ ἀξιόπιστον καὶ φοβερόν.

Ἵνα μεθ' ἡσυχίας ἐργαζόμενοι, τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν.

Ἀμφότερα ἀπαιτεῖ, καὶ τὸ ἐν ἡσυχίᾳ εἶναι, καὶ τὸ ἐργάζεσθαι· "τὸν ἑαυτῶν ἄρτον," φησὶν, "ἐσθίωσιν," μὴ τὸν ἀλλότριον.

13 Ὑμεῖς δὲ, ἀδελφοὶ, μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες.

Ὅρα πῶς εὐθέως κατεκλάσθη τὰ σπλάγχνα τὰ πατρικά· οὐκ ἴσχυσε περαιτέρω τὴν ἐπιτίμησιν προσαγαγεῖν, ἀλλὰ πάλιν αὐτοὺς ἠλέησε, καὶ ὅρα μεθ᾽ ὅσης συνέσεως· οὐκ εἶπε, πλὴν συγγινώσκετε ἑαυτοῖς ἕως ἂν διορθώσωνται, ἀλλὰ τί; ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες, μὴ ἐκκακήσητε· στέλλεσθε μὲν, φησὶν, ἀπ᾽ αὐτῶν, καὶ ἐπιτιμᾶτε αὐτοῖς, μὴ μὴν περιΐδητε λιμῷ διαφθαρέντας· τίς οὖν, φησὶν, ἔχων τὴν παρ᾽ ἡμῶν ἀφθονίαν ἐπιμένῃ ἀργῶν, ἐπὶ τούτου φάρμακον προσηνὲς, φησὶν, ὅτι στέλλεσθε ἀπ᾽ αὐτοῦ, τουτέστι, μὴ μεταδίδοτε αὐτῷ παρρησίας, ἐνδείκνυσθε ὅτι ὀργίζεσθε, οὐ μικρὸν τοῦτο· τοιαύτη γὰρ ἡ πρὸς τὸν ἀδελφὸν γίνεται ἐπιτίμησις, εἴ γε ὄντως διορθῶσαι βουλόμεθα, οὐκ ἀγνοοῦμεν τοὺς τρόπους τῆς ἐπιτιμήσεως· εἰπὲ γάρ μοι, εἰ σαρκικὸν εἶχες ἀδελφὸν, ἆρα ἂν περιεῖδες αὐτὸν λιμῷ τηκόμενον; οὐκ ἔγωγε οἶμαι, ἀλλ᾽ ἴσως καὶ ἐρρύθμισας αὐτόν.

14 Εἰ δέ τις οὐχ ὑπακούει τῷ λόγῳ ἡμῶν διὰ τῆς ἐπιστολῆς.

Οὐκ εἶπεν ὁ παρακούων ἐμοῦ παρακούει, ἀλλὰ "τοῦτον σημειοῦσθε·" οὐ μικρὰ παίδευσις αὕτη· "μὴ συναναμίγνυσθε αὐτῷ·" εἶτα δείσας, μὴ τοῦτο αὐτὸ ἐκκόψῃ αὐτὸν τῆς ἀδελφότητος, ἐπήγαγε,

15 Καὶ μὴ ὡς ἐχθρὸν ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε ὡς ἀδελφόν.

Διὰ τούτου δεικνὺς ἀμφότερα, ὅτι καὶ μεγάλην ὥρισε κατ᾽ αὐτοῦ τιμωρίαν, τὸ τῆς παρρησίας αὐτὸν ἀπεστερῆσθαι· εἰ γὰρ καὶ τὸ εἶναι μετὰ πολλῶν λαμβάνοντα αἰσχύνης ἄξιον, ὅταν καὶ ἐπιτιμῶντες παρέχοιεν καὶ στέλλονται, πόσου ὀνείδους τοῦτο;

ΚΕΦ. ϛ.

Εὐχὴ περὶ εἰρήνης τῆς παρὰ Θεοῦ.

16 Αὐτὸς δὲ ὁ Κύριος τῆς εἰρήνης δῴη ὑμῖν τὴν εἰρήνην διὰ παντὸς ἐν παντὶ τρόπῳ.

Ἐπειδὴ γὰρ ἀπὸ τούτων εἰκὸς μάχας γίνεσθαι, ἐκείνων τε τραχυτέρων γινομένων, τούτων τε οὐκέτι ὁμοίως τοῖς τοιούτοις παρεχόντων, εἰκότως τοῦτο ἐπηύξατο νῦν· τί δέ ἐστι "ἐν παντί;"

ὥστε μηδαμόθεν ἔχειν φιλονεικίας ἀφορμήν· πανταχοῦ γὰρ εἰρήνη καλόν.

17 Ὁ Κύριος μετὰ πάντων ὑμῶν. ὁ ἀσπασμὸς τῇ ἐμῇ
χειρὶ Παύλου· ὅ ἐστι σημεῖον ἐν πάσῃ ἐπιστολῇ· οὕτως
18 γράφω· ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ
πάντων ὑμῶν. ἀμήν.

Τοῦτο λέγει γράφειν ἐν πάσῃ ἐπιστολῇ, ὥστε μηδενὶ ἐξεῖναι παραποιεῖν αὐτὰς, τῆς ὑπογραφῆς ὥσπερ τεκμηρίου κειμένου μεγάλου. ἀσπασμὸν δὲ καλεῖ τὴν εὐχὴν, δεικνὺς ὅτι πάντα πνευματικὰ ἔπραττον τότε, καὶ ὅτε ἀσπάσασθαι ἔδει, μετὰ κέρδους τὸ πρᾶγμα ἦν, καὶ εὐχὴ ἦν, οὐχ ἁπλῶς φιλίας σύμβολον· ἀπὸ τούτου ἤρχετο καὶ εἰς αὐτὸ ἔληγε, περιφράττων τειχίοις μεγάλοις τὰ λεγόμενα ἑκατέρωθεν.

* Τριὰς * μονὰς * ἐλέησον *

Τῶν εἰς τὴν πρὸς Θεσσαλονικεῖς Ἐπιστολὴν β′ ἐξηγητικῶν ἐκλογῶν τόμος α′.

SUPPLEMENTUM ET VARIETAS LECTIONIS

E COD. BODL. AUCT. T. I. 7.

COLL. CUM ŒCUM. ED. PARIS. 1631.

EP. AD GAL. I. 8.

ἢ Ἄγγελος ἐξ οὐρανοῦ] ἐπειδὴ καὶ οἱ ἱερεῖς ἄγγελοι καλοῦνται, διὰ τοῦτο ἐπήγαγεν "ἐξ οὐρανοῦ."

P. 720 B. εἰ γὰρ ἐβουλόμην. mox ἂν εἰχόμην.

721 C. ἢ προέκοπτον ἐν τ. πορθ. D. προέκοπτον μέν.

Ib. διὰ κενοδοξίαν—πῶς ἄρτι νῦν—ὑπὸ Χρ. παρελ.

722 A. μητρὸς αὐτοῦ, om. αὐτ.

725 C. ἀσφαλῶς λαλεῖ.—πῶς ἂν ἔμαθον.—ἀδελφὸν αὐτὸν τοῦ Κυρ. καλεῖ. D. καὶ γὰρ καὶ ἐκινδ.

724 B. ἐπῄνουν με ἢ ἐδόξαζον.

725 B. περιτομὴν κωλύοι. D. ἀποκαλ. φησὶν τοῦ Χρ.

726 A. τουτέστιν ἀκρόβυστος ὁ Τῖτος.

727 B. ἐπὶ λοίμῃ. C. τίς δὲ αὐτοῦ ἡ ἀληθ.

728 A. ἀπὸ δὲ τῶν δοκ. — οἷον εἴτε εὐαρ. — ἐρυθριάσῃ. B. ἄνω παραγέγραπται, ἐν τῷ πεντηκοστῷ ὀγδόῳ ἀριθμῷ.—κατὰ τοῦτο δέ μοι φησίν.—ἢ ἀφείλαντο.

729 D. ἑαυτοῖς ἐποιήσαντο.

730 D. τὸν διδάσκαλον αὐτῶν.

731 B. τῶν ἐκ περιτομῆς πιστῶν. Schol. quod inc. ὡς εἴγε τὸ ἀληθὲς Œcumenio tribuit Cod.—C. ἐναγαγόντος.

732 A. οἶδας δέ τι παρ. Hoc Schol. teste Cod. Œcum. est. B. δεδοικὼς αὐτοὺς, om. αὐτ.—ἀλλ' ἵνα μὴ σκανδ.—ἵνα μὴ ἡ οἰκον. D. ταύτῃ καὶ τὸ οὐκ ὀρθ.

733 A. μονονότι οὐ φανερῶς. τοῦτο γὰρ παρασκευάζει. B. ἵνα δείξῃ.—ἀντὶ τοῦ ἄνωθεν τοῦτο καὶ ἐκ προγόνων ὄντες.

734 A. *πῶς εἰς ἄτοπον ἀπαγωγήν.* D. *τοῦ εὐαγγελίου.*

735 A. *φυλάξω τὸν νομ.*

736 B. *ἀποδείξας. ἀλλὰ παρὰ Χριστοῦ δεδ. —σύγκρισιν— ποιούμενος διδάσκει.*

737 A. ΘΕΟΔΩΡΉΤΟΥ. *πνεῦμα τὴν χάριν ἐκάλεσεν.* B. *τουτ-έστιν ἐργαζ. δυν. ποιεῖ; ἢ διὰ τὴν εἰς Χριστὸν πίστιν; εὔδηλον ὅτι διὰ ταύτην.*

καθὼς Ἀβραὰμ ἐπίστευσεν τῷ Θεῷ] μάλιστα μὲν, φησὶν ἐξ ὧν ἐπετελέσατε σημείων. D. *καὶ ταύτῃ μάλιστα* om. *μάλ.*

739 A. *ἡ δικαιοῦσα.—Χριστὸς ἡμᾶς ἐξηγόρασεν] οὐκ ἐκ τῶν ἐντολῶν ἐξηγόρασεν ἡμᾶς, οὐδὲ ἐκ τῶν δικαιωμάτων· ἀλλ' ἐκ τοῦ νόμου ἐξηγόρασεν ἡμᾶς· ἵνα ἡμᾶς ἐλευθερώσῃ ἀπὸ τοῦ νόμου, καὶ μὴ ὦμεν ὑποκείμενοι περιτομῇ καὶ σαββάτοις καὶ τοῖς ἄλλοις ἃ οὐκ ἔστιν ἐντολὴ ἀλλὰ νόμος.*

740 D. *νῦν καὶ ἀπὸ ἀνθρ. — ἀνοήτους ἄνω καλ. — ὅρα τί θέλεται διὰ τοῦ ὑποδ. τῆς διαθ. κατασκ.*

ὁ μετὰ ἔτη τετρακόσια] ἸΩΆΝΝΟΥ. *ὅπως ἀριθμοῦνται οἱ χρόνοι ἀρχόμενοι ἀπὸ οε´ ἔτους Ἀβραὰμ ἕως ρ´ ἔτη κε´. τοῦ Ἰσαὰκ ἔτη ξ´. τοῦ Ἰακὼβ ἔτη γα´. τοῦ Ἰωσὼφ ἔτη ρι´. τῆς ἐν Αἰγύπτῳ παροικίας ἔτη ρμδ´. ὅμου ἔτη υλ´.*

742 B. *ὅτι καὶ πρώην τὸν νόμον.* C. *ἀλλ' ἑνὶ μόνῳ ἐμεσ.— οἷος ὁ Μωσῆς.* D. *τῇ πρὸς ἑκάτερα.*

744 B. *προεκάθηρεν.* B. *τὸ ἐνευλογηθήσονται.*

745 B. ΟἸΚΟΥΜΕΝΊΟΥ. *Ἐδήλωσεν ὅτι ἄνωθεν· προοδοποιῶν δηλαδὴ* om. *δηλ.* C. *τῇ ἀφέσει προσδραμεῖν. — καὶ τὰ ὑπ' ἐκείνου.*

746 C. *τὸ ἓν εἶναι ἔχομεν.*

747 B. *ἐγκρατὴς εἶναι—διὰ τὸ εἶναι πάλιν νήπιοι.* C. *ὑποτεταγμένα.*

738 A. ΟἸΚΟΥΜΕΝΊΟΥ. *Ἐν τάξει τῶν ἐπιτρόπων καὶ οἰκονόμων. — οὐκ οὖν ὡς οἶμαι.*

749 A. *ἀπελάβομεν.* D. *τὸν Θεὸν εὕρατε.*

Ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα] Ὅρα ὅτι κοινὸν Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα.

Ὥστε οὐκέτι εἶ δοῦλος] οὕτω γὰρ ὑπὸ νόμον ἐγένετο ὅτι καὶ

περιετμήθη ἵνα φησὶ τοὺς ὑπὸ νόμον ὄντας καὶ τὴν κατάραν αὐτοῦ εξαγοράσῃ τῷ τε σταυρῷ καὶ τὸ ὅλως ὑπὸ νόμον γενέσθαι.

750 A. ἀλλ᾽ αὐτὸς ὑμᾶς ἐν πλάνῃ. B. καὶ ἄστρον λαμπρότερον; C. γεγένηται κόπος.

751 B. ἐπεδείξασθε, διεπτύσατέ μου.

οὐδὲ ἐξεπτύσατε] οὐ διεπτύσατε φησὶν, ὁρῶντές με τοιαῦτα πάσχοντα.

τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν;] τὸ τίς ἀντὶ τοῦ ποῦ τέθεικεν. ποῦ οὖν τὰ ζηλωτὰ τῆς πίστεως κατορθώματα.

752 B. ὥστε ἐκβάλαι. D. γεννήσεως ἐνδεᾶ.

Οἰκουμενίου. Οὐκ ἐπ᾽ ἀγαθῷ in marg.

753 C. Θεοδωρίτου. τῶν μὲν τὴν ἐκτροπήν. hæc in marg.

Γέγραπται γὰρ ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν] Ὡραῖόν τι κατασκευάζει· εἰ βούλεσθε, φησὶ, τοῦ νόμου ἔχεσθαι, ἀπόστητε ἀπό τε τοῦ νόμου, οὕτως γὰρ αὐτῷ πεισθήσεσθε· τοῦτο ὁ νόμος φησὶν αὐτός.—ὅρα δὲ αὐτοῦ τὴν κατασκεύην.

754 C. ὁ δὲ Ἰσαάκ. D. τοῦτο γάρ ἐστιν ἀλληγορία. ἀντὶ τοῦ καὶ ἑτέρως νοουμ.

755 B. τοῦ νόμου τίκτειν. C. ἅπτεται, γειτνιᾷ.

756. τὴν ἐποψίαν τοῦ Θεοῦ.

758 D. οἱ τοιοῦτοι ἐπιτιθέασιν—ἀνάγκην ἔχει.

759 A. ἐκ χάριτος μὲν σώζεσθαι. ἡγήσασθαι πίστιν.—λέγει τὴν πρὸ τῆς πίστ.

760 C. Θεοδωρίτου. εἴθε καὶ τέλεον hoc Sch. in marg.

761 A. καὶ ταῖς σαρκικαῖς ἐπιθ. καὶ τρέψητέ φησιν, εἰς τὸ δοῦναι τουτέστιν χώραν ταῖς τῆς σαρκὸς ἐπιθυμίαις.—ἐλαφρότερόν τε. B. πληροῦτε τὸν νόμον.

Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος] Ἰωάννου. Οἶδεν σαρκὰ καλεῖν οὐ τὴν τοῦ σώματος φύσιν ἀλλὰ τὴν πονηρὰν προαίρεσιν· ὡς ὅταν λέγῃ "ὑμεῖς οὐκ ἔστε ἐν σαρκὶ ἀλλ᾽ ἐν πνεύματι·" καὶ πάλιν "οἷδε ἐν σαρκὶ ὄντες Θεῷ ἀρέσαι "οὐ δύνανται." σαρκὰ ἐνταῦθα τὸν λογισμὸν τὸν γεώδη καλῶν τὸν ῥάθυμον καὶ ἠμελημένον. τοῦτο δὲ οὐ σώματος κατηγορία, ἀλλὰ ῥαθύμου ψυχῆς ἔγκλημα. ὄργανον γάρ ἐστιν ἡ σάρξ. εἰ δὲ ἀπὸ τῆς προσηγορίας διαβάλλειν ἐπιχειρεῖς, ὅρα σοι καὶ τῆς

ψυχῆς κατηγορεῖν. καὶ γὰρ ψυχικὸς ἄνθρωπος λέγεται ὁ τῆς ἀληθείας ἐστερημένος. οὕτως ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. ταῦτα δὲ ἀντίκειται περὶ δύο λογισμῶν· οὗτοι γὰρ ἀλλήλοις ἀντίκεινται, ἡ ἀρετὴ καὶ ἡ κακία· οὐ ψυχὴ καὶ σῶμα.

762 D. πνεῦμα δὲ καλεῖ.—ἀνθρώπων εἰρηνεύοντες.

οἱ δὲ τοῦ Χριστοῦ τὴν σαρκὰ ἐσταύρωσαν] Κυρίλλου. Νοητῷ θανατῷ δηλονότι παραδεδώκασι διὰ τὸ μὴ ἀνέχεσθαι κατὰ σαρκὰ ζῆν.

764 D. κατὰ τοῦτο γίνεται πλήρωσις—ἥτις ἐστι πληρωτικὴ τοῦ νόμου.

765 C. κἂν ἀξιάγαστον εὕρῃς.

766 D. Οἰκουμενίου. Ἐπὶ μὲν τῶν αἰσθητῶν σπερμάτων.

767 A. τῆς ἀγαθῆς ἐργασίας. D. καὶ ἑτέρους περιτετμημένους.

768 B. οὐ χαλεπόν τι ἀπηύξ. D. ὁ ὁρῶν Θεόν.—ἢ ἀφαιρεῖν.

EP. AD EPHES.

Ed. Vol. II. p. 1. B. τὸ "διὰ" ἐνταῦθα ἐπὶ Πατρὸς εἴρηται.

P. 2 A. ὅτι κοσμ. ἀνθρ. καὶ πιστοὺς ἁγίους προσαγ.

4 A. εὐλογ. ἡμᾶς Θεὸς καὶ Πατήρ. θ. καὶ Π. om. Cod. B. ἐξείλετο ἡμᾶς φ.

5 A. ἐπιθυμήσει γάρ φησιν.

6 B. ἀνακεφαλαιώσασθαι] Οἰκουμενίου. Τὴν σύντομον τῶν πραγμάτων μεταβολὴν ἀνακεφαλαίωσιν καλεῖ. διὰ γὰρ τῆς κατὰ τὸν δεσπότην Χριστὸν οἰκονομίας, καὶ τῶν ἀνθρώπων ἡ φύσις ἀνίσταται καὶ τὴν ἀφθαρσίαν ἐνδύεται, καὶ ἡ ὁρωμένη κτίσις τῆς φθορᾶς ἐλευθερουμένη, τεύξεται τῆς ἀφθαρσίας, καὶ τῶν ἀοράτων οἱ δῆμοι ἐν εὐφροσύνῃ διατελέσουσιν, ἐπειδὴ ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός. hæc in marg.

ἐν αὐτῷ] πάλιν τὸ ἐν αὐτῷ, τουτέστιν δι᾽ αὐτοῦ.

7 A. μάλιστα δεδόξασται ὁ Θ.

οὐ παύομαι εὐχαριστῶν] τοῦτο δὲ ἐποίει οὐ μόνον πρὸς αὐτοὺς ἀλλὰ καὶ πρὸς πάντας τοὺς ἑαυτοῦ μαθητάς.

9 C. καλεῖ καὶ υἱὸν δημιουρ.

11 D. μετὰ σάρκωσιν.

12 A. τῇ δυνάμει.

13 A. καθεὶς ἡμῶν.

14 B. Οἰκουμενίου. Σαφῶς ἡμᾶς ἐδίδαξεν. hæc in marg. C. ἐν ἀερίοις διατρίβειν. D. In marg. Οἰκουμενίου. Ἰωάννου. Κυρίλλου. καὶ ἄρχων μέν φησιν.

15 A. παρεδεχόμεθα. B. Οἰκουμενίου. Ὡσεὶ εἶπεν, καὶ σωματικῶς.

17 A. οὐκ ἐπειδὴ ἐβούλετο.

18 D. τοῦτο οὖν ἦν φ.

20 A. ἀλλ᾽ ἐκείνους καὶ ἡμᾶς ζεύξας εἰς τὴν ἑαυτοῦ πίστιν ἤγ. C. ἢ τῇ πίστει ἧς αὐτὸς εἶπεν.

21 D. καὶ πάροικοι τῶν ἁγίων.

23 C. καὶ τὸ πηρῶσαι. D. ἢ δι᾽ ὀλίγου.

26 B. Γενναδίου. Οὐδὲ γὰρ αἱ ἀόρατοι δυνάμεις ᾔδεσαν τὸ μυστήριον. Hoc Schol. in marg.

—λαος αὐτοῦ Ἰακὼβ. D. οὕτως ὁ Νύσης εἰς τὰ ᾄσματα τῶν ᾀσμάτων.

27 C. οὕτως ὑμᾶς ἠγάπ.

28 C. ὅσδε ἐκ τοῦδε.

31 B. παρὰ πᾶσαν ἐλπίδα, ἡμῖν εἴη· διὰ τὴν σαρκὰ νοῶν.

32 A. τὴν ἄλ. τὴν Π. ὡς δι᾽ αὐτῆς δυσ. D. καὶ πάντα συνέχον.

33 D. π. κληρονομίαν ἐπηγγείλατο.

34 A. πόθεν ὁ δεῖνα μὲν μ. ὁ δεῖνα δὲ ἐλ.—μάλιστα ἐνῆγε—εἰ δωρεά ἐστι τὸ π. B. αὐτὸς ἐμμετρήσας. D. ἀντιδέδωκε τ. χάριν.—ἀκριβέστερον αἱ εὐθ.

35 C. Οἰκουμενίου. Καὶ γὰρ καὶ γυμνῇ πάλαι τ. θεου.

36 B. τὸ φορτίον· τίς οὖν φθονήσειεν τῷ μεῖζον ἔχοντι φορτίον; ταῦτα δέ φ.—ποῦ οὖν Χρ. φθ. τῶν ἁγίων ἢ τῶν πιστῶν;

37 A. δείκνυσι πάλαι τοῦτο παθ. αὐτ.

38 A. Οἰκουμενίου. Ὅρα τί κἀγὼ ἐνόμισα· οὔτε γὰρ ἐνόησα τὸ τοῦ μακαρίου Ἰωάννου ἔξει[a] νοῆσαι.

39 B. καλῶς δὲ προστέθεικε ἐν ἀγάπῃ.

ἀπηλγηκότες] ἀπελπίσαντες in marg.

40 D. πρὸς εὕρεσιν τοῦ καλοῦ, εἰς τὸν παράνομον βίον ἐξωκείλαντες κ.

41 D. τὴν φύσιν ἐκάλεσεν.

παλαιὸν ἄνθρωπον] Ἰωάννης τὰς ἀθεμίτους πράξεις. Hoc in marg.

42 A. ἀποξεούσης.

43 A. ὡς λέγοι τις.

44 B. Οἰκουμενίου. Ὥσπερ γὰρ δηλοὺς ποιῶν ἡμᾶς.

46 C. εἶναι σπουδαίους. D. ὑφέστηκεν ὁ δ.

47 B. βίον· νῦν δὲ διὰ τοῦ Χριστοῦ φῶς γεγόνατε· φῶς λέγων τὸν ἐν ἀρετῇ καὶ ἐπιγνώσει Θεοῦ βίον. μὴ τοίνυν.

49 A. ἐν ἁμαρτίαις ἄνθρωπον. B. καὶ πρὸ τῶν ὑμ. D. ἄλλως αὐτῷ ἐπιλάμψῃ ὁ Χρ.

50 B. πλὴν τῶν διὰ τὸ κηρ.

53 D. καὶ προσκολληθήσεται] Ὅτι γάρ ἐστι σὰρξ τοῦ ἀνδρὸς ἡ γυνὴ ἄκουε τοῦ Ἀδὰμ λέγοντος· "τοῦτο νῦν ὀστοῦν ἐκ τῶν "ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου."

55 C. ὡς παιδίοις νηπίως διαλέγεται.

56 A. περὶ τροφῶν καὶ περὶ ἐνδύματος. B. "ὅτι καὶ ὑμῶν "αὐτῶν ὁ Κύριός ἐστιν ἐν οὐρανοῖς."

57 A. πάντα διορθῶσαι. B. καὶ ἐγρηγόρσεως. D. ἡ δὲ ἀντίλεξις ἰδιωτικῶς.

58 A. λαμπροὶ τοῖς τροπαίοις. B. Οἰκουμενίου.

59 C. περιφρ. εἰρηκώς.—ὥσπέρ ἐστι διὰ ρημ.

60 A. καλῶς τὸ "ἐν ἀνοίξει."

Epistolæ ad Philip. major pars Comment. manca est in Cod. B. inc. ad Ed. p. 100 A. τὸ δὲ στοιχεῖν οἷον ἀρκεῖσθαι. C. μὴ πλεῖον ἢ ἔλαττον.

[a] Fors. τὴν τ. μακ. Ἰωάννου ἐξήγησιν in Edd. om. Ἰωάννου.

101 B. κακῶς φ. καὶ ἑτέρως ἤπερ ἐγώ.

102 C. καὶ τοῦτο ἡμῶν τὸ σῶμα, ποτὲ σῶμα δόξης ἦν.

103 C. κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι αὐτὸν καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα] ταύτην τὴν παραγραφὴν οὐκ ἔγραψα, πρὸς γὰρ τὸ ἀνωφελῆ εἶναι, καὶ αἱρετικοῦ ὑπῆρχεν.

104 C. Οἰκουμενίου. Ἐκ τούτου τινὲς ὑπενόησαν. D. ἔνθα ἀνατέθραπτο. εὐδόκιμος δέ τις ἦν.—σύμπραττε αὐτάς.

105 A. ὅπερ μέγιστον ὂν εἶπεν ὁ Χριστός. C. πάλιν φησὶν ἐρῶ χ.—συμβαίνουσα αὐτῷ χαρά ἐστιν. D. ἐκπεπολεμῶσθαι.

107 B. Θεοῦ δὲ ὄντως μεθ' ἡμῶν. D. ἐπειδὴ οἱ ἰδόντες.

108 C. πρὸς τὸ ὑμῶν συμφ. ταῦτα εἶπον.

111 A. τὰ κεχρεωστημένα. C. πλούσιος γάρ ἐστι, καὶ πολλὰ δοῦναι.

116 B. ἡ λεγομένη νῦν Χώνα om. Cod.—ἐν Χριστῷ τὸ εἶναι φησὶν ἅγιοι.

117 C. προστῇ αὐτοῖς ὁ λόγος.

119 A. ὁ ἀξίως τοῦ Θεοῦ, ἐνάρετον πολιτ. βιῶν. B. τὸν Υἱὸν δεῖ νομίζειν.—καὶ καταλλάκτην. D. ἐχαρίσατο τὸ ἱκανούς.—καλῶς δὲ κλῆρον εἶπεν.

120 A. τέως ἐν σκότει. D. γεννηθεὶς συναΐδιος.

121 A. τῇ Γενέσει τῆς η. τῆς η om. Cod.—λέγει ἐπὶ υἱοῦ καὶ π. B. ὥσπερ καθέν. C. καὶ γενόμενα διατηρεῖ.

122 B. εἴ τι ἦν ὁ Υἱὸς ὅλος ἐκεῖ ᾤκησεν. οὐχὶ ἐνέργειά τις ἀλλ' οὐσία. D. εἰρήνευσεν ἡμᾶς δι' ἑαυτοῦ.—διὰ τοῦ αἵματος αὐτοῦ ἐκχ.

123 A. ἀπεχθανομένων ἡμῖν.

124 A. τὰ τῶν ἐχθρῶν πρ.

125 C. ταῦτα ἐγὼ ἀναπληρῶ.

126 B. ἵνα ἀξιόπιστος κήρυξ ὦ.

127 C. τῷ Χρ. ἀνατίθησιν—ὡς Θεοῦ ἐνεργοῦντος.

128 B. ἵνα μὴ τῆς αὐτῶν ῥαθ. D. αὕτη δὲ ἡ ἀντιδιαστολή.—καὶ γὰρ καὶ τῇ σαρκὶ ἀπ.

129 A. βέβαιον καὶ σταθερόν. et mox καὶ τὸ σταθερὸν ἔχ. D. ὁ ἐκ τῆς πίστεως φ.

130 A. ἐν τοῖς ἀφ. φασὶν ἐκλείψεσιν. C. μετὰ τοῦ πατρὸς ἦν ἅπας.

Οἰκουμενίου. Καὶ πῶς ἔνεστι καὶ ἐν τῇ σαρκὶ οὐσιωδῶς κατοικεῖν. B. οὐχ εἴργεται. καταφωτίζειν τὸ πᾶν. C. καὶ ὁ Δαβὶδ "ἔπεσεν πῦρ." D. καὶ οἰκείας αὐτοῦ.

133 A. τοῦ ἐναμάρτου βίου.—Οἰκουμενίου. Ὅρα δέ ποτε μὲν Πνεύματος. D. ποιήσωμεν καὶ ἀκουσώμεθα, ἢ ὅτι τὴν ὀφ. C. ἐπαυξηθείσας.

134 C. τῆσδε ἢ τῶνδε. D. Ἰωάννου. τὸ δὲ σῶμα Χριστοῦ οἱ μὲν οὕτως στίζουσι.

136 C. λόγον ἔχει φησὶ πιθανολογίας οὐ πράγματα.

137 A. οἱ εὑρόμενοι ἄνθρωποι.

139 A. ἁμ. τῶν κάτω καὶ πλ. χαρακ. B. πράγμασιν τοῖς τῆς ζ. ἡμ.—προσωπολ. παρ' αὐτῷ.

143 A. ἤδη σοι ἀποστερεῖ τῶν ὀφειλομένων—μήτε νωχελ. D. πῶς δὲ τοῦτό ἐστι, δηλονότι.

145 C. αὐτὸν συνέστησεν.—ἑστάναι ἀτελεῖς.

146 C. αὐτῷ ὑποτάττει. D. τῇ αὐτῇ κεχρ. σπ.

τὴν ἐκ Λαοδικείας] τὴν πρὸς Τιμόθεον πρώτην λέγει. hoc in marg.

EP. AD THESSALONICENSES PRIMA.

152 A. ἥτις πλ. σημαντικὴ καθέστηκεν. B. ὅρα ἐνταῦθα τὸ ἓν ἐπὶ π. κειμ.

153 D. καὶ ἐξ ὧν ἐκεῖνοι.—ὑπερέπτησαν ἅπ.

154 A. πρῶτον πιστ. C. τοσαύτην ἐπίδειξιν ἔκ τε τῆς πίστεως καὶ ἀθλήσεως. D. ἃ γὰρ ἡμᾶς ἐχρῆν.

156 A. ἐμβάλλειν ἐθαρ.—ἀνθρώπων λαλεῖν μελ. B. ἐνεπίστευσεν ἡμῖν. D. ὃ τῶν ἀπατώντων ἴδιόν ἐστιν τοῦ μὲν δίχα κολακείας λελαληκέναι· καὶ ὑμεῖς φησὶ μάρτυρες. ὅτι δὲ οὐ προφάσει πλεονεξίας ὡς ἐπ' ἐλπίδι τοῦ λαλεῖν, τί φησιν; "ὁ "Θεὸς μάρτυς ὁ τὰς καρδίας εἰδὼς καὶ τοὺς διαλογισμούς."

157 D. τὰ ἑαυτῆς τρέφει παιδία.—τουτέστι σπουδάζοντες.

158 D. πολλὰ γὰρ αὐτὸν κατεμ.—τοὺς ἐπαν. ἡμῖν πειρ.

159 B. ἀλλὰ παραλαβόντες λόγον ἀκοῆς. C. ὁ Χριστὸς ἐφθέγξατο. D. μετὰ φόβου καὶ προσ.

160 C. ὡς τῶν Ἰουδαϊκῶν συναγωγῶν εἰ καὶ ἐν Θεῷ οὐσῶν οὐ μὴν καὶ ἐν Χριστῷ Ἰησοῦ, ὁ δὲ ἀρνούμενος. D. ἀνεῖλον μὴ γὰρ καὶ ὧν τὰς βίβλους μετεχειρίζοντο—ἐπεφύησαν.—καὶ τῇ πάντων ἐμποδίζουσι σωτηρίᾳ.

161 D. ὅσον τὸ ἐκδικεῖσθαι.

162 D. Θεοδωρήτου. Ἐπέσχον τὴν προθυμίαν φησιν, οἱ ἐπάλληλοι πειρασμοί. Hoc Schol. in marg.

163 A. Τί λέγεις, ὦ μακάριε Παῦλε; ὁ Σατανᾶς ἐκκόπτει; ναί· οὐ γὰρ Θεοῦ ἔργον ἦν· ἐπὶ μὲν γὰρ Ῥωμαίων τοῦτό φησιν· ὅτι ὁ Θεὸς ἐκώλυσεν· καὶ ἀλλαχοῦ φησιν, ὁ Λουκᾶς ὅτι τὸ Πνεῦμα διεκώλυσεν αὐτοὺς ἐλθειν εἰς τὴν Ἀσίαν· καὶ ἐπὶ Κορινθίων, "τοῦ Πνεύματος ἔργον ἐγένετο τὸ μὴ ἐλθεῖν με·" ἐνταῦθα δὲ μόνον τοῦ Σατανᾶ. (In marg. τίνα δὲ λέγει νῦν ἐκκοπὴν τοῦ Σατανᾶ;) πειρασμούς τινας ἀπροσδοκήτους καὶ ἐφόδους· γενομένης γὰρ αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων ἐν τῇ Ἑλλάδι τρεῖς μῆνας δέσμιος, τοῦτο καλεῖ ἐκκοπήν. D. διὰ πειρασμοῦ.

164 B. καὶ ταράττεσθαι ἀπὸ μετ. C. μελλουσῶν αὐτῷ θλίψεων. εἰ προεῖπες.

165 A. ὁ ἄρρητα ἀκ. ῥήμ.

166 A. ἀλλ' ὃ μεῖζον ἦν εὐαγγελ. D. ἐπὶ δὲ τῶν ἐστηριγμένων μὲν ἐν τῇ π. μικρὸν δέ τι πρὸς δ.

167 A. ὅτι ἐνέλειπεν αὐτοῖς.

168 A. Τίς γὰρ ὁ στηρίξαι φησι ἐν ἀγάπῃ τὰς καρδίας αὐτῶν ἔχων ἔμπροσθεν τοῦ Πατρὸς ἐν τῇ παρουσίᾳ τοῦ Υἱοῦ; δηλονότι τὸ Πνεῦμα. Τίς δὲ εὔχεται ἑτέρῳ πλὴν Θεῷ; "τὰς εὐχάς "μου," γάρ φησι "τῷ Κυρίῳ ἀποδώσω." οὕτως ὁ μάκαριος Βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχιον. C. καὶ ἀπιέναι εἶχεν.

171 A. εἰς πάντας ἀγάπης. B. "ἔσονται" γὰρ εἶπεν πάντες. C. Οἰκουμενίου. Διὰ τοῦτο οὐ χρείαν ἔχομεν.—καὶ μεταδιδόναι συμβουλεύει.

173 D. ζῶντες τὰς ψυχάς.

174 A. οὐ μὴ προλάβωσιν τοὺς τελ. D. πρῶτοι ἐγερθήσονται· ἅτε γὰρ αἵρεσθαι ἐν νεφέλαις μέλλοντες καὶ πρῶτοι ἀναστ.

175 A. δυσχερέστερον ἐγ.—ἐν τῷ τοῦ Θεοῦ σχήματι.

177 A. ὅτι πάντως. B. ταῦτα δὲ ἁρμόζει καὶ ἐπὶ τῆς—καὶ ἐπὶ ἑκάστου τελευτῆς. C. αἰφνίδια γάρ. D. ταύτην εἰς μέσον ἦξεν.

178 A. καὶ αὐτὸς οὐκ ἀδ. B. ἡ ἡμέρα ὑμῖν. C. ἡμᾶς οὐ δεῖ καθ. D. ἄνω εἶπεν διεγρηγορέναι.

179 C. ταῦτα δὲ ἡμῖν κτητέα φησι τὰ ὅπλα. D. ἐλπ. χρηστὴν ὅτι ὡς υἱοὺς ἐκτήσατο.

180 B. ἡγεῖσθε αὐτούς.

180 C. εἰρηνεύετε ἐν ἑαυτοῖς] Τίνος χάριν ἔγραψεν τὸ "εἰρη-"νεύετε ἐν ἑαυτοῖς;" οὐ γὰρ μάχεταί τις ὅλως, οὐδὲ στασιάζει πρὸς ἑαυτόν· τί οὖν ἐστὶν εἰπεῖν πρὸς τοῦτο; παντί που δῆλόν ἐστιν, ὡς οὐχ ἁπλοῦς ὑπάρχει ὁ ἄνθρωπος, ψυχῆς δὲ καὶ σώματος σύγκειται. "ἡ οὖν σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος," ὡς αὐτός φησιν ὁ Ἀπόστολος, "τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκὸς" ἥ τε στάσις καὶ πόλεμος ἐστὶν ἡμῖν. ὃ καὶ τῷ μεγάλῳ δοκεῖ λέγοντι, "νῦν ὥσπερ ἐπὶ τρυ[τάν]ης ἑστάναι νόμιζε τὴν ψυχὴν, [ἔν]θεν ὑπὸ Ἀγγέλων, κακεῖθεν ὑπὸ δαιμόνων διελκομένην· τίσιν δώσεις τὴν ῥοπὴν τῆς καρδίας; [ἢ] γάρ σοι νικήσει ἡδονὴ σαρκὸς [ἢ] ἁγιασμὸς πνεύματος. καὶ ὁ μέγας [καὶ σ]οφώτατος ἐν μάρτυσιν ἅγιος * * ράτος οὑτωσί πως τῷ ἁγίῳ Νικολάῳ. "οἴ-"δαμεν τὸν ἀκατάλλακτον τῆς ψυχῆς ἡμῶν καὶ τοῦ σώματος διη-"νεκῆ πόλεμον." ὃς οὖν δώσει τῇ ψυχῇ νουνεχῶς τὸ κατὰ σώματος κράτος καὶ τὸν ἡγεμόνα λογισμὸν ἐπιστήσει κύριον ταῖς αἰσθήσεσιν αὐτοῦ εὐθείαν κρίνει τὴν κρίσιν τῷ χείρονι ὑποταγὴν τοῦ κρείττονος οὐ διδούς. ὥς που τῶν ἠθικῶν αὐτοῦ λόγων ἔφη ὁ οὐρανοφάντωρ Βασίλειος. εἰ ἀληθῶς φησιν "ἆρα δικαιοσύνην λα-"βεῖτε, εὐθείας κρίνετε υἱοὶ τῶν ἀνθρώπων, καὶ οὐδεμίαν ἀνομίαν "ἐργάζεσθε ἐν τῇ γῇ·" ἀδικίας αἱ χεῖρες ὑμῶν συμπλέκουσιν·" ἀλλὰ καὶ αὐτὸς ὁ Χριστὸς ἡ αὐτοσοφία ἐν τῷ ἁγίῳ εὐαγγελίῳ εἶπεν, "εἰρηνεύετε καὶ ἔχετε ἐν ἑαυτοῖς ἅλας, καὶ ταπεινοφρονοῦντες ἀνυψώθητε [b].

[b] Hoc Schol. scriptum est in marg. manu recentiore sed sæc. XIII. non juniore.

180 D. τοὺς παρὰ τὴν τάξιν τοῦ Θεοῦ.—ὡς ἐκλύτους παραμυθεῖσθε.

181 A. καὶ τοὺς ἄγαν ἀκ.—καὶ ἀγαθοῖς αὐτὸν ἀμ. C. πρὸς τὸ συμφ. οἰκονομεῖ.

182 A. πάντας λοιπὸν μ. D. ὅλους δι' ὅλου.—σωθησώμεθα. ἣν παρεγράψαμεν.

183 B. καὶ τοῦ ἐντεῦθεν ἀσπ.—ὅπου δὲ χάρις Θεοῦ.

187 A. μὴ οὖσα ἐν Πατρὶ καὶ υ. ὡς αἱ τῶν Ἑλ. αἱ τῶν Ἰουδαίων. B. οἶδεν ὅπως μέγα.

188 C. ὑπέρ τε ὧν πασχ.

189 A. ἀλοίετε καὶ ἀδημ.

190 B. ἢ ὅτι ὡς τῶν Ἀγγ.—περὶ ἧς ὁ Δαβίδ. C. κολ. ὁ Θ. τοὺς θλίβοντας αὐτ. D. ἅμα ἐπιφανεῖ αὐτοῦ.

191 A. κριτὴν καθεζ. θεωρουσῶν ὅσων αὐτ' ἀξ.

Οἰκουμενίου. Τὸ ἐνδοξασθῆναι κατὰ δύο νοεῖται. C. Οἰκουμενίου. Θαυμασθήσεται δὲ ὁ Θεὸς διὰ τὴν μαρτυρίαν ἡμῶν.

193 A. φάσκοντες ἐφεστάναι. B. συνέλῃ τοὺς ψευδοπρ.—διὰ γὰρ τούτου ἐλάλουν. C. δηλούσας.

194 B. διὰ τὸ ἀπολλύειν—καὶ ἑαυτὸν ἀπολ.

195 D. οὐ διὰ δειλίαν εἶπεν. in Schol. μονονοὺ κατέχων.

196. ὑπὸ τοῦ ἡμετέρου δεσπότου Χριστοῦ. In Gennadii Schol. τῆς τοῦ Θεοῦ προθεσμίας.

Ὃν ὁ Κύριος ἀναλώσει]

Εἰρηναίου. Ὃν ὁ Κύριος ἀνελεῖ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ, καὶ τῇ ἐπιφανείᾳ τῆς παρουσίας αὐτοῦ καταργήσει. οὗ ἐστιν ἡ παρουσία κατ' ἐνεργείαν τοῦ Σατανᾶ. οὐ γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ λέγει κατ' ἐνέργειαν τοῦ Σατανᾶ γίνεσθαι, ἀλλὰ τὴν παρουσίαν τοῦ ἀνόμου ὃν Ἀντίχριστον λέγομεν [b].

196 D. τοὺς ὀφθαλμοὺς πλανᾶν.

197 A. οὐκ ἐδέξαντο εἰς τὸ σωθῆναι αὐτούς.—ἔρχεται ἄλλος

[b] Hoc Schol. in marg. una cum illo Gennadii quod editis inest eademque manu qua cætera passim addita.

ἐν τῷ ἰδίῳ ὄν. καὶ δέξ. αὐτόν. C. τὸ μον. δεῖ σέβειν παρεγγυᾷ. D. ἰσχύσει μόνοις.—πολλοὶ ζητοῦσι τί δηπ. ὁ Ἀντ. ἐρχ.

199 A. εἰ μὴ ἡγήσατο ἡ χ. τοῦ Πνεύματος. B. Χριστῷ μὲν πιστ.

201 A. ἀλλ' ἐν Κυρίῳ προσέθηκεν—εὔχεται ὁ Ἀπόστολος. ποῖος γὰρ Κύριος παρὰ τὸ Πνεῦμα. B. ὑπομονὴν δέ φ. ἢ ἵνα ὑπομείνωμεν καθὼς ὁ Χριστὸς, ἢ ἵνα τὸν Χριστὸν ὑπομείνωμεν, τουτέστιν ἵνα ἐμπαράσκευοι.

202 A. παραγγέλλομεν ὑμῖν μέσου ὄντος. C. καὶ ἑαυτὸν διέτρεφεν.—πῶς δεῖ βιοῦν. D. καὶ ὅσα ὅμοια.

203 B. ἐν σώματι δὲ διορθοῦται.

εἰ δέ τις οὐχ ὑπακούει] ἔτι περὶ τῶν ἀργῶν ὁ λόγος αὐτῷ, ἁρμόζει δὲ καὶ περὶ ἑτέρων ἁμαρτανόντων λέγεσθαι. C. μὴ ἐκκακήσητε ἀγαθοποιοῦντες.—μὴ ὡς ἐχθρὸν δὲ ὀργιζ.

204 A. τικτομένας τῶν πασχ. ἐν παντὶ τρόπῳ φησιν, ὥστε μηδ. ἵνα μὴ παραποιῆται τὰ γρ.—B. εἰ μὴ ἔχῃ τοῦτο.

E COD. BODL. ROE 16.

EPIST. AD GAL.

732 A. Ed. Œcum. Οἰκουμενίου. Οἶδές τι παραγέγραπται διὰ Κηφᾶν.

ἡμεῖς φύσει Ἰουδαῖοι] Οἰκουμενίου. Ὅτι εὐκαίρως ἐποίησεν λεχθῆναι ἔμπροσθεν τῶν Ἰουδαίων· τὸ "ἡμεῖς φύσει Ἰουδαῖοι καὶ "οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί· εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ "ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ· καὶ ἡμεῖς εἰς "Χριστὸν ἐπιστεύσαμεν· ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ "καὶ οὐχ ἐξ ἔργων νόμου." διὰ τὸ λεχθῆναι οὖν ταῦτα ἔμπροσθεν πάντων, γέγονεν ἡ κατὰ πρόσωπον ἀντίστασις· ἐπεὶ οὐκ ἐχρὴν εἴπερ ἄρα τι σφάλμα ἦν καθ' ἰδίαν ἐγκαλέσαι καὶ διορθώσασθαι, τοῦ Κυρίου μάλιστα λέγοντος, "ἐὰν ἁμαρτήσῃ τι ὁ ἀδελφός σου,

" ἔλεγχον αὐτὸν καθ' ἰδίαν," ἀπειθοῦντι δὲ καὶ ἑτέρους καὶ τὴν ἐκκλησίαν ἐπίστησον.

736 C. ΘΕΟΔΩΡΗΤΟΥ. Οὕτω γὰρ ἐπιστεύσατε ὡς αὐτὸν τοῦ Χριστοῦ σταυρὸν θεασάμενοι.

745 D. ἐλθούσης δὲ τῆς πίστεως] ΓΕΝΝΑΔΙΟΥ. Οὐ τοίνυν ἐνδεχόμενον οὐδ' εὔλογον ἐπ' ἀναιρέσει τῶν εὐλογῶν δεδόσθαι φάναι τὸν νόμον.

ΘΕΟΔΩΡΗΤΟΥ. Διήλεγξεν ἡ θεία γραφὴ καὶ τοὺς πρὸ νόμου καὶ τοὺς ἐν νόμῳ. hoc Schol. exstat p. 744 D. Œcum.

748 A. Schol. quod Gennadio assignat Ed. Œcumenio tribuit Codex.

750 A. τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν βιβλίῳ ἕκτῳ τῆς πεντεκαιδεκάτης τῆς ἐν Πνεύματι λατρείας στοιχεῖα κόσμου τὰ μόρια τοῦ παντὸς κόσμου λέγει.

753 B. ἰδοὺ γὰρ φανερῶς πιστοῖς γράφων λέγει ταῦτα. ὁ ἐν ἁγίοις Κύριλλος ἐν βιβλίῳ γ τῶν παραλειπομένων τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ πραγματείας φησὶν οὕτως, " τέκνιά μου οὓς " πάλιν ὠδίνω ἄχρις ἂν οἱ μεγάλοι κ. ὑπ."

EP. AD EPHES. T. II. p. 5.

Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ὁ Πατὴρ τῆς δόξης] ΟἸΚΟΥΜΕΝΙΟΥ. Ὁ ἐν ἁγίοις Γρηγόριος ἐν τῷ περὶ Υἱοῦ λόγῳ, ὡς νομίζω τὰ δύο εἰς τὸν Χριστὸν ἐδέξατο· πατέρα μὲν τοῦ λόγου Θεὸν δὲ τοῦ προσλήμματος· ἵνα ἐκ θεότητος ἐν μιᾷ φύσει δείξῃ τὸν Ἐμμανουήλ.

13 D. ΟἸΚΟΥΜΕΝΙΟΥ. Ἢ ἀπολελυμένως νόησον, ὅτι ἐν τῷ νῦν φησὶ κόσμῳ.

18 D. ΟἸΚΟΥΜΕΝΙΟΥ. Καὶ ξένοι φησὶ τῆς διαθήκης τοῦ νόμου ἢ τῆς πρ. αὐτ. ἐπ.

30 D. ΟἸΚΟΥΜΕΝΙΟΥ. Καὶ ἵνα φησὶν γνῶτε τὴν ὑπερβάλλουσαν π. ἀνθρ.

ΟἸΚΟΥΜΕΝΙΟΥ. Τῷ δὲ δυναμένῳ Θεῷ.

35 C. ΟἸΚΟΥΜΕΝΙΟΥ. Καὶ γὰρ καὶ γυμνῇ πάλαι τῇ θεότητι. εἰς μίαν ὕπηρξεν φύσιν. in marg. γρ. ὑπόστασιν.

38 A. Οἰκουμενίου. Ὅρα τί κἀγὼ ἐνόμισα οὔτε γὰρ ἐχώρησα τὰ τοῦ μακαρίου Ἰωάννου ἐξει νόησαι.

44 A. Οἰκουμενίου. Ὥσπερ γὰρ δηλοὺς ποιῶν ἡμᾶς, ὅτι ἐσμὲν Θεοῦ λαός.

51 A. Οἰκουμενίου. ὁ γὰρ οἶνος πρὸς εὐφροσύνην.

52 A. Οἰκουμενίου. Τὸ ἅπαν πλῆθος.

57 D. Οἰκουμενίου. Πρὸς τὰ πνευματικὰ τῆς πονηρίας τουτέστιν.

58 D. Οἰκουμενίου. Δύνῃ δὲ ὡς πρὸς τὸν Χρ. ν.

60 B. Οἰκουμενίου. Ἢ εὐαγγελίζομαι· ὑπὲρ οὗ εὐαγγελίου πρεσβ.

EP. AD PHILIPPENSES.

66 B. Οἰκουμενίου. Καθὼς ἂν μνησθῶ.

73 A. Οἰκουμενίου. Ὅρα ταπείνωσιν, ἀπὸ μυρ. C. Οἰκουμενίου. Καὶ κατὰ ἄλλο δὲ νοήσῃς τὸ ἀναγκαιότερον ὅτι τὸ προσάγειν Χριστῷ διὰ τῆς πίστεως πλείονας πλεῖον αὐτὸν οἰκείου (sic) τῷ Χριστῷ. Οἰκουμενίου. Καὶ τοῦτο θαρρῶν τὸ εἶναι ἀναγκαιότεραν τὴν ἐν σαρκὶ προσμονήν.

78 D. Οἰκουμενίου. Εἰ καὶ περὶ τοῦ δόγματος λέγει.

96 C. Οἰκουμενίου. Εἰ γὰρ φησὶν, ἀντιπαράθῃ (sic) τις.

101 C. Οἰκουμενίου. Καλῶς τὸ τέλος εἶπεν ἀπ.

EP. AD COLOSSENSES.

141 B. Οἰκουμενίου. Καὶ τῷ δι' αὐτοῦ καὶ τῷ σὺν αὐτῷ καλῶς λεγ. D. Οἰκουμενίου. Δίχα τῶν εἰς ἀσ.

EP. AD THESSALONICENSES I.

152 C. Οἰκουμενίου. Ἢ ἔργον πίστεως φησί.

161 A. Οἰκουμενίου. Ταῦτα δὲ καὶ πάλιν ἐπὶ τῶν προφ.

164 B. Οἰκουμενίου. Ἀπὸ μεταφορᾶς τῶν τὰς οὐρὰς ταρασσόντων κυνῶν.

166 D. Οἰκουμενίου. Εἰκότως ἔμπροσθεν τοῦ Θεοῦ χαίρομεν.

EP. AD THESSAL. II.

188 C. Οἰκουμενίου. Ἢ ὅτι τοῦτο γάρ φησιν.

190 B. Οἰκουμενίου. Ὡσεὶ εἶπεν, μετὰ τῶν Ἀγγέλων.

191 D. Οἰκουμενίου. Ἐν γὰρ τῇ τότε ἡμέρᾳ.

196 A. In Schol. Gennadii. τῆς τοῦ Θεοῦ προθεσμίας. Οἰκουμενίου. Ἢ τὸ Ἅγιον Πνεῦμα.

οὗ ἐστιν ἡ παρουσία] Σευηριανοῦ. Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ. hoc Schol. Irenæo tribuit Cod. B.

AUCTORUM NOMINA

IN HIS COMMENTARIIS CITATORUM.

CORRIGENDA ET ADDENDA.

Pag.	Lin.	
2,	7.	ἄλλως leg. vid. ἄλλοις.
7,	12.	διακομίαν corr. διακονίαν.
20,	11.	ἐπιστάσεως leg. ἐπιτάσεως.
22,	6.	ἔθνεσεν corr. ἔθνεσιν.
28,	32.	ψευάδελφοι corr. ψευδάδελφοι.
56,	23.	εὐπαγγελιῶν corr. ἐπαγγελιῶν.
83,	31.	φορμακεῖαι leg. φαρμακεῖαι.
112,	22.	ὁρμόζει corr. ἁρμόζει.
134,	14.	εὐργετουμένων corr. εὐεργ.
139,	17.	Σατᾶναν corr. Σατανᾶν.
169,	34.	ἓν leg. ἐν.
275,	24.	ἐπήνησεν leg. ἐπήνεσεν.
310,	21.	Σολομιτῶν leg. Σοδομιτῶν.

